# ΔΙΟΔΩΡΟΣ

# DIODORI SICULI
## BIBLIOTHECAE HISTORICAE
### LIBRI QUI SUPERSUNT

E RECENSIONE PETRI WESSELINGII
CUM INTERPRETATIONE LATINA LAUR. RHODOMANI
ATQUE ANNOTATIONIBUS VARIORUM INTEGRIS
INDICIBUSQUE LOCUPLETISSIMIS

NOVA EDITIO

CUM COMMENTATIONIBUS III CHR. GOTTL. HEYNII
ET CUM ARGUMENTIS DISPUTATIONIBUSQUE
IER. NIC. EYRINGII

VOLUMEN QUINTUM

ARGENTORATI
EX TYPOGRAPHIA SOCIETATIS BIPONTINAE
ANNO VII

# ΔΙΟΔΩΡΟΥ

ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

## ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

### ΒΙΒΛΟΣ ΔΩΔΕΚΑΤΗ

## ΤΑΔΕ ΕΝΕΣΤΙΝ

### ΕΝ ΤΗ [1] ΔΥΟΚΑΙΔΕΚΑΤΗ

## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

Περι τῆς Ἀθηναίων στρατείας ἐπὶ Κύπρον.
Περὶ τῆς ἀποστάσεως τῶν Μεγαρέων ἀπὸ Ἀθηναίων.
Περὶ τῆς γενομένης μάχης περὶ Κορώνειαν Ἀθηναίοις καὶ Βοιωτοῖς.
Περὶ τῆς Ἀθηναίων στρατείας ἐπὶ τὴν Εὔβοιαν.
Πόλεμος κατὰ τὴν Σικελίαν Συρακουσίοις πρὸς Ἀκραγαντίνους.
Κτίσις κατὰ τὴν Ἰταλίαν [2] Θουρίων, καὶ στάσις πρὸς ἀλλήλους.

1 Δωδεκάτη Reg. 1. Πίναξ τῆς δυοκαιδεκάτης τῶν Διοδώρου τοῦ Σικελιότου βίβλων Reg. 2.

2 Ὀθυρίων Coisl. Reg. 1. Vat. Non male si ὁ Θουρίων νομοθ. scribas.

## HAEC IN DUODECIMO

## DIODORI LIBRO

### CONTINENTUR.

*Atheniensium expeditio in Cyprum.*
*Defectio Megarensium ab Atheniensibus.*
*Duellum ad Coroneam inter Athenienses & Boeotos decertatum.*
*Atheniensium expeditio in Euboeam.*
*Bellum in Sicilia Syracusanorum cum Acragantinis.*
*Ut Thuriorum urbs in Italia condita, & civili motu fluctuarit.*

Ὡς Χαρώνδας ὁ [1] Θούριος, νομοθέτης αἱρεθεὶς, πολλῶν ἀγαθῶν αἴτιος ἐγένετο τῇ πατρίδι.

Ὡς Ζάλευκος νομοθετήσας ἐν Λοκροῖς, μεγάλην δόξαν περιεποιήσατο.

Ὡς Ἀθηναῖοι τοὺς Ἑστιαιεῖς ἐκβαλόντες, ἰδίους οἰκήτορας ἐξέπεμψαν.

Περὶ τοῦ γενομένου πολέμου Θουρίοις πρὸς Ταραντίνους.

Περὶ τῆς γενομένης στάσεως ἐν τῇ Ῥώμῃ.

Περὶ τοῦ γενομένου πολέμου Σαμίοις πρὸς Μιλησίους.

Ὡς Συρακούσιοι στρατεύσαντες ἐπὶ [2] Πικινοὺς τὴν πόλιν κατέσκαψαν.

Ὡς κατὰ τὴν Ἑλλάδα συνέστη πόλεμος ὁ κληθεὶς Κορινθιακός.

Ὡς κατὰ τὴν Ἰταλίαν τὸ τῶν Καμπανῶν ἔθνος συνέστη.

Ναυμαχία Κορινθίων πρὸς [3] Κερκυραίους.

1 Θουρῖνος iidem Vatic.
2 Κίνους Reg. 1.
3 Κορκυραίους idem.

*Ut Charondas Thurius, legumlator creatus, multorum commodorum patriae auctor exstiterit.*

*Ut Zaleucus, legibus inter Locros promulgatis, magnam sibi gloriam conciliarit.*

*Athenienses, Hestiaeis patria eiectis, ex sua civitate colonos substituunt.*

*De bello inter Thurios & Tarentinos gesto.*

*De seditione Romae excitata.*

*Quomodo Samii cum Milesiis bello disceptarint.*

*Ut Syracusani, expeditis in Picenos armis, oppidum illorum destruxerint.*

*Corinthiacum, ut vocatur, in Graecia bellum exoritur.*

*Campanae in Italia gentis origo.*

*Navalis Corinthiorum cum Corcyraeis pugna.*

Ἀπόστασις Ποτιδαίας καὶ Χαλκιδέων ἀπὸ Ἀθηναίων.
Περὶ τῆς γενομένης στρατείας Ἀθηναίων ἐπὶ τοὺς Ποτιδαιάτας.
Περὶ τῆς γενομένης στάσεως ἐν τοῖς Θουρίοις.
Ὡς Μέτων ὁ Ἀθηναῖος πρῶτος ἐξέθηκε τὴν ἐννεακαιδεκαετηρίδα.
Ὡς τὴν ἐν Ἰταλίᾳ Ἡράκλειαν Ταραντῖνοι ἔκτισαν.
Ὡς ἐπὶ τῆς Ῥώμης [1] Σπόριος Μάλιος ἐπιθέμενος τυραννίδι ἀνῃρέθη.
Περὶ τοῦ Πελοποννησιακοῦ κληθέντος πολέμου.
Περὶ τῆς γενομένης μάχης Βοιωτοῖς πρὸς Πλαταιεῖς.
Ὡς τῆς Μεθώνης πολιορκουμένης ὑπὸ Ἀθηναίων Βρασίδας ὁ Σπαρτιάτης [2] ἀριστεύσας ἐδοξάσθη.
Ὡς Ἀθηναῖοι στρατεύσαντες ἐπὶ Λοκροὺς πόλιν Θρόνιον ἐξεπόρθησαν.
Ὡς Αἰγινῆται ὑπὸ Ἀθηναίων ἀνασταθέντες τὰς καλουμένας Θυρεὰς κατῴκησαν.

1 Πόριος Μάλιος idem. Μάλλιος Steph. ora. Μάνλιος edd.

2 Omittit Reg. 1.

*Potidaea & Chalcidici ab Athenienſibus deſciſcunt.*
*Athenienſium in Potidaeatas expeditio.*
*De ſeditione inter Thurios mota.*
*Meton Athenienſis primus ennedecateridem publici uſus facit.*
*Tarentini Heracleam in Italia condunt.*
*Romae Sp. Melius regnum affectans tollitur.*
*De bello, quod Peloponneſiaci titulum obtinet.*
*Ut Boeoti cum Plataeenſibus depugnarint.*
*Ut Methone Athenienſium obſidione preſſa, Braſidas Spartanus magnam virtutis gloriam retulerit.*
*Athenienſes Locros bello invadentes, Thronium expugnant.*
*Aeginetae, patria vi Athenienſium excuſſi, Thyreas (locum ita vocitatum) inſederunt.*

Ὡς Λακεδαιμόνιοι στρατεύσαντες εἰς τὴν Ἀττικὴν, τὰς [1] κτήσεις κατέφθειραν.

Στρατεία Ἀθηναίων δευτέρα ἐπὶ τοὺς Ποτιδαιάτας.

Στρατεία Λακεδαιμονίων εἰς Ἀκαρνανίαν, καὶ ναυμαχία πρὸς Ἀθηναίους.

Στρατεία [2] Σιτάλκου μὲν εἰς Μακεδονίαν, Λακεδαιμονίων δὲ εἰς [3] τὴν Ἀττικήν.

Περὶ τῆς Λεοντίνων πρεσβείας εἰς τὰς Ἀθήνας, καὶ τῆς Γοργίου τοῦ πρεσβεύσαντος δεινότητος ἐν τοῖς λόγοις.

Περὶ τοῦ γενομένου πολέμου Λεοντίνοις πρὸς Συρακουσίους.

Ἀπόστασις Λεσβίων ἀπὸ [4] Ἀθηναίων, καὶ Πλαταιῶν ἅλωσις καὶ κατασκαφὴ ὑπὸ Λακεδαιμονίων.

Στάσις [5] Κερκυραίων πρὸς ἀλλήλους.

1 Κτίσεις idem.
2 Σιτάλκα idem.
3 Deſit Reg. 2. & Veneto.
4 Θηβαίων Vat. Reg. uterque & Coisl. tum Πλαταιέων in Reg. 1.
5 Κορκυραίων iterum Reg. 1.

*Lacedaemonii, facta in Atticam expeditione, privatorum facultatibus detrimentum inferunt.*

*Secunda Athenienſium expeditio in Potidaeatas.*

*Ut Arcananes bello petierint, & cum Athenienſibus pugna navali decertarint Lacedaemonii.*

*Sitalcis in Macedoniam, & Lacedaemoniorum in Atticam expeditio.*

*De Leontinorum ad Athenienſes legatione, inſignique Gorgiae legati eloquentia.*

*Bellum Leontinorum cum Syracuſanis geſtum.*

*Ut Lesbii ab Athenienſibus defecerint, & Plataearum urbs a Lacedaemoniis expugnata & exciſa fuerit.*

*De Corcyraeorum ſeditione.*

Ὡς Ἀθηναῖοι λοιμικῇ νόσῳ περιπεσόντες πολλοὺς ἀπέβαλον τῶν πολιτῶν.

Ὡς Λακεδαιμόνιοι Ἡράκλειαν ἐν τῇ Τραχῖνι πόλιν ἔκτισαν.

Ὡς Ἀθηναῖοι πολλοὺς τῶν Ἀμβρακιωτῶν ἀνελόντες, ἠρήμωσαν τὴν πόλιν.

Περὶ τῶν Λακεδαιμονίων τῶν ἐν τῇ Σφακτηρίᾳ νήσῳ αἰχμαλώτων [1] γενομένων.

Περὶ τῆς Ποστουμίου εἰς τὸν υἱὸν γενομένης ἐπιτιμήσεως ἕνεκα τῆς λειποταξίας.

Περὶ τοῦ γενομένου πολέμου Λακεδαιμονίοις καὶ Ἀθηναίοις [2] ὑπὲρ τῶν Μεγαρέων.

Πόλεμος Λακεδαιμονίοις καὶ Ἀθηναίοις ὑπὲρ Χαλκιδέων.

Μάχη κατὰ τὴν Βοιωτίαν Ἀθηναίοις πρὸς Βοιωτούς.

Στρατεία Ἀθηναίων πρὸς τοὺς ἐν τῇ Λέσβῳ φυγάδας.

Ἔκπτωσις [3] Δηλίων ὑπὸ Ἀθηναίων.

1 Γινομένων idem.
2 Ὑπὲρ Co. Reg. 1. Cett. περί.
3 Δηλίων Vatic. Reg. uterque, Coisl. Edd. Δηίων.

*Athenienſes peſte afflicti magnam civium multitudinem amittunt.*

*Lacedaemonii Heracleam in Trachinia condunt.*

*Athenienſes, ingenti Ambraciotarum caede edita, urbem deſolant.*

*De Lacedaemoniis, qui in Sphacteria inſula in hoſtium manus veniunt.*

*De ſevera Poſtumii in filium, quod locum ſibi commendatum non tenuiſſet, animadverſione.*

*Ut bellum inter Spartanos & Athenienſes Megarenſium cauſa, exortum fuerit.*

*Lacedaemoniorum & Athenienſium de Chalcidenſibus conflictatio.*

*Athenienſium cum Boeotis in ipſa Boeotia proelium.*

*Athenienſium in Lesbi exſules expeditio.*

*Delii ab Athenienſibus patria extruſi.*

Ἅλωσις Τορώνης καὶ κατασκαφὴ ὑπὸ Ἀθηναίων.

Ὡς Ἀθηναίων καὶ Λακεδαιμονίων ἰδίᾳ συνθεμένων συμμαχίαν, ἀπηλλοτριώθησαν αἱ λοιπαὶ πόλεις ἀπ' αὐτῶν.

Ὡς Δήλιοι κατήχθησαν ὑπὸ Ἀθηναίων εἰς τὴν πατρίδα.

Ὡς Λακεδαιμόνιοι πρὸς Μαντινεῖς καὶ Ἀργείους ἐπολέμησαν.

Βυζαντίων καὶ [1] Καλχηδονίων στρατεία εἰς τὴν Βιθυνίαν.

Περὶ τῶν αἰτιῶν δι' ἃς ἐπὶ Συρακούσας ἐστράτευσαν Ἀθηναῖοι.

1 Καλχηδονίων Reg. 1. & 2. Vulgo Καρχηδονίων.

*Torone, Athenienſium vi capta, ſolo aequatur.*

*Privato inter Athenienſes & Lacedaemonios foedere inito, ceterae ab illorum fide urbes alienantur.*

*Delii Athenienſium ope in patriam reducuntur.*

*Lacedaemonii contra Mantinaeos & Argivos belligerantur.*

*Byzantiorum & Chalcedonenſium in Bithyniam expeditio.*

*Cauſae recenſentur, quibus moti Athenienſes bellum Syracuſis intulerint.*

# [1] ΔΙΟΔΩΡΟΥ
## ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ
## ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ
### ΒΙΒΛΟΣ ΔΩΔΕΚΑΤΗ.

A bello Cyprio usque ad bellum Syracusanum.

ΔΙΚΑΙΩΣ ἄν τις [2] ἀπορήσειεν τὸν νοῦν ἐπιστήσας τῇ κατὰ τὸν ἀνθρώπινον βίον ἀνωμαλίᾳ. οὔτε γὰρ τῶν νομιζομένων ἀγαθῶν οὐδὲν ὁλόκληρον εὑρίσκεται δεδομένον τοῖς ἀνθρώποις, οὔτε τῶν κακῶν αὐτοτελὲς ἄνευ τινὸς εὐχρηστίας. τούτου δὲ τὰς ἀποδείξεις ἐξέσται λαμβάνειν, ἐπιστήσαντας τὴν διάνοιαν ταῖς προ-

Prooemio Diodorus recens factis illustrat, quod usu vulgari cognosci potest, res pessimas saepe exitu & eventu optimas fieri.

1 Omnia haec negligunt Vat. & Reg. uterque.

2 Ἀπορήσει τὸν νοῦν ἐπιστ. Vat. Coislin. Clar. Reg. 2. sed Reg. 1. ἀπορήσῃ, eundem ordinem probans. Vulgo ἐπιστήσας τὸν νοῦν.

# DIODORI SICULI
## BIBLIOTHECAE HISTORICAE
### LIBER DUODECIMUS.

Si quis ad inaequabilem vitae humanae conditionem animum advertat, circa perplexitatem rei merito haesitabit. Nihil enim illorum, quae bona aestimantur, integrum & sincerum hominibus contingere, nec quidquam malorum absolute perfectum esse, omnique utilitate carere, deprehendet. Cuius rei documenta ex rebus ha-

Namque bellum Persicum, quod Graeciae interitum fuisset minatum, ad eius universae ac praesertim Atheniensium incrementa, opes & florentissimum statum, maximam habuisse vim.

γεγενημέναις πράξεσι, καὶ μάλιστα ταῖς μεγίσταις. ἥ τε γὰρ Ξέρξου τοῦ Περσῶν βασιλέως ἐπὶ τὴν Ἑλλάδα στρατεία, διὰ τὸ μέγεθος τῶν δυνάμεων, τὸν μέγιστον φόβον ἐπέστησε τοῖς Ἕλλησιν, ὡς ἂν ὑπὲρ ἀνδραποδισμοῦ μελλόντων πολεμεῖν, καὶ προκαταδεδουλωμένων [1] τῶν κατὰ τὴν Ἀσίαν Ἑλληνίδων πόλεων, πάντες ὑπέλαβον καὶ τὰς κατὰ τὴν Ἑλλάδα τῆς ὁμοίας τύχης πειραθήσεσθαι. τοῦ δὲ πολέμου παρὰ τὴν προσδοκίαν τὸ τέλος λαβόντος παράδοξον, οὐ μόνον τῶν κινδύνων ἀπελύθησαν οἱ τὴν Ἑλλάδα κατοικοῦντες, ἀλλὰ καὶ δόξαν μεγάλην κατεκτήσαντο· καὶ τοσαύτης εὐπορίας ἐπληρώθη πᾶσα πόλις Ἑλληνὶς, ὥστε [2] πάντας θαυμάσαι τὴν εἰς τοὐναντίον μεταβολήν. ἀπὸ τούτων γὰρ τῶν χρόνων ἐπὶ ἔτη πεντήκοντα πολλὴν ἐπίδοσιν ἔλαβεν ἡ Ἑλλὰς πρὸς τὴν εὐδαιμονίαν. ἐν τούτοις γὰρ τοῖς χρόνοις αἵ τε τέχ-

Ab eo inde tempore per proximos L annos

1 Τῶν κατὰ τὴν Ἀσίαν ora Steph. Coisl. Reg. 1. Vat. sed qui Ἑλληνίδα πόλεων. Edd. τῶν ἐν τῇ Ἀσίᾳ.

2 Πάντα Coisl.

ctenus gestis, si probe expenderimus, capere licet. Nam Xerxis Persarum regis expeditio in Graeciam, propter stupendam exercitus multitudinem, summum Graecis terrorem incussit: quibus nimirum extremae servitutis periculum hoc bello subeundum esset, &, ne subactis iam pridem Graecis in Asia civitatibus, eandem quoque fortunam Graecia experiretur, metuendum. Sed mirum contra omnium exspectationem bello eventum sortito, non a discrimine tantum illo Graecorum gens liberata est, sed ingentem praeterea gloriam obtinuit, & tantis unaquaeque Graeciae civitas tunc opibus repleta fuit, ut cuncti relapsas in contrarium fortunae vices demirarentur. Ex eo namque tempore per annos L Graecia prolixa ad felicitatem incrementa fecit. Interim enim bonae

και διὰ τὴν εὐπορίαν ηὐξήθησαν, καὶ τότε μέγιστοι μνημονεύονται τεχνῖται γεγονέναι· ὧν ἐστι Φειδίας ὁ ἀγαλματοποιός. ὁμοίως δὲ καὶ κατὰ τὴν [1] παιδείαν ἐπὶ πολὺ προέβη, καὶ φιλοσοφία προετιμήθη καὶ ῥητορικὴ, παρὰ πᾶσι μὲν Ἕλλησι, μάλιστα δὲ Ἀθηναίοις. φιλόσοφοι μὲν γὰρ οἱ περὶ τὸν Σωκράτην καὶ Πλάτωνα καὶ Ἀριστοτέλην· ῥήτορες δὲ Περικλῆς καὶ Ἰσοκράτης, καὶ οἱ τούτου μαθηταί. ὁμοίως δὲ καὶ ἄνδρες ἐπὶ στρατηγίᾳ διαβεβοημένοι, Μιλτιάδης, Θεμιστοκλῆς, [2] Ἀριστείδης, Κίμων, Μυρωνίδης, ἕτεροι πλείονες, περὶ ὧν μακρὸν ἂν εἴη γράφειν.

propter opum abundantiam, bonas artes esse excultas, artiumque & doctrinarum studia, praesertim philosophiam, eloquentiam remque militarem inter Athenienses maximopere floruisse.

β'. Μάλιστα δὲ Ἀθηναῖοι τῇ [3] τε δόξῃ καὶ ἀνδρίᾳ προκόψαντες, διωνομάσθησαν καθ' ὅλην σχεδὸν τὴν οἰκουμένην. ἐπὶ τοσοῦτο γὰρ τὴν ἡγεμονίαν ηὔξησαν, ὥστε ἄνευ Λακεδαιμονίων καὶ Πελοποννησίων ἰδίᾳ

1 Πεδίαν Clar. 2 Omittit Reg. 1. 3 Τότε Coisl.

artes, propter opum abundantiam, magnopere excultae, & artifices excellentissimi per seculum hoc floruisse memorantur. E quorum numero Phidias est, egregius statuarum fictor. Ita ceterarum quoque doctrinarum studia eximios progressus fecere. Praecipuus tamen honor philosophiae tributus est & eloquentiae, cum apud omnes Graecos populos, tum Athenienses inprimis. Inter philosophos excelluerunt Socrates, Plato, Aristoteles. Inter oratores Pericles, Isocrates, & discipuli ab hoc instituti. Nec minus disciplina militari, & imperatoriis artibus inclaruere Miltiades, Themistocles, Aristides, Cimon, Myronides, aliique complures, de quibus narrationem instituere prolixum foret.

II. Maxime vero Athenienses virtutis & gloriae incrementis celeberrimum sibi per universum prope terrarum orbem nomen pepererunt. Imperii enim sui vires tantopere auxerunt & confirmarunt, ut sine Lacedae-

μεγάλας δυνάμεις Περσικὰς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν κατηγωνίσαντο, καὶ τὴν περιβόητον Περσῶν ἡγεμονίαν ἐπὶ τοσοῦτον ἐταπείνωσαν, ὥστε ἀναγκάσαι πάσας τὰς κατὰ τὴν Ἀσίαν πόλεις ἐλευθερῶσαι κατὰ συνθήκας. ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον τὰ κατὰ μέρος ἀνεγράψαμεν ἐν δυσὶ βίβλοις, ταύτῃ τε καὶ τῇ πρὸ ταύτης· νυνὶ δὲ ἐπὶ τὰς προκειμένας πράξεις [1] τρεψόμεθα, προδιορίσαντες τοὺς οἰκείους τῇ γραφῇ χρόνους. ἐν μὲν οὖν τῇ πρὸ ταύτης βίβλῳ τὴν ἀρχὴν ἀπὸ τῆς Ξέρξου στρατείας ποιησάμενοι, διήλθομεν τὰς κοινὰς πράξεις ἐπὶ τὸν προηγούμενον ἐνιαυτὸν τῆς Ἀθηναίων στρατείας ἐπὶ Κύπρον, Κίμωνος ἡγουμένου· ἐν ταύτῃ δὲ ἀπὸ [2] τῆς Ἀθηναίων στρατείας ἐπὶ Κύπρον ποιησάμενοι, διέξιμεν ἕως ἐπὶ τὸν ψηφισθέντα πόλεμον ὑπὸ Ἀθηναίων πρὸς Συρακουσίους.

1 Τρεψάμεθα Reg. 1. 2 Desunt usque ad Ἀθηναίων πρὸς &c. Coisl.

moniorum & Peloponnesiorum auxiliis (suis tantummodo copiis subnixi) magnos Persarum exercitus terra marique profligarent, & celebratissimum illud Persarum imperium adeo labefactarunt, ut universas per Asiam civitates Graecorum liberas dimittere per transactionem cogerentur. Quae singula accuratius & fusius per duo volumina, hoc, quod nunc ingredimur, & proxime antecedens, a nobis explicata sunt. Nunc ergo ad rerum propositarum tractationem nos convertemus, si certum prius tempus illi definierimus. In proximo igitur libro a Xerxis in Graeciam transitu exorsi, res ubique gestas ad annum, qui expeditionem Atheniensium in Cyprum, Cimone duce institutam, antecedit, perduximus. In hoc, sumto ab expeditione in Cyprum initio, ad bellum contra Syracusanos ab Atheniensibus decretum, narrationem persequemur.

γ'. Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησιν Εὐθυδήμου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Λεύκιον [1] Κοΐντιον Κικιννάτον καὶ Μάρκον Φάβιον [2] Οὐϊβουλανόν. ἐπὶ δὲ τούτων Ἀθηναῖοι διαπεπολεμηκότες ὑπὲρ Αἰγυπτίων πρὸς Πέρσας, τὰς ναῦς ἁπάσας ἀπολελωκότες ἐν τῇ λεγομένῃ Προσωπίτιδι νήσῳ, βραχὺν χρόνον διαλιπόντες, ἔγνωσαν πάλιν πολεμεῖν τοῖς Πέρσαις ὑπὲρ τῶν κατὰ τὴν Ἀσίαν Ἑλλήνων. καταρτίσαντες δὲ στόλον [3] διακοσίων τριήρων, καὶ στρατηγὸν ἑλόμενοι Κίμωνα τὸν [4] Μιλτιάδου, [5] προσέταξαν πλεῖν ἐπὶ Κύπρον, καὶ διαπολεμεῖν τοῖς Πέρσαις. ὁ δὲ Κίμων ἀναλαβὼν τὸν στόλον κεκοσμημένον ἀνδρῶν τε ἀρεταῖς καὶ χορηγίαις δαψιλέσιν, ἔπλευσεν εἰς τὴν Κύπρον. κατ' ἐκείνους δὲ τοὺς καιροὺς τῶν Περσικῶν δυνάμεων ἐστρατήγουν [Ἀρτάβαζος καὶ Μεγάβυζος.] Ἀρτάβαζος μὲν τὴν ἡγεμονίαν ἔχων, ἐν τῇ Κύπρῳ διέτρι-

Olymp. LXXXII, 3.

Poſt bellum pro Aegyptiis infeliciter geſtum (cf. XI, 77.) novum bellum pro Graecorum in Aſia libertate, Perſis inferunt Athenienſes.

Cimon, claſſi praefectus, Perſas in Cypro adoritur, (unde bello nomen Cyprio inditum)

1 Κουΐντιον Coisl. Vat.
2 Οὐϊκουλανὸν Coisl. *Iubilanus* vet. interpr.
3 Τριήρων διακ. Reg. uterque.
4 Μιλτιάδην Vat.
5 Προσέταξε Reg. 1.

III. Praetore Athenis Euthydemo Romani Conſules legerunt L. Quintium Cincinnatum & M. Fabium Vibulanum. Sub hoc tempus Athenienſes, parum feliciter adverſus Perſas pro Aegyptiis belligerati, naves omnes in Proſopitide inſula amiſerunt; brevique interiecto tempore, novum Perſis bellum pro libertate Graecorum in Aſia movere conſtituunt. Inſtaurata igitur CC triremium claſſe, Cimonem, Miltiadis filium, imperatorem creant, eumque, directo in Cyprum curſu, Perſis bellum faceſſere iubent. Is ſtatim cum claſſe, fortiſſimis virorum copiis, & largo victus aliorumque neceſſariorum apparatu inſtructiſſima, in Cyprum tranſmittit. Perſicis tum copiis praeerant Artabazus & Megabyzus. Artabazus, claſſis praetor, cum CCC triremibus ad Cyprum ſtatio-

βεν, ἔχων τριήρεις τριακοσίας· [1] Μεγάβυζος δὲ περὶ τὴν [2] Κιλικίαν ἐστρατοπέδευε, πεζικὰς ἔχων δυνάμεις, ὧν ὁ ἀριθμὸς ἦν τριάκοντα μυριάδων. ὁ δὲ Κίμων καταπλεύσας εἰς τὴν Κύπρον, [3] καὶ θαλαττοκρατῶν, [4] Κίτιον μὲν καὶ Μαλὸν ἐξεπολιόρκησε, καὶ τοῖς κρατηθεῖσι φιλανθρώπως προσηνέχθη· μετὰ δὲ ταῦτα ἐκ [5] Κιλικίας καὶ Φοινίκης προσφερομένων [6] τριήρων τῇ νήσῳ, Κίμων ἐπαναχθεὶς [7] καὶ πόλεμον συγκρούσας, πολλὰς μὲν τῶν νεῶν κατέδυσεν, ἑκατὸν δὲ σὺν αὐτοῖς τοῖς ἀνδράσιν [8] εἷλε, τὰς δὲ λοιπὰς μέχρι τῆς Φοινίκης κατεδίωξεν. οἱ μὲν οὖν Πέρσαι ταῖς ὑπολειφθείσαις ναυσὶ κατέφυγον εἰς τὴν γῆν, καθ' ὃν [9] τόπον ἦν Μεγάβυζος ἐστρατοπεδευκὼς μετὰ τῆς Περσικῆς δυνάμεως· οἱ δὲ Ἀθηναῖοι προσπλεύσαντες, καὶ τοὺς στρατιώτας ἐκβιβάσαντες, συνῆψαν μάχην, καθ' ἣν Ἀνα-

& proeliis aliquoties fundit.

1 Μεγαβάζος Coisl. plerumque.
2 Λικίαν Clar. tum ἐστρατοπέδευσε idem & Coisl. Vat. Reg. 1.
3 Omittit Coisl.
4 Κήτειον Coislin. Vat. vetus interpr.
5 Κιλίας Clar.
6 Deſit vocabulum Reg. 2. Ven.
7 Exſulant quinque, quae ſuccedunt, ex Coisl. & Reg. 1.
8 Ἀνεῖλε Vat.
9 Τρόπον Reg. 1.

nem habebat; Magabyzus autem terreſtribus copiis (ad CCC hominum millia erant) praefectus, in Cilicia ſtativa habebat. Cimon igitur cum maris imperium ſibi vindicaſſet, expoſitis in Cypro militibus, Citium Malumque expugnat, & ſumma in victos humanitate utitur. Poſt vero quam triremes e Phoenicia & Cilicia auxilio inſulanis venire cognovit, ipſe in altum ſubvectus, conſertis cum hoſte manibus, plurimas triremium demergit, & centum cum ipſis militibus capit, ceteras ad Phoeniciam uſque inſectans. Perſae vero cum parte navium adhuc reliqua in terram, quo loco Megabyzus in caſtris exercitum continebat, refugerunt. Sed Athenienſes, citato illuc itinere profecti, expoſito in litus milite, proelio hoſtes adoriuntur, in quo Anaxicrates, alter claſ-

ξικράτης μὲν ὁ ἕτερος τῶν στρατηγῶν, λαμπρῶς ἀγωνισάμενος, ἡρωϊκῶς κατέστρεψε τὸν βίον· οἱ δὲ ἄλλοι κρατήσαντες τῇ μάχῃ, καὶ πολλοὺς ἀνελόντες, ἐπανῆλθον εἰς τὰς ναῦς. μετὰ δὲ ταῦτα Ἀθηναῖοι πάλιν [1] ἀπέπλευσαν εἰς τὴν Κύπρον. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ [2] τὸ πρῶτον ἔτος τοῦ πολέμου.

Olymp. LXXXII, 4.

Athenienſes Perſas in Cypro & Salamine ita premunt,

δʹ. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Πεδιέως Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους [3] Μάρκον Οὐαλέριον [4] Λακτοῦκαν καὶ Σπόριον Οὐεργίνιον Τρίκοστον. ἐπὶ δὲ τούτων Κίμων ὁ τῶν Ἀθηναίων στρατηγὸς θαλαττοκρατῶν ἐχειροῦτο τὰς κατὰ τὴν Κύπρον πόλεις. ἐν δὲ τῇ Σαλαμῖνι Περσικῆς φρουρᾶς οὔσης ἀξιολόγου, καὶ [5] βελῶν καὶ ὅπλων παντοδαπῶν, ἔτι δὲ σίτου καὶ τῆς ἄλλης παρασκευῆς γεμούσης τῆς πόλεως, ἔκρινε συμφέρειν ταύτην ἐκπολιορκῆσαι. οὕτω γὰρ ὑπελάμβανε [6] μάλιστα τῆς τε Κύπρου πάσης ῥᾳδίως κυριεύ-

1 Ἀπέπλευσαν ora Steph. Coisl. Reg. 1. quod malo. ἔπλευσαν edd.
2 Negligitur a Reg. 1.
3 Μάρχον Coisl. Vat. Reg. 1. vet. interpr. Edd. Μάρκιον.
4 Λαττοῦκαν Clar.
5 Σπελῶν Coisl.
6 Notam defectus addidit Steph.

ſis praefectus, egregie decertans Heroico mortis genere occumbit. Ceteri proelio victores, magna ſtrage edita, in naves ſe recipiunt, atque inde in Cyprum revertuntur. Haec primo ſane belli Cyprii anno geſta ſunt.

IV. Archonte dehinc Athenis Pedieo, Romani conſulare imperium devolvunt ad M. Valerium Lactucam & Spurium Verginium Tricoſtum. Horum magiſtratu Cimon Athenienſium ductor, maris imperium tenens, Cypri urbes in poteſtatem redigebat. Cum vero Salamin a valido Perſarum praeſidio defenderetur, armorumque & telorum omnis generis, frumenti etiam aliarumque rerum copia referta eſſet, ex reipublicae commodo fore ſtatuit, ſi urbem illam ſubigeret. Hoc enim pacto eventurum coniiciebat, ut Cyprus tota facile in ditionem veniret,

σειν, καὶ τοὺς Πέρσας [1] καταπλήξεσθαι, βοηθεῖν μὲν τοῖς Σαλαμινίοις μὴ δυναμένους, διὰ τὸ θαλαττοκρατεῖν τοὺς Ἀθηναίους, ἐγκαταλιπόντας δὲ τοὺς συμμάχους καταφρονηθήσεσθαι· καθόλου δὲ τὸν ὅλον πόλεμον προκριθήσεσθαι, τῆς Κύπρου [2] πάσης βίᾳ χειρωθείσης. ὅπερ καὶ συνέβη γενέσθαι· οἱ μὲν γὰρ Ἀθηναῖοι συστησάμενοι πολιορκίαν πρὸς τῇ Σαλαμῖνι, καθ' ἡμέραν προσβολὰς ἐποιοῦντο. οἱ δ' ἐν τῇ πόλει στρατιῶται, ἔχοντες βέλη καὶ παρασκευὴν, ῥᾳδίως ἀπὸ τῶν τειχῶν ἠμύνοντο τοὺς πολιορκοῦντας. Ἀρταξέρξης δὲ ὁ βασιλεὺς, πυθόμενος τὰ [3] περὶ τὴν Κύπρον ἐλαττώματα, καὶ βουλευσάμενος μετὰ τῶν φίλων περὶ τοῦ πολέμου, ἔκρινε συμφέρειν εἰρήνην συνθέσθαι πρὸς τοὺς Ἕλληνας. ἔγραψε τοίνυν τοῖς περὶ Κύπρον ἡγεμόσι καὶ σατράπαις, ἐφ' οἷς ἂν [4] δύναιντο συλλύσασθαι πρὸς τοὺς Ἕλληνας. διόπερ οἱ περὶ τὸν

ut pacis conditiones petant.

1 Καταπλήξασθαι Coisl. Vat.
2 Abest a Veneto.
3 Κατὰ τὴν Reg. 1. haud male.
4 Δύνανται Reg. 1. Coisl. Vat. Cett. δύναιντο, non magno discrimine.

animique Persarum omni fiducia exuerentur; & cum propter insessum ab Atheniensibus mare Salaminios tutari nequierint, socios si desererent, omnium contemtui ut exponerentur. De summa denique belli transactum fore, si vi armorum tota Cyprus in potestatem redacta fuerit. Nec aliter res evenit. Athenienses enim, copiis urbi admotis, omni vi & machina quotidie illam oppugnant. At milites oppidani telis, aliisque ad praesentem usum necessariis, affatim instructi, contra vim obsidentium non difficulter de muris sese tuentur. Interim rex Artaxerxes, suorum in Cypro cladibus auditis, de bello consilium cum amicis init. Ibi pax ut ineatur cum Graecis, ex usu reipublicae esse decernitur. Per literas ergo ducibus & Satrapis bello Cyprico praefectis edicit, ut quibuscunque possint conditionibus bellum cum Grae-

Ἀρτάβαζον καὶ Μεγάβυζον ἔπεμψαν εἰς τὰς Ἀθήνας πρεσβευτὰς τοὺς διαλεξομένους περὶ συλλύσεως. ὑπακουσάντων δὲ τῶν Ἀθηναίων καὶ πεμψάντων πρέσβεις αὐτοκράτορας, ὧν ἡγεῖτο Καλλίας ὁ Ἱππονίκου, ἐγένοντο συνθῆκαι περὶ τῆς εἰρήνης τοῖς Ἀθηναίοις καὶ τοῖς συμμάχοις πρὸς τοὺς Πέρσας, ὧν ἐστι τὰ κεφάλαια ταῦτα, αὐτονόμους εἶναι τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις ἁπάσας, τοὺς δὲ τῶν Περσῶν σατράπας μὴ καταβαίνειν ἐπὶ θάλατταν κατωτέρω τριῶν ἡμερῶν ὁδὸν, μηδὲ ναῦν μακρὰν πλεῖν ἐντὸς [1] Φασηλίδος καὶ Κυανέων. ταῦτα δὲ τοῦ βασιλέως καὶ τῶν στρατηγῶν ἐπιτελούντων, μὴ στρατεύειν Ἀθηναίους εἰς τὴν χώραν, ἧς Ἀρταξέρξης βασιλεὺς ἄρχει. συντελεσθεισῶν δὲ τῶν σπονδῶν, Ἀθηναῖοι τὰς δυνάμεις ἀπήγαγον ἐκ τῆς Κύπρου, λαμπρὰν μὲν νίκην νενικηκότες, ἐπιφανεστάτας δὲ [2] συνθήκας πεποιημέ-

Pacis conditiones, sub quibus finitum bellum.

1 Φασιλίδος Vat. Coisl. Reg. 1. & vet. interpr. Vulgo Φάσιδος. Φασηλίδος marg. Steph. Reg. 2. Cl. 2 Τὰς συνθήκας Reg. 2. Clar.

cis componant. Artabazus itaque & Megabyzus legatos Athenas de pace verba facturos mittunt: in quorum conditiones cum consentirent Athenienses, legatos & ipsi plena cum potestate mittunt, quorum princeps erat Callias Hipponici. Pacis ergo foedus inter Athenienses horumque socios & Persas his equidem legibus sancitur: ut Graecis per Asiam civitatibus universis libertate ac suo iure uti permittatur. Ne Satrapae Persarum trium dierum itinere inferius ad mare descendant. Ne longa navi intra Phaselidem & Cyaneas excurratur. Haec si rex & militiae praefecti perficerent, Athenienses contra iurarunt se in provincias Artaxerxis arma non expedituros. Foedere his pactis sancito, Athenienses copias ex Cypro abduxere, & victoriae tam fortiter partae, & foederis tam utiliter confecti gloria insignes. Interea

νοι. συνέβη δὲ καὶ τὸν Κίμωνα περὶ τὴν Κύπρον διατρίβοντα νόσῳ τελευτῆσαι.

Olymp. LXXXIII, 1.

έ. Ἐπ' ἄρχοντος δὲ Ἀθήνησι Φιλίσκου Ῥωμαῖοι κατέστησαν ὑπάτους Τῖτον [1] Ῥωμίλιον Βατικανὸν καὶ Γάϊον Οὐετούριον Κιχώριον, Ἠλεῖοι δὲ ἤγαγον Ὀλυμπιάδα τρίτην πρὸς ταῖς ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον [2] Κρίσων Ἱμεραῖος. ἐπὶ τούτων Μεγαρεῖς μὲν ἀπέστησαν ἀπὸ Ἀθηναίων, καὶ πρὸς Λακεδαιμονίους διαπρεσβευσάμενοι, συμμαχίαν ἐποίησαν· οἱ δὲ Ἀθηναῖοι παροξυνθέντες, ἐξέπεμψαν στρατιώτας εἰς τὴν τῶν Μεγαρέων χώραν, καὶ τὰς κτήσεις διαρπάσαντες, πολλῆς ὠφελείας κύριοι κατέστησαν· τῶν δ' ἐκ τῆς πόλεως βοηθούντων τῇ χώρᾳ, συνέστη μάχη, καθ' ἣν οἱ Ἀθηναῖοι νικήσαντες συνεδίωξαν τοὺς Μεγαρεῖς ἐντὸς [3] τῶν τειχῶν.

Megarenses ad Lacedaemonios deficientes ab Atheniensibus in ordinem redacti.

Olymp. LXXXIII, 2.

στ'. Ἐπ' ἄρχοντος δὲ Ἀθήνησι Τιμαρχίδου Ῥω-

1 Ῥωμίλιον Reg. 1. Coisl. *Romulius* vet. interpres. Vulgo Ῥωμήλιον. Vide Harduinum in Plinii lib. VII, 28.
2 Κρίσσων Reg. 1.
3 Omittit Reg. 1.

dum in Cypro moram agit Cimon, morbo correptus obit.

V. Hinc praesidente Athenis Philisco, Romani Consules designant Titum Romilium Vaticanum & C. Veturium Cicurinum. Tum octuagesimam tertiam Olympiadem celebrarunt Elei, in qua ex stadio victoriam reportavit Crison Himeraeus. Ibi Megarenses a fide Atheniensium descifcunt, missaque Spartam legatione, societatem cum illis iungunt. Qua perfidia commoti Athenienses militem agris illorum immittunt, direptisque passim facultatibus ingenti praeda onusti domum redeunt. Oppidani quidem ad defensionem agrorum excurrunt, sed ubi ad proelium res devenit, Athenienses victoriam adepti, intra moenia hostem fuga compellunt.

VI. Athenis praeturam gerente Timarchide, Romae

μαῖοι μὲν ὑπάτους κατέστησαν Σπόριον [1] Ταρπέϊον καὶ Αὖλον Ἀστέριον Φοντίνιον. ἐπὶ δὲ τούτων Λακεδαιμόνιοι μὲν εἰς τὴν Ἀττικὴν ἐμβαλόντες, ἐπόρθησαν πολλὴν χώραν, καὶ τῶν φρουρίων τινὰ πολιορκήσαντες, ἐπανῆλθον εἰς τὴν Πελοπόννησον· Τολμίδης δὲ ὁ τῶν Ἀθηναίων στρατηγὸς εἷλε [2] Χαιρώνειαν. τῶν δὲ Βοιωτῶν συστραφέντων καὶ τοῖς περὶ τὸν Τολμίδην ἐνεδρευσάντων, ἐγένετο μάχη καρτερὰ περὶ τὴν Κορώνειαν, καθ' ἣν Τολμίδης μὲν μαχόμενος ἀνῃρέθη, τῶν δὲ ἄλλων Ἀθηναίων οἱ μὲν κατεκόπησαν, οἱ δὲ ζῶντες ἐλήφθησαν. τηλικαύτης δὲ συμφορᾶς γενομένης τοῖς Ἀθηναίοις, ἠναγκάσθησαν ἀφεῖναι τὰς πόλεις ἁπάσας τὰς κατὰ τὴν Βοιωτίαν αὐτονόμους εἶναι, ἐὰν τοὺς αἰχμαλώτους ἀπολάβωσιν.

Lacedaemoniorum incursio in Atticam.

Proelio victi ad Coroneam Athenienses.

Pro redimendis captivis omnes Boeotiae urbes ipsis ademtae.

ζ΄. Ἐπ' ἄρχοντος δὲ Ἀθήνησι Καλλιμάχου Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Σέξστον [3] Κοΐντιον

Olymp. LXXXIII, 3.

1 Ταρπέτιον Clar. Reg. 2. Venetus & liber Granvellani Card. apud Pighium Fastor. L. II, p. 134.
2 Χερώνειαν Coisl. vet. interpr.
3 Κόϊντον Reg. 2. Venet. Clar. & ora Steph. Κοΐνκτιον Vat. Post Τριγέμινον sequitur defectus nota in edito Steph. & vet. interpr.

Consules creati Spurius Tarpeius & A. Aterius Fontinalis. Horum tempore Lacedaemonii, facta in Atticam irruptione, regionem longe lateque populando vastarunt, & expugnatis quibusdam castellis, in Peloponnesum regressi sunt. Tolmides vero dux Atheniensium Chaeroneam cepit. Sed coniuncti inter se Boeoti insidiis Tolmidem excipiunt. Ibi atrox ad Coroneam oritur proelium, quo Tolmides fortiter pugnans cadit, & Atheniensium ceteri partim concisi, partim vivi in hostium manus pervenere. Hac tam insigni clade populus Atheniensium coactus est, ut pro captivorum redemtione omnes Boeotiae urbes, imperio suo exemtas, antiquo libertatis iuri restituerent.

VII. Tunc Archonte Athenis Callimacho, & Romae consulatum gerentibus Sex. Quinctilio & P. Curiatio

Multae civitates post acceptam cladem ab Atheniensibus deficiunt. Euboea, duce Pericle, sub imperium redacta.

Τριγέμινον. ἐπὶ δὲ τούτων κατὰ τὴν Ἑλλάδα τεταπεινωμένων τῶν Ἀθηναίων, διὰ τὴν ἐν Βοιωτίᾳ περὶ Χαιρώνειαν ἧτταν, ἀφίσταντο πολλαὶ τῶν πόλεων ἀπὸ τῶν Ἀθηναίων, μάλιστα δὲ τῶν κατοικούντων τὴν Εὔβοιαν νεωτεριζόντων. Περικλῆς δὲ αἱρεθεὶς στρατηγὸς, ἐστράτευσεν ἐπὶ τὴν Εὔβοιαν μετὰ δυνάμεως ἀξιολόγου, καὶ τὴν μὲν πόλιν τῶν [1] Ἑστιαιέων ἑλὼν κατὰ κράτος, ἐξῴκισε τοὺς Ἑστιαιεῖς ἐκ τῆς πατρίδος, τὰς δ' ἄλλας καταπληξάμενος, ἠνάγκασε πάλιν πειθαρχεῖν Ἀθηναίοις. σπονδὰς δ' ἐποίησαν τριακονταετεῖς, Καλλίου καὶ Χάρητος συνθεμένων, καὶ τὴν εἰρήνην βεβαιωσάντων.

Inde in xxx annos induciae factae.

Eodem tempore in Sicilia bellum inter Syracusanos & Agrigentinos exarsit, ob Ducetium regulum,

η'. Κατὰ δὲ τὴν Σικελίαν Συρακουσίοις πρὸς Ἀκραγαντίνους συνέστη πόλεμος διὰ τοιαύτας αἰτίας. Συρακούσιοι καταπολεμήσαντες Δουκέτιον δυνάστην τῶν Σικελῶν, καὶ γενόμενον ἱκέτην ἀπολύσαντες τῶν ἐγκλημάτων, ἀπέδειξαν αὐτῷ τὴν τῶν Κορινθίων πό-

1 Ἑστιαίων & mox Αἰστιαεῖς Coisl.

Tergemino, in Graecia valde debilitatis clade ad Chaeroneam in Boeotia Atheniensium opibus, pleraeque ab illis civitates deficiunt, maxime vero Euboeae incolae novis rebus studebant. Pericles ergo dux creatus magnis in Euboeam copiis movet, & Hestiaeorum urbe per vim expugnata, cives ex patriis sedibus alio transfert, & ceteros timore perculsos ad recipiendum populi Atheniensis imperium adigit. Tum induciae ad annos XXX inter ipsos factae, pacisque leges a Callia & Charete scriptae & confirmatae sunt.

VIII. In Sicilia inter Syracusanos & Agrigentinos his de causis bellum est conflatum. Postquam Ducetii Siculorum reguli opes fregerant Syracusani, quod supplex populi misericordiam implorasset, a noxa absolutum Co-

λιν οἰκητήριον. οὗτος δὲ ὀλίγον χρόνον μείνας ἐν τῇ Κορίνθῳ, τὰς ὁμολογίας ἔλυσε, καὶ προσποιησάμενος χρησμὸν ὑπὸ [1] τῶν θεῶν ἑαυτῷ δεδόσθαι, κτίσαι τὴν Καλὴν Ἀκτὴν ἐν Σικελίᾳ, κατέπλευσεν εἰς τὴν νῆσον μετὰ πολλῶν οἰκητόρων· συνεπελάβοντο δὲ καὶ τῶν Σικελῶν τινες, ἐν οἷς ἦν καὶ Ἀρχωνίδης ὁ τῶν Ἐρβιταίων δυναστεύων. οὗτος μὲν οὖν περὶ τὸν οἰκισμὸν τῆς Καλῆς Ἀκτῆς ἐγίνετο· Ἀκραγαντῖνοι δὲ, ἅμα μὲν [2] φθονοῦντες τοῖς Συρακουσίοις, ἅμα δ' ἐγκαλοῦντες αὐτοῖς ὅτι Δουκέτιον ὄντα κοινὸν πολέμιον διέσωσαν ἄνευ τῆς Ἀκραγαντίνων γνώμης, πόλεμον ἐξήνεγκαν τοῖς Συρακουσίοις. σχιζομένων δὲ τῶν [3] Σικελικῶν πόλεων, καὶ τῶν μὲν τοῖς Ἀκραγαντίνοις, τῶν δὲ τοῖς Συρακουσίοις [4] συστρατευόντων, ἠθροίσθησαν παρ' ἀμφοτέρων δυνάμεις ἀξιόλογοι. φιλοτιμίας δὲ μεγάλης γενομένης ταῖς πόλεσιν, ἀντεστρατοπέδευσαν [5] ἀλ-

quem Syracusani, inconsultis Agrigentinis, dimiserant; quo facto is cum magna hominum turba in Siciliam redierat, novas sedes quaerens.

1 Τῶν desit Reg. 2. & Clarom. Mox αὐτῷ Coisl. Reg. 1.
2 Φθονήσαντες Reg. 1.
3 Σικελῶν Clar.
4 Στρατευόντων Co. Vat. Reg. 1.
5 Ἀλλήλαις Coislin. non male:

rinthi privatam agere vitam iusserant. Is vero, ad exiguum illic tempus moratus, pactorum fidem solvit, & oraculo se iussum simulans, ut pulchram in Sicila Acten, id est, oram, incolis frequentaret, cum magna hominum novas sedes quaerentium turba in insulam transmisit. Adiunxerunt se etiam Siculorum nonnulli, & inter hos Archonides Erbitaeorum princeps. Dum is ergo coloniae in litore illo pulchro intentus est, Agrigentini, simul invidia erga Syracusanos concitati, simul etiam quod Ducetium communem omnium hostem praeter Agrigentinorum consensum vita donassent, incusantes, bellum Syracusiis intulerunt. Scissis propterea in diversa studia civitatibus Siculorum, cum pars Agrigentinis, pars Syracusanis adhaereret, ingens utrobique manus cogitur, & magno urbes nixu in bellum incumbunt.

λήλοις περὶ τὸν Ἱμέραν ποταμὸν, καὶ γενομένης παρατάξεως, ἐνίκησαν οἱ Συρακούσιοι, καὶ τῶν Ἀκραγαντίνων ἀνεῖλον ὑπὲρ τοὺς χιλίους. μετὰ δὲ τὴν μάχην, διαπρεσβευσαμένων περὶ συνθέσεως τῶν Ἀκραγαντίνων, οἱ Συρακούσιοι [1] συνέθεντο τὴν εἰρήνην.

In Italia Thurium condita, hac occasione: urbs Sybaris ob civitatem incolis nimis auctam, D cives, opibus et utos, urbe expulerat,

θʹ. Καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν. κατὰ δὲ τὴν [2] Ἰταλίαν συνέβη κτισθῆναι τὴν τῶν Θουρίων πόλιν, δι' αἰτίας τοιαύτας. ἐν τοῖς ἔμπροσθεν χρόνοις Ἑλλήνων κτισάντων κατὰ τὴν Ἰταλίαν πόλιν Σύβαριν, συνέβη ταύτην λαβεῖν ταχεῖαν αὔξησιν διὰ τὴν ἀρετὴν τῆς χώρας· κειμένης γὰρ ἀνὰ μέσον [3] δυεῖν ποταμῶν, τοῦ τε Κράθιος, καὶ τοῦ Συβάριος, (ἀφ' οὗ ταύτης ἔτυχε τῆς προσηγορίας) οἱ κατοικισθέντες, νεμόμενοι πολλὴν καὶ καρποφόρον χώραν, μεγάλους ἐκτήσαντο πλούτους. πολλοῖς δὲ μεταδιδόντες τῆς πολιτείας, ἐπὶ [4] τοσοῦτον προέβησαν, ὥστε

enallage tamen generis Nostro frequentatur.

1 Διέθεντο ora St. Reg. 2. Clar.

2 Σικελίαν Coisl. absurde.

3 Δυεῖν Reg. 1.

4 Τοσοῦτο Coisl. Reg. 1.

Cumque castra castris ad Himeram fluvium opposuissent, infestis tandem signis concurrerunt. Ibi victoriam adepti Syracusani plus quam mille Agrigentinos eo conflictu caedunt. Sed statim a pugna legatis Agrigentinorum de componendo bello missis, pacem Syracusani certis conditionibus cum illis fecerunt.

IX. Dumque res Siculorum in hoc statu vertuntur, Thuriorum urbs in Italia conditur. Id vero hac occasione evenit: cum anteactis temporibus Graeci Sybarim in Italia exstruxissent, foecunditate soli effectum est, ut brevi opes urbis crescerent. Quia enim inter duo flumina, Crathim atque Sybarim, (a quo nomen accepit) sita est, & cives agrum longe lateque patentem, & frugum feracissimum colunt, magnas subito divitias collegerunt, multisque in civitatis communionem receptis,

δόξαι πολὺ προέχειν τῶν κατὰ τὴν Ἰταλίαν οἰκούντων· πολυανθρωπίᾳ τε [1] τοσοῦτον διήνεγκαν, ὥστε τὴν πόλιν ἔχειν πολιτῶν τριάκοντα μυριάδας. γενόμενος δὲ παρ' αὐτοῖς δημαγωγὸς [2] Τῆλυς, καὶ κατηγορῶν τῶν μεγίστων ἀνδρῶν, ἔπεισε τοὺς Συβαρίτας φυγαδεῦσαι τοὺς εὐπορωτάτους τῶν πολιτῶν πεντακοσίους, καὶ τὰς οὐσίας αὐτῶν δημεῦσαι. τῶν δὲ φυγάδων παρελθόντων εἰς Κρότωνα, καὶ καταφυγόντων ἐπὶ τοὺς εἰς τὴν ἀγορὰν βωμούς, ὁ μὲν Τῆλυς ἐξέπεμψε πρεσβευτὰς πρὸς τοὺς Κροτωνιάτας, οἷς ἦν προστεταγμένον, ἢ τοὺς φυγάδας ἐκδοῦναι, ἢ πόλεμον προσδέχεσθαι. συναχθείσης δὲ ἐκκλησίας, καὶ προτεθείσης βουλῆς πότερον χρὴ τοὺς [3] Ἰταλιώτας ἐκδοῦναι τοῖς Συβαρίταις, ἢ πόλεμον [4] ὑπομεῖναι πρὸς δυνατωτέρους· ἀπορουμένης τε τῆς συγκλήτου καὶ τοῦ δήμου, τὸ μὲν πρῶτον ἐρ-

qui Crotona confugiunt.

1 Τοσοῦτο iterum Coisl. Reg. 1.
2 Τῆλις Coislin. semper. *Teles* interpr. vet.
3 Σικελιώτας Co. Vat. Reg. 1. *Exsules* vet. interpr.
4 Ὑπομείνασι Reg. 1. Vat.

eo provecti sunt, ut longe ceteros Italiae incolas antecedere viderentur. Hominum certe multitudine ita exuberarunt, ut una civitas CCC hominum millia contineret. Erat vero illa tempestate ductor quidam populi nomine Telys. Is potentissimum quemque ad populum criminando hoc tandem apud Sybaritas obtinuit, ut civium IↃ opibus instructissimos urbe eiicerent, fortunasque eorum publicarent. Exsules hi Crotonem petunt, & ad aras in foro erectas supplicum ritu confugiunt. Mox Telys legatos Crotonem mittit, qui denuntient, ut vel dedant exsules, vel bellum a Sybaritis exspectent. Advocata igitur concione, & deliberatione proposita, utrum dedi supplices, an vero bellum suscipere contra potentiores expediret, non parum a senatu & populo dubitatum fuit. Ac primum quidem eo sententia populi in-

ῥεπε ταῖς γνώμαις τὸ πλῆθος πρὸς τὴν ἀπόδοσιν τῶν ἱκετῶν, διὰ τὸν πόλεμον· μετὰ δὲ ταῦτα Πυθαγόρου τοῦ φιλοσόφου [1] συμβουλεύσαντος σώζειν τοὺς ἱκέτας, μετέπεσον ταῖς γνώμαις, καὶ τὸν πόλεμον ὑπὲρ τῆς τῶν ἱκετῶν σωτηρίας ἀνείλοντο. στρατευσάντων δ' ἐπ' αὐτοὺς τῶν Συβαριτῶν τριάκοντα μυριάσιν, ἀντετάχθησαν οἱ Κροτωνιάται δέκα μυριάσι, Μίλωνος τοῦ ἀθλητοῦ ἡγουμένου, καὶ διὰ τὴν ὑπερβολὴν τῆς τοῦ σώματος ῥώμης πρώτου τρεψαμένου τοὺς καθ' αὑτὸν τεταγμένους. ὁ γὰρ ἀνὴρ οὗτος ἑξάκις Ὀλύμπια νενικηκὼς, καὶ τὴν ἀλκὴν ἀκόλουθον ἔχων τῇ κατὰ τὸ σῶμα φύσει, λέγεται πρὸς τὴν μάχην ἀπαντῆσαι κατεστεφανωμένος μὲν τοῖς [2] Ὀλυμπιακοῖς στεφάνοις, διεσκευασμένος δὲ εἰς Ἡρακλέους σκευὴν, λεοντῇ καὶ ῥοπάλῳ· αἴτιον δὲ γενόμενον τῆς νίκης θαυμασθῆναι παρὰ τοῖς πολίταις.

De his, auctore Pythagora, in fidem receptis, Sybaritae bellum movent, Milone duce fusi.

ι'. Τῶν δὲ Κροτωνιατῶν διὰ τὴν ὀργὴν ζωγρεῖν μὲν

1 Abest Reg. 1. 2 Ὀλυμπικοῖς Co. Vat. sed alterum probat auctor.

clinavit, ut propter belli discrimen supplices redderentur. Ast ubi Pythagoras philosophus exsules, qui fidei ipsorum se credidissent, protegendos esse suasit, revocata demum sententia, salutem supplicum armis se tutari velle, decreverunt. Sybaritis ergo, CCC armatorum millia ducentibus, Crotoniatae C millibus instructi occurrunt, duce Milone athleta: qui etiam primus hostium cornu sibi in acie oppositum, (nam invicto corporis robore praeditus erat,) in fugam vertit. Hic vir, cum vires animi naturae corporis consentaneas haberet, sexies ad Olympiam victor exstiterat: & tum Olympicis redimitus corollis, Herculisque ritu leonina pelle ac clava insignis, pugnae certamen adibat, &, quod victoriae popularibus causa fuisset, magnae illis admirationi fuit.

X. Fusis itaque hostibus, cum nulli eorum, quos ce-

μηδένα βουληθέντων, πάντας δὲ κατὰ τὴν φυγὴν [1] τοὺς ὑποπεσόντας ἀποκτεινόντων, οἱ πλείους κατεκόπησαν· τὴν δὲ πόλιν διήρπασαν, καὶ παντελῶς ἔρημον ἐποίησαν. ὕστερον δὲ ἔτεσιν ὀκτὼ πρὸς τοῖς πεντήκοντα Θετταλοὶ [2] συνῴκισαν, καὶ μετ' ὀλίγον ὑπὸ Κροτωνιατῶν ἐξέπεσον, πέντε ἔτεσιν ὕστερον τοῦ δευτέρου συνοικισμοῦ, κατὰ τοὺς ὑποκειμένους καιρούς. ἐπ' ἄρχοντος δ' Ἀθήνησι Καλλιμάχου συνῳκίσθη, καὶ μετὰ βραχὺ μετασταθεῖσα εἰς ἕτερον τόπον, προσηγορίας ἑτέρας ἔτυχε, κτιστῶν γενομένων Λάμπωνος καὶ Ξενοκρίτου, τοῦτον τὸν τρόπον. οἱ δὲ τὸ δεύτερον ἐκπεσόντες [3] ἐκ τῆς πατρίδος Συβαρῖται, πρέσβεις ἔπεμψαν εἰς τὴν Ἑλλάδα πρὸς Λακεδαιμονίους καὶ Ἀθηναίους, ἀξιοῦντες συνεπιλαβέσθαι τῆς καθόδου, καὶ κοινωνῆσαι τῆς ἀποικίας. Λακεδαιμόνιοι μὲν οὖν [4] οὐ προσέσχον αὐτοῖς· Ἀθηναῖοι δὲ συμπράξειν ἐπαγ-

Inde urbs Sybaris excisa Ol. LXVII, 3.

Exsules ab Atheniensibus adiuti post LVIII annos novam coloniam eo deducunt,

1 Deest Reg. 2. & Clar.
2 Συνῴκησαν Coisl. Reg. 1.
3 Haec tria solemnem defectus notam habent in editis. Brevi ante δὲ supervacaneum est.
4 Οὐ προσέχοντες Reg. 1.

perant, vitam Crotoniatae donarent, sed omnes in fuga comprehensos trucidarent; maior exercitus pars concisa interiit, & urbs post foedam direptionem ad solitudinem est redacta. Sed interlapsis IIX & L annis Thessali quidam in eam habitandam concesserunt, sed paullo post, quinquennio vix transacto, post instaurationem a Crotoniatis eiecti sunt. Callimacho vero Athenis summae rerum praefecto urbs illa inhabitari coepit; sed brevi in alium transposita locum aliud etiam nomen accepit, Lampone & Xenocrate conditoribus. Quod hoc modo gestum est. Sybaritae, qui secundo e patria exacti profugerant, missis in Graeciam legatis a Spartanis & Atheniensibus contendunt, ut & reditus adiutores, & coloniae participes esse velint. Lacedaemonii quidem petitionem illorum non admittunt; sed Athenienses, decretis au-

γειλάμενοι, δέκα ναῦς πληρώσαντες, ἀπέστειλαν τοῖς Συβαρίταις, ὧν ἡγεῖτο Λάμπων τε καὶ Ξενόκριτος· ἐκήρυξαν δὲ κατὰ τὰς ἐν Πελοποννήσῳ πόλεις, κοινοποιούμενοι τὴν ἀποικίαν [1] τῷ βουλομένῳ μετέχειν τῆς ἀποικίας. ὑπακουσάντων δὲ πολλῶν, καὶ λαβόντων χρησμὸν παρὰ τοῦ Ἀπόλλωνος, ὅτι δεῖ κτίσαι πόλιν αὐτοὺς ἐν τούτῳ τῷ τόπῳ, ὅπου μέλλουσιν οἰκεῖν μέτριον ὕδωρ πίνοντες, ἀμετρὴ δὲ μάζαν ἔδοντες· κατέπλευσαν εἰς τὴν Ἰταλίαν, καὶ καταντήσαντες εἰς τὴν Σύβαριν, ἐζήτουν τόπον, ὃν ὁ θεὸς ἦν προστεταχὼς κατοικεῖν. εὑρόντες δὲ οὐκ ἄποθεν τῆς Συβάρεως κρήνην ὀνομαζομένην Θουρίαν, ἔχουσαν αὐλὸν χάλκεον, ὃν [2] ἐκάλουν οἱ ἐγχώριοι μέδιμνον· νομίσαντες εἶναι τοῦτον τὸν τόπον τὸν δηλούμενον ὑπὸ τοῦ θεοῦ, περιέβαλον τεῖχος, καὶ κτίσαντες πόλιν, ὠνόμασαν ἀπὸ

& prope Sybarin deletam, ad fontem Thurium, Thurium condunt.

1 Τῶν βουλομένων Coisl.
2 Ἐκαλοῦντο Coisl. Mox νομίσαντες τοῦτον εἶναι τὸν δηλούμενον Reg. 2.

xiliis, x naves milite completas Sybaritis mittunt, quarum Lampon & Xenocrates praefecti. Praeconibus ergo huc illuc per urbes Peloponnesi missis, publice denuntiant, liberam se copiam facere omnibus coloniae se novae aggregandi. Non exiguus inde numerus assensum praebet: cum Apollinis oraculo non parum moverentur, qui monebat, illic loci urbem condendam esse, ubi modicae aquae potus, panis vero citra mensuram comestus suppeteret. Cum igitur, suscepta in Italiam navigatione, Sybarim appulissent, locum habitationis a Deo iussum diligenter inquirunt. Et scaturigine non procul a Sybari inventa, cui nomen Thuriae, per aeneum canaliculum, quem Medimnum accolae vocitabant, latices effundente, sedem hanc esse a Deo praemonstratam interpretati, circumductis pomoeriis oppidum ibi statuunt,

τῆς κρήνης Θούριον. τὴν δὲ πόλιν διελόμενοι, κατὰ μὲν μῆκος, εἰς τέσσαρας πλατείας, ὧν καλοῦσι τὴν μὲν μίαν, Ἡράκλειαν· τὴν δὲ, [1] Ἀφροδισιάδα· τὴν δὲ, Ὀλυμπιάδα· τὴν δὲ, Διονυσιάδα· κατὰ δὲ τὸ πλάτος, διεῖλον εἰς τρεῖς πλατείας, ὧν ἡ μὲν ὠνομάσθη Ἡρῴα, ἡ δὲ Θουρία, ἡ δὲ Θουρίνα. ὑπὸ δὲ τούτων τῶν στενωπῶν πεπληρωμένων τὰς οἰκίας, ἡ πόλις ἐφαίνετο καλῶς κατεσκευάσθαι.

ια΄. Ὀλίγον δὲ χρόνον ὁμονοήσαντες οἱ Θούριοι, στάσει μεγάλῃ περιέπεσον, οὐκ ἀλόγως. οἱ γὰρ προϋπάρχοντες Συβαρῖται τὰς μὲν ἀξιολογωτάτας ἀρχὰς ἑαυτοῖς προσένεμον, τὰς δ' εὐτελεῖς τοῖς ὕστερον προσγεγραμμένοις πολίταις· καὶ τὰς γυναῖκας ἐπιθύειν τοῖς θεοῖς ᾤοντο δεῖν πρώτας μὲν τὰς πολίτιδας, ὑστέρας δὲ τὰς μεταγενεστέρας· πρὸς δὲ τούτοις τὴν μὲν

Discordia inter cives exorta,

1 Ἀφροδισίδα Vat. Post pauca κίαις, more auctori consueto. praestaret πεπληρωμένων ταῖς ῥι-

quod de fonte Thurium indigitant. Tum urbis longitudine in IV plateas exporrecta, unam Heracleam vocitant, secundam Aphrodisiadem, tertiam Olympiadis, & quartam Dionysiadis nomine insigniunt. Latitudine in tres plateas divisa, primam Heroam, alteram Thuriam, postremamque Thurinam appellarunt. Cumque vicos his interiectos domibus explevissent, urbs commode digesta, & pulchre exaedificata videbatur.

XI. Ad exiguum vero tempus concordia inter Thurios viguit, gravique admodum respublica seditione, non absque causa, vexari coepit. Nam antiqui loci possessores Sybaritae praecipuos magistratuum honores sibi usurpare, inferiores autem minusque conspicuos nuper adscriptis civibus attribuere. Tum ad sacra Deûm primo loco admittendas antiquorum civium matronas, postremo illorum, qui postea in ius civitatis venerant, cen-

σύνεγγυς τῇ πόλει χώραν κατεκληρούχουν ἑαυτοῖς, τὴν δε πόῤῥω κειμένην τοῖς ἐπήλυσι. γενομένης δὲ διαφορᾶς δια τὰς εἰρημένας αἰτίας, οἱ προσγραφέντες

caesis antiquis Sybaritis, novi coloni remp. melius instruunt,

ὕστερον πολῖται πλείους καὶ [1] κρείττονες ὄντες, ἀπέκτειναν σχεδον ἅπαντας τοὺς προϋπάρχοντας Συβαρίτας, καὶ τὴν πόλιν αὐτοὶ κατῴκησαν. πολλῆς δὲ οὔσης καὶ καλῆς χώρας, οἰκήτορας ἐκ τῆς Ἑλλάδος μεταπεμψάμενοι συχνοὺς, διενείμαντο τὴν πόλιν, καὶ τὴν χώραν ἐπίσης ἔνεμον. οἱ δὲ διαμένοντες, ταχὺ πλούτους μεγάλους ἐκτήσαντο, καὶ πρὸς τοὺς Κροτωνιάτας φιλίαν συνθέμενοι, καλῶς ἐπολιτεύοντο. συστησάμενοι δὲ πολίτευμα δημοκρατικὸν, διεῖλον τοὺς πολίτας εἰς δέκα φυλὰς, καὶ τὰς προσηγορίας ἁπάσας περιέθηκαν ἐκ τῶν ἐθνῶν, τρεῖς μὲν ἀπὸ τῶν ἐκ Πελοποννήσου συναχθέντων, ὀνομάσαντες Ἀρκάδα, καὶ Ἀχαΐδα, καὶ

1 Κρείττονες ὄντες, ἀπέκτειναν Vat. Coisl. probe. Edd. κρείττονες σχεδὸν ἅπαντας ora Steph. Reg. 1. σχεδὸν ὄντες, ἀπεκτ. ἐγγὺς ἅπαντας.

ſere. Ad haec vicinum urbi agrum inter ſe partiti, remotiorem hoſpitibus adſcriptitiis relinquere. Cum hic diſſidiorum ignis in funeſtum ſeditionis incendium erupiſſet, adoptati in civitatem nuper, cum numero, tum viribus potiores, vetuſtos Sybaritas prope omnes ad internecionem delent, & ſuo urbem arbitrio adminiſtrandam vindicant. Sed cum multum adhuc fertilis & elegantis agri ſupereſſet, cultores ex Graecia non paucos arceſſunt, inter quos & reliquas in urbe ſedes, & agrorum fundos aequali ſorte diſtribuunt. Reſidua ergo civium frequentia magnas brevi divitias accumulavit, initoque cum Crotoniatis amicitiae foedere, praeclare rempublicam deinceps adminiſtravit; eaque ad ſtatum popularem conformata, cives in x tribus digeſſerunt, quibus a ſua cuique gente nomina indiderunt. Tres e Peloponneſo collectas nominarunt Arcadem, Achaïdem

[1] Ἠλείαν, τὰς ἴσας δὲ ἀπὸ τῶν ἔξωθεν ὁμοεθνῶν, Βοιωτίαν, Ἀμφικτυονίδα, Δωρίδα· τὰς δὲ λοιπὰς τέσσαρας ἀπὸ τῶν ἄλλων γενῶν, Ἰάδα, Ἀθηναΐδα, Εὐβοΐδα, Νησιῶτιν. εἵλοντο δὲ καὶ νομοθέτην τὸν ἄριστον τὸν ἐν παιδείᾳ θαυμαζόμενον πολιτῶν Χαρώνδαν. οὗτος δὲ ἐπισκεψάμενος τὰς ἁπάντων νομοθεσίας, ἐξελέξατο τὰ κράτιστα καὶ κατέταξεν εἰς τοὺς νόμους· πολλὰ δὲ καὶ ἴδια παρεπινοησάμενος ἐξεῦρε, περὶ ὧν οὐκ ἀνοίκειόν ἐστι ἐπιμνησθῆναι, πρὸς διόρθωσιν τῶν ἀναγινωσκόντων. Sumto Charonda legislatore.

ιβʹ. Πρῶτον μὲν γὰρ τοῖς μητρυιὰν ἐπαγομένοις κατὰ τῶν ἰδίων τέκνων ἔθηκε πρόστιμον, τὸ μὴ γίνεσθαι συμβούλους τούτους τῇ πατρίδι· νομίζων τοὺς κακῶς περὶ τῶν ἰδίων τέκνων βουλευσαμένους, καὶ συμβούλους κακοὺς ἔσεσθαι τῇ πατρίδι. ἔφη γὰρ τοὺς μὲν πρῶτον γήμαντας καὶ ἐπιτυχόντας, δεῖν εὐημεροῦν- Charondae legum specimina.

1 Ἠλίδα in ora Steph. ex Clar. & Venet. Κλείαν Vat.

& Eleam: totidem ex remotioribus inde populis cuique tribui cognatis Boeoticam, Amphictyonida & Doriensem. Quatuor inde reliquas ex aliis gentibus Iadem, Athenaïdem, Euboïdem & Insularem. Tum legislatorem, ex civibus eruditae scientiae cultu spectatissimis optimum, Charondam delegerunt. Hic, inspectis diligenter & probe consideratis omnium aliorum sanctionibus, optima quaeque inde excerpta in legum suarum corpus redegit. Plurima tamen a se inventa & industrie excogitata adiecit, de quibus memoriae aliquid prodere, lectoris institutioni non incongruum fuerit.

XII. Primum igitur est, ut, qui novercam liberis superinduxisset, e senatu consilioque patriae omnino submoveatur. Nunquam enim fore existimabat, ut is bonum patriae consilium daret, qui liberis ex se natis perperam consuluisset. Nam quibus primae nuptiae bene successe-

τας καταπαύειν· τοὺς δὲ ἀποτυχόντας τῷ γάμῳ, καὶ πάλιν ἐν τοῖς αὐτοῖς ἁμαρτάνοντας, ἄφρονας δεῖν ὑπολαμβάνεσθαι. τοὺς δ᾽ ἐπὶ συκοφαντίᾳ καταγνωσθέντας προσέταξε περιπατεῖν ἐστεφανωμένους μυρίκῃ, ὅπως ἐν πᾶσι τοῖς πολίταις φαίνωνται τὸ πρωτεῖον τῆς πονηρίας [1] περιπεποιημένοι· διὸ καί τινας ἐπὶ τούτῳ τῷ ἐγκλήματι καταδικασθέντας, τὸ μέγεθος τῆς ὕβρεως οὐκ ἐνεγκόντας, ἑκουσίως ἑαυτοὺς ἐκ τοῦ ζῆν μεταστῆσαι. οὗ συντελεσθέντος, ἐφυγαδεύθη πᾶς ἐκ τῆς πόλεως ὁ συκοφαντεῖν εἰωθὼς, καὶ τὸ πολίτευμα μακάριον εἶχε βίον, τῆς τοιαύτης κακίας ἀπηλλαγμένον. ἔγραψε δὲ ὁ Χαρώνδας καὶ περὶ τῆς κακομιλίας νόμον ἐξηλλαγμένον, καὶ τοῖς ἄλλοις νομοθέταις παρεωραμένον. ὑπολαβὼν γὰρ τοὺς ἀγαθοὺς ἄνδρας ἐνίοτε διὰ τὴν πρὸς τοὺς πονηροὺς φιλίαν καὶ

1 Περιποιησάμενοι Coisl.

runt, iis hac felicitate perfunctis acquiescendum; qui vero infelix matrimonium experti idem erratum denuo committerent, insipientibus merito accensendos esse. Calumniae seu falsae criminationis convictis hanc poenam irrogavit, ut myrica coronati per urbem circumducerentur, quo manifeste ad summum nequitiae gradum illos pervenisse, civibus appareret. Nonnullos ergo, ob hoc flagitium condemnatos, quod tantae ignominiae dedecus perferre non possent, violentis sibi manibus sponte vitam abrupisse, tradunt. Hac itaque legis severitate effectum est, ut, cum fuga ex urbe dissiparentur calumniis assueti, republica ab illa peste repurgata, beatam deinceps vitam cives agerent. Scripsit etiam Charondas legem de malorum consuetudine plane novam, ab aliis quippe legumlatoribus praetermissam. Existimabat enim, virorum quantumvis bonorum ingenia & mores per ami-

συνήθειαν διαστρέφεσθαι τὰ ἤθη πρὸς κακίαν, καὶ [1] τὴν φαυλότητα, καθάπερ λοιμικὴν νόσον, ἐπινέμεσθαι τὸν βίον τῶν ἀνθρώπων, καὶ νοσοποιεῖν τὰς ψυχὰς τῶν ἀρίστων· (κατάντης γὰρ ἡ πρὸς τὸ χεῖρον ὁδὸς, ῥᾳδίαν ἔχουσα τὴν ὁδοιπορίαν· διὸ καὶ τῶν μετρίων πολλοὶ τοῖς ἤθεσιν ὑπούλοις ἡδοναῖς δελεασθέντες, εἰς ἐπιτηδεύσεις χειρίστας περιώκειλαν) ταύτην οὖν τὴν διαφθορὰν ἀναστεῖλαι βουλόμενος ὁ νομοθέτης, ἀπηγόρευσε τῇ τῶν πονηρῶν φιλίᾳ τε καὶ συνηθείᾳ χρήσασθαι, καὶ δίκας ἐποίησε κακομιλίας, καὶ προστίμοις μεγάλοις [2] ἐπέγραψε τοὺς ἁμαρτάνειν μέλλοντας. ἔγραψεν οὖν [3] καὶ ἕτερον νόμον ἀπὸ τούτου κρείττονα, καὶ τοῖς παλαιοτέροις αὐτοῦ νομοθέταις ἠμελημένον. ἐνομοθέτησε γὰρ τῶν πολιτῶν τοὺς υἱεῖς ἅπαντας μανθάνειν γράμματα χορηγούσης τῆς πόλεως τοὺς

1 Non est in Reg. 1.

2 Ἀπέγραψε ora Stephan. Claromont. Reg. uterque, Vatic.

3 Exsulat e Coisl.

citiam & consuetudinem cum pravis nonnunquam perverti, & ab honestatis via, ad vitiorum turpitudinem seduci, & improbitatis luem non secus ac pestem in hominum vitam grassari, & vel integerrimorum saepe animos veluti morbi aliqua contagione infici & corrumpi. Declivis enim ad peiora callis est, descensum habens perquam facilem. Quo factum, ut multi, non exigua morum integritate praediti, occultis voluptatum blanditiis inescati, in deterrima saepe flagitia prolapsi sint. Hanc labem & corruptelam amoliri cupiens legislator, severe interdixit, ne quis malorum consortio ac familiaritate uteretur. Actionem insuper pravae societatis instituit, gravemque huius delicti reis multam imposuit. Aliam praeterea legem, iam recitata praestabiliorem, sed a vetustis legumlatoribus etiam posthabitam, sancivit, ut omnes civium filii in bonis literis instituerentur, civitate stipen-

μισθοὺς τοῖς διδασκάλοις. ὑπέλαβε γὰρ τοὺς ἀπόρους τοῖς βίοις, ἰδίᾳ μὴ δυναμένους διδόναι μισθοὺς, ἀποστερηθήσεσθαι τῶν καλλίστων ἐπιτηδευμάτων.

Charondas literarum praecipuam curam habet.

ιγ΄. Τὴν γὰρ γραμματικὴν παρὰ τὰς ἄλλας μαθήσεις προέκρινεν ὁ νομοθέτης· καὶ μάλα προσηκόντως. διὰ γὰρ ταύτης τὰ πλεῖστα καὶ χρησιμώτατα τῶν πρὸς τὸν βίον ἐπιτελεῖσθαι, ψήφους, ἐπιστολὰς, διαθήκας, νόμους, τἄλλα τὰ τὸν βίον μάλιστα ἐπανορθοῦντα. τίς γὰρ ἂν ἄξιον ἐγκώμιον διάθοιτο τῆς τῶν γραμμάτων μαθήσεως; διὰ γὰρ τούτων μόνων οἱ τετελευτηκότες τοῖς ζῶσι διαμνημονεύονται· οἱ δὲ μακρὰν τοῖς τόποις διεστῶτες, τοῖς πλεῖστον ἀπέχουσιν, ὡς πλησίον παρεστῶσι, διὰ τῶν γεγραμμένων ὁμιλοῦσι· ταῖς τε κατὰ πόλεμον συνθήκαις ἐν ἔθνεσιν ἢ βασιλεῦσι πρὸς διαμονὴν τῶν ὁμολογιῶν ἡ διὰ τῶν γραμμάτων ἀσφάλεια βεβαιοτάτην ἔχει πίστιν. καθόλου

Literarum laus.

dia magiſtris erogante. Proſpexerat enim, illos, qui prae inopia rei familiaris minervalia ſolvere nequirent, honeſtiſſimae inſtitutionis fructu cariturос.

XIII. Literarum enim ſcientiam ceteris diſciplinis haud immerito praeferendam cenſuit. Huius enim adiumento res plurimae & communi vitae maxime conducibiles, ut ſuffragia, epiſtolae, teſtamenta, leges, aliaque ad rectam vitae inſtitutionem neceſſaria, conficiuntur. Quis vero dignis literarum diſciplinam laudibus proſequatur? Hae ſolae efficiunt, ut defunctorum memoria inter vivos perduret. His internuntiis, qui longiſſimis terrarum intervallis ſeparati, cum procul abſentibus, tanquam prope adſtantibus, colloquia miſcent. Harum certitudo ad foederum & pactorum, cum populis aut regibus initorum, fidem ſancte conſervandam, magnopere conducit. Hae de-

δὲ τὰς χαριεστάτας τῶν φρονίμων ἀνδρῶν ἀποφάσεις, καὶ θεῶν χρησμοὺς, ἔτι δὲ φιλοσοφίαν καὶ πᾶσαν παιδείαν μόνη τηρεῖ, καὶ τοῖς ἐπιγινομένοις ἀεὶ παραδίδωσιν εἰς ἅπαντα τὸν αἰῶνα. διὸ καὶ τοῦ μὲν ζῆν τὴν φύσιν αἰτίαν ὑποληπτέον, τοῦ δὲ καλῶς ζῆν, τὴν ἐκ τῶν γραμμάτων συγκειμένην παιδείαν. ὅθεν ὡς μεγάλων τινῶν ἀγαθῶν ἀποστερουμένους τοὺς [1] ἀγραμμάτους διορθώσατο τῇ νομοθεσίᾳ ταύτῃ, καὶ δημοσίας ἐπιμελείας τε καὶ δαπάνης ἠξίωσε· καὶ τοσοῦτον ὑπερβάλετο τοὺς πρότερον νομοθετήσαντας δημοσίῳ μισθῷ τοὺς νοσοῦντας τῶν ἰδιωτῶν ὑπὸ ἰατρῶν θεραπεύεσθαι, ὥσθ' οἱ μὲν τὰ σώματα θεραπείας ἠξίωσαν, [2] ὁ δὲ τὰς ψυχὰς τὰς ὑπ' ἀπαιδευσίας ἐνοχλουμένας ἐθεράπευσε· κἀκείνων μὲν τῶν ἰατρῶν εὐχόμεθα μηδέποτε χρείαν ἔχειν· τοῖς δὲ τῆς παιδείας διδασκάλοις ἐπιθυμοῦμεν ἅπαντα τὸν χρόνον συνδιατρίβειν.

1 Ἀγραμμάτας prave Clar. 2 Οἱ Coislin.

nique pulcherrimas virorum prudentum ſententias, Deûmque reſponſa & philoſophiae dogmata, & breviter totum diſciplinarum orbem ſolae conſervant, & poſterorum memoriae uſque ad omnem aeternitatem commendant. Idcirco vitam quidem a natura tribui, bene autem beateque vivendi rationem literarum diſciplinae acceptam eſſe referendam, ſtatui debet. Unde homines illiteratos, ut ſummis bonis deſtitutos, ad meliorem ille cultum hac ſanctione revocavit, & publica illos cura impenſaque erudiendos cenſuit. Itaque tanto ſuperiores legumlatores, qui publica mercede medicos ſanandis privatorum morbis conducendos eſſe ſanxerunt, antegreſſus eſt, ut illi corporibus medelam adhibendam cenſuerint, ipſe animos inſcitiae morbo vexatos curarit. Et ſane medicorum ope nunquam nos opus habere optamus: at cum eruditionis magiſtris per omnem verſari aetatem maxime cupimus.

Loca poëtarum, quibus Charondae leges celebrantur.

ιδ'. Ἀμφοτέρας δὲ τὰς προειρημένας πολλοὶ τῶν ποιητῶν [1] δι' ἐμμέτρου ποιήματος μεμαρτυρήκασι· τὴν μὲν κακομιλίαν ἐν τοῖσδε,

[2] Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
Οὔπω ποτ' ἠρώτησα γινώσκων ὅτι
Τοιοῦτός ἐστιν οἷσπερ ἥδεται [3] ξυνών.

τὸν δὲ περὶ τῆς μητρυιᾶς τεθέντα, ἐν τούτοις·

Τὸν νομοθέτην φασὶ Χαρώνδαν ἔν τινι
Νομοθεσίᾳ τάτ' ἄλλα καὶ ταυτὶ λέγειν·
Ὁ παισὶν αὑτοῦ μητρυιὰν [4] ἐπεισάγων,
Μήτ' εὐδοκιμείσθω, μήτε μετεχέτω λόγου
Παρὰ τοῖς πολίταις, ὡς ἐπείσακτον κακὸν
Κατὰ τῶν ἑαυτοῦ πραγμάτων πεπορισμένος.
Εἴτ' ἐπέτυχες γὰρ (φησι) γήμας τὸ πρότερον,
Εὐημερῶν [5] κατάπαυσον· εἴτ' οὐκ ἐπέτυχες,

1 Διαμέτρου Reg. 1.
2 Negligitur a Coisl. & Clar. & Veneto.
3 Κακοῖς Coisl.
4 Ἐπάγων Clarom. Paullo antè ταῦτα λέγειν omnes.
5 Desideratur in Coisl.

XIV. Utramque legem supra expositam multi poëtarum carminibus suis citant. De pravorum consuetudine hi versus exstant:

*Si quis malorum se aggregat consortio,*
*Non quaero qualis ille, sed novi statim,*
*Quales amici, quîs adhaeret, talis est.*

Novercalis autem legis mentio fit his verbis. Legislatorem, aiunt, Charondam in sanctione quadam cum alia, tum etiam haec promulgare:

*Suis novercam liberis qui induxerit,*
*Nullo sit ille dignitatis in gradu,*
*Nullum capessat munus ille civium,*
*Novum suis nam rebus arcessit malum.*
*Si forte res primo tibi successerit,*
*Desiste felix. Vota sin fefellerint,*

Μανικὸν τὸ πεῖρας δευτέρας λαβεῖν πάλιν.
ταῖς γὰρ ἀληθείαις ὁ δὶς ἐν τοῖς [1] αὐτοῖς πράγμασιν ἁμαρτάνων, ἄφρων ἂν δικαίως νομισθείη. καὶ Φιλήμονος τοῦ κωμῳδιογράφου γράφοντος τοὺς πολλάκις ναυτιλλομένους, καὶ εἰπόντος· Νόμῳ τεθαύμακα, οὐκ ἐπεὶ πέπλευκεν, ἀλλ' εἰ δὶς πέπλευκε· τὸ παραπλήσιον ἄν τις ἀποφαίνοιτο, μὴ θαυμάσειν εἴ τις γεγάμηκεν, ἀλλ' εἰ δὶς γεγάμηκε. κρεῖττον γὰρ εἶναι δὶς ἑαυτὸν θαλάττῃ παραβαλεῖν, ἢ γυναικί. μέγισται γὰρ καὶ χαλεπώταται στάσεις ἐν ταῖς οἰκίαις γίνονται διὰ μητρυιᾶς τέκνοις πρὸς πατέρας, καὶ διὰ ταῦτα πολλαὶ καὶ παράνομοι πράξεις ἐν τοῖς θεάτροις τραγῳδοῦνται.

ιε'. Ὁ δ' οὖν Χαρώνδας καὶ ἕτερόν τινα νόμον ἀποδοχῆς ἀξιούμενον ἔγραψε, τὸν περὶ [2] τῆς ὀρφανῶν φυλακῆς. οὗτος δ' ἐξ ἐπιπολῆς μὲν θεωρούμενος, οὐ- Charondae leges de tutela orphanorum.

1 Omittitur a Clar. 2 Τῆς τῶν ὀρφ. solus Reg. 1.

*Insanus es, faciens periclum denuo.*
Revera enim, qui bis in eadem re impingit, demens is merito censeatur. Nam quod Philemon Comicus de saepius navigationis pericula adeuntibus pronuntiat:

*Miror profecto, non quod ingressus mare*
*Hic navigavit, sed quod id bis ausus est;*

id huc aliquis accommodaverit, non mirum videri, si quis uxorem duxerit, sed quod bis duxerit. Satius enim esse bis mari se committere, quam uxori. Maximae enim saevissimaeque in familiis discordiae novercarum machinis inter parentes & liberos excitantur. Hinc tam crebra nefariaque in theatro facinora a Tragoedis exhibentur.

XV. Charondas aliam porro legem approbatione dignam de accurata orphanorum tutela perrogavit. Haec quidem, si obiter tantum intuearis, nihil excellens aut

δὲν φαίνεται περιττὸν ἔχειν, οὐδὲ ἀποδοχῆς ἄξιον· ἀναθεωρούμενος δὲ καὶ μετ' ἀκριβείας ἐξεταζόμενος, μεγάλην ἔχει σπουδὴν καὶ δόξαν. ἔγραψε γὰρ τῶν μὲν ὀρφανικῶν χρημάτων ἐπιτροπεύειν τοὺς ἀγχιστεῖς τοὺς ἀπὸ πατρὸς, τρέφεσθαι δὲ τοὺς ὀρφανοὺς παρὰ τοῖς συγγενέσι τοῖς ἀπὸ μητρός. αὐτόθεν μὲν οὖν ὁ νόμος οὐδὲν ὁρᾶται περιέχων σοφὸν ἢ περιττόν· ἐξεταζόμενος δὲ κατὰ βάθος, εὑρίσκεται δικαίως ὢν ἄξιος ἐπαίνου. ζητουμένης γὰρ τῆς αἰτίας δι' ἣν ἄλλοις μὲν τὴν οὐσίαν, ἑτέροις δὲ τὴν τῶν ὀρφανῶν τροφὴν ἐπίστευσεν, ἐκφαίνεταί τις ἐπίνοια τοῦ νομοθέτου περιττή. οἱ μὲν γὰρ ἀπὸ μητρὸς συγγενεῖς οὐ προσήκοντες τῇ κληρονομίᾳ τῶν ὀρφανῶν, οὐκ [1] ἐπιβουλεύσουσιν· οἱ δ' ἀπὸ τοῦ πατρὸς οἰκεῖοι ἐπιβουλεῦσαι μὲν οὐ δύνανται, διὰ τὸ μὴ πιστεύεσθαι τοῦ σώματος, τῆς δ' οὐσίας εἰς

1 Ἐπιβουλεύσωσιν idem. Ἐπιβουλεύουσι ora Steph. Reg. 2. & Ven.

ſingulari approbatione dignum in ſe habere videtur: at ſi penitius inſpexeris, & diligentius examinaveris, cum ſingulari quodam ſtudio raraque ſapientiae gloria coniunctam deprehendes. Hereditaria enim orphanorum bona agnatorum tutelae & adminiſtrationi; pupillorum vero educationem cognatorum fidei & curae ſubiecit. Prima igitur fronte nihil prudentiae & rationis eximiae in lege iſta apparet. At ſi profundius expiſceris, omni laude inſtitutum illud merito afficiendum eſſe, animadvertes. Si enim cauſa inveſtigatur, quare alteris patrimonii curam, alteris educationis fidem aſſignarit, mirifica legislatoris induſtria ac providentia elucebit. Conſanguinei enim materni, ad quorum ſucceſſionem hereditas pupillorum non pertinet, nullas eis inſidias molientur. Paternis vero propinquis inſidiarum facultas praerepta eſt, quod corpus illis non creditur. Interim cum patrimo-

ἐκείνους καθηκούσης, ἐὰν οἱ ὀρφανοὶ τελευτήσωσιν ἢ διὰ νόσον, ἤ τινα ἄλλην περίστασιν, ἀκριβέστερον οἰκονομήσουσι τὰ χρήματα, ὡς ἰδίας τὰς ἐκ τῆς τύχης ἐλπίδας ἔχοντες.

ιϛ΄. Ἕτερον δὲ ἔθηκε νόμον κατὰ τῶν λιπόντων τὴν ἐν πολέμῳ τάξιν, ἢ τὸ σύνολον μὴ ἀναλαβόντων τὰ ὅπλα ὑπὲρ τῆς πατρίδος. τῶν γὰρ ἄλλων νομοθετῶν [1] κατὰ τῶν τοιούτων τεθεικότων θάνατον τὸ πρόστιμον, οὗτος προσέταξε τοὺς τοιούτους ἐν τῇ ἀγορᾷ ἐφ᾽ ἡμέρας τρεῖς καθῆσθαι ἐν ἐσθῆσι γυναικείαις. ὁ δὲ νόμος οὗτος ἅμα μὲν φιλανθρωπότερός ἐστι τῶν παρὰ τοῖς ἄλλοις, ἅμα δὲ λεληθότως τῷ μεγέθει τῆς ἀτιμίας ἀποτρέπει τοὺς ὁμοίους τούτοις τῆς ἀνανδρίας. κρεῖττον γάρ ἐστιν ἀποθανεῖν ἢ τοιαύτης ὕβρεως ἐν τῇ πατρίδι πειραθῆναι. ἅμα δὲ καὶ τοὺς ἁμαρτάνοντας οὐκ ἠφάνισεν, ἀλλὰ τῇ πόλει πρὸς τὰς πολεμικὰς

Leges in milites ignavos & capitis reos.

1 Καὶ in Clar. frequenti peccato.

nium ad illos rediturum ſit, quando orphani vel morbo vel alio caſu praedeceſſerint, fortunas maiori cura fideque, ſpe propriae, ſi quando ſors ita tulerit, ſucceſſionis, adminiſtrabunt.

XVI. Aliam inſuper legem poſuit contra ſignorum ordinumque in bellis deſertores, aut arma pro patriae tutela omnino detrectantes. Ubi enim ceteri legum conditores capitis ſupplicium his irrogarunt, ipſe edixit, ut id genus viri muliebri veſtitu amicti triduum in foro deſiderent. Quae conſtitutio cum leges alibi ſancitas humanitate praeſtat, tum diſſimulanter probri magnitudine eiuſmodi ingenio praeditos ab effeminata mollitie deterret. Siquidem mortem oppetere longe praeſtat, quam tantum ignominiae dedecus in patria experiri. Hoc praeterea conſilio reos ſupplicio non addixit, ut ad futuras bellorum neceſſitates illos civitati reſervaret, rectius

χρείας ἐτήρησε, διορθωσομένους τῇ διὰ τῆς ὕβρεως κολάσει καὶ [1] σπεύσοντας ἑτέροις ἀνδραγαθήμασιν ἐξαλεῖψαι τὴν προγεγενημένην αἰσχύνην. διὰ δὲ τῆς ἀποτομίας τῶν νόμων διέσωσε τοὺς νόμους ὁ νομοθέτης. προσέταξε γὰρ ἐκ παντὸς τρόπου πείθεσθαι τῷ νόμῳ, κἂν ᾖ παντελῶς κακῶς γεγραμμένος. διορθοῦν δὲ συνεχώρησε τὸν χρείαν ἔχοντα διορθώσεως. τὸ μὲν γὰρ ἡττᾶσθαι ὑπὸ νομοθέτου, καλὸν εἶναι [2] ὑπελάμβανε, τὸ δὲ ὑπὸ ἰδιώτου, παντελῶς ἄτοπον, καὶ εἰ ἐπὶ τῷ συμφέροντι γίνεται. καὶ μάλιστα τοῦ τοιούτου τρόπου [3] τοὺς ἐν τοῖς δικαστηρίοις τῶν παρανενομηκότων προφάσεις καὶ διανοίας ἀντὶ τῶν ῥητῶν εἰσάγοντας, ἐκώλυσε ταῖς ἰδίαις [4] εὑρεσιλογίαις καταλύειν τὴν τῶν νόμων ὑπεροχήν· διὸ καί τινας τῶν τοιαύτας κατηγορίας πεποιημένων πρὸς τοὺς δικαστὰς, τοὺς δικάζοντας

1 Σπεύδοντας Reg. 1.
2 Ὑπέλαβε Reg. 1. συνυπέλαβε Clar. Reg. 2. συνεπέλαβε Coisl.
3 Τὰς Coisl. Reg. 1. Clar.
4 Εὑρησιλογίαις Vat. εὑρεσιολογίαις Clar. Vide not. in lib. I, 37.

haud dubie post irrogatam ignominiae multam sese gesturos, & adspersam dedecoris maculam omni virtutis conatu eluituros. Severitate autem legum auctor effecit, ut diuturnum illae vigorem obtinerent. Nam a legis praescripto, licet male admodum scripta esset, ut nullo modo discederetur, vetuit. Sed tamen corrigendi potestatem fecit, si qua correctione indigeret. Nam auctoritati legumlatoris cedere honestum, argutias vero privati hominis praevalere, etiamsi ad publicum illae bonum tenderent, omnino absurdum reputabat. Et hoc inprimis modo illos, qui in criminalibus iudiciis praetextus & sensus pro expressis verbis introducunt, compescuit, ne cavillationibus suis legum auctoritatem labefactarent. Idcirco nonnullos causarum actores ad iudices, in capita-

περὶ τῆς τῶν παρανενομηκότων τιμωρίας, εἰπεῖν, ὅτι σώζειν ἀναγκαῖον ἢ τὸν νόμον, ἢ τὸν ἄνδρα.

ιζ'. Τὸν γοῦν [1] Χαρώνδαν φασὶ παραδοξότατον νενομοθετηκέναι περὶ τῆς [2] διορθώσεως τῶν νόμων· ὁρῶντα γὰρ αὐτὸν ἐν ταῖς πλείσταις πόλεσι, διὰ τὸ πλῆθος τῶν ἐπιχειρούντων ἐπανορθοῦν τοὺς νόμους, λυμαινομένους μὲν τὰς προϋπαρχούσας νομοθεσίας, εἰς στάσεις δὲ τὰ πλήθη προσαγομένους, ἴδιόν τι καὶ παντελῶς ἐξηλλαγμένον ἐνομοθέτησε. προσέταξε γὰρ τὸν βουλόμενον διορθῶσαι τινὰ νόμον, ὅταν ποιῆται τὴν περὶ τῆς διορθώσεως συμβουλίαν, τὸν ἑαυτοῦ τράχηλον εἰς βρόχον ἐντιθέναι, καὶ μένειν ἄχρις ἂν ὅτου τὴν κρίσιν ὁ δῆμος περὶ τοῦ [3] διορθουμένου νόμου ποιήσηται· κἂν μὲν ἡ ἐκκλησία προσδέξηται τὸν ὕστερον γραφόμενον, ἀπολύεσθαι τὸν εἰσηγησάμενον· ἐὰν δὲ ἄκυρον ποιήσηται τὴν διόρθωσιν, παραχρῆμα θνήσκειν ὑπὸ τοῦ

Leges temere innovandi conatus repressi.

1 Χαρῶν Clar.
2 Ἀνορθώσεως Reg. 2.
3 Διορθωμένου Coisl.

lia delicta inquirentes, dixisse traditum est, aut legem, aut virum, servari necessum esse.

XVII. Charondas itaque quiddam prorsus insitatum de legum emendatione sancivit. Cum enim in plerisque civitatibus multos inveniri cerneret, qui temerario legum corrigendarum ausu conatuque nihil aliud efficerent, quam quod corrupta legum priorum integritate, seditionibus vulgus implicarent, singularem hanc legem & ab omnium institutis discrepantem promulgavit. Sanxit enim, si quis legi cuipiam correctionem adhibere vellet, ut proposito hac de re consilio, interim guttur laqueo insertum haberet, & exspectaret, dum populus de mutatione legis suffragia pertulisset. Quod si comitia populi legem posterius scriptam recepissent, auctorem eius solvi: sin irritam haberent abrogationem, laqueo con-

βρόχου σφιγγόμενον. τοιαύτης δὲ κατὰ τὴν διόρθωσιν τῆς νομοθεσίας οὔσης, καὶ τοῦ φόβου τοὺς νεωτέρους νομοθέτας κολάζοντος, οὐδεὶς ἐτόλμα περὶ νόμων διορθώσεως φωνὴν προΐεσθαι. ἐν παντὶ δὲ τῷ μετὰ ταῦτα χρόνῳ παρὰ τοῖς Θουρίοις τρεῖς οἱ πάντες εἰσηγοῦνται διορθωθῆναι, διά τινας ἀναγκαίας περιστάσεις ἐπὶ τὴν ὑπὲρ τῆς διορθώσεως συμβουλίαν παραγενέσθαι. νόμου γὰρ ὄντος, ἐάν τις τινὸς ὀφθαλμὸν ἐκκόψῃ, ἀντεκκόπτεσθαι τὸν ἐκείνου, ἑτερόφθαλμός τις ἐκκοπεὶς τὸν ὀφθαλμὸν, καὶ στερηθεὶς ὅλης τῆς ὁράσεως, τὸν μὲν ἀντεκκόψαι, τὸν δράσαντα [1] δ' ἔλασσον ὑπέλαβε πρόστιμον [2] ἐκτίσαι. τυφλώσαντα γὰρ ἕνα τῶν πολιτῶν, εἰ τὸ κατὰ νόμον πρόστιμον ὁ πράξας [3] ὑπομένοι, μὴ τετυχέναι τῆς ἴσης συμφορᾶς. δίκαιον οὖν εἶναι τὸν ἑτερόφθαλμον τὴν ὅρασιν ἀφελόμενον, ἀμφο-

Novatarum legum exempla:

primum, ſi quis oculo alterum privaverit.

1 Deſit Coisl.
2 Abeſt uſque ad πρόστιμον in Reg. 1.
3 Ὑπομένει Reg. 2.

feſtim gulam frangi iuſſit. Tam ſevera legum innovandarum cautione novis legislatoribus abſterritis, nemo de reformatione ſancitorum vel hiſcere audebat. Toto igitur temporis deinceps apud Thurios decurſu tres omnino ad ſuadendum abrogationem quarundam, neceſſariis impulſi cauſis, in medium proceſſiſſe memorantur. Lex erat, ſi quis oculum alteri excuſſiſſet, ut illi oculus viciſſim erueretur. Sed accidit, ut quis uno captus oculo alterum quoque per vim illatam amitteret, & ſic facultate videndi prorſus orbaretur. Hic, etſi auctori facinoris unus contra oculus excuſſus ſit, minus poenae tamen, quam par ſit, illum exſolviſſe arbitratur. Qui enim civem excaecaverit, etiamſi ſat luiſſe pro lege ſcripta videatur, non pari tamen damno affectum contendit. Aequum igitur eſſe, ut illi, qui uno praeditum oculo

τέρους [1] ἐκκόπτεσθαι τοὺς ὀφθαλμοὺς, εἰ [2] μέλλει τὴν ἴσην ἀναδέχεσθαι τιμωρίαν. διὸ καὶ περιαλγῆ γενόμενον τὸν ἑτερόφθαλμον ἀποτολμῆσαι λόγον ἐν ἐκκλησίᾳ διαθέσθαι περὶ τῆς ἰδίας συμφορᾶς, ἅμα μὲν τοῖς πολίταις ἀποδυρόμενον τὴν ἰδίαν ἀτυχίαν, ἅμα δὲ συμβουλεύοντα τοῖς πλήθεσι διορθώσασθαι τὸν νόμον. τέλος δὲ δόντα τὸν τράχηλον εἰς βρόχον, ἐπιτυχόντα τῇ συμβουλίᾳ, ἀκυρῶσαι μὲν τὸν ὑπάρχοντα νόμον, βεβαιῶσαι δὲ τὸν διορθωθέντα, καὶ διὰ τοῦτο φυγεῖν τὸν τοῦ βρόχου θάνατον.

ιή. Δεύτερος δὲ [3] διωρθώθη νόμος ὁ διδοὺς ἐξουσίαν τῇ γυναικὶ ἀπολύειν τὸν ἄνδρα, καὶ συνοικεῖν ᾧ ἂν βούληται. τῶν γὰρ προβεβηκότων τῇ ἡλικίᾳ τὶς ἔχων γυναῖκα νεωτέραν, καὶ καταλειφθεὶς, συνεβούλευε τοῖς Θουρίοις διορθῶσαι τὸ νόμον, καὶ προσγράψαι,

Alterum exemplum, lex de divortiis;

1 Ἐκκόψαι marg. Steph. Clar. Reg. 2.
2 Μέλλοι Coisl.
3 Διωρθωθῆναι Clar.

tota viſione privarit, ambo ſimul oculi effodiantur, ſi aequalis iniuriae poena luenda ſit. Dolore igitur & indignitate rei perpulſus ille caecus, ad populum de calamitate ſua verba facere auſus, tum calamitoſam vitae ſuae conditionem deplorat, tum, ut legem illam corrigant, multitudini ſuadet. Tandem inſerto in funem collo, cum felicem ſuaſionis eventum impetraſſet, lex illa abolita fuit, emendatiorque in eius locum ſurrogata: & ipſe ſtrangulationis necem effugit.

XVIII. Alteri quoque legi moderatio adhibita fuit, qua uxori nuntium viro remittendi, & virum, quemcunque libuerit, in matrimonium adſciſcendi, poteſtas conceditur. Maritus enim quidam aetate provectior, cum ab uxore iuvencula deſertus eſſet, correctionis populo legis rationem hanc proponit, ut illud ſaltem adiicerent,

τὴν καταλιποῦσαν ἄνδρα συνοικεῖν ᾧ ἂν βούληται, μὴ νεωτέρῳ τοῦ [1] προτέρου· ὁμοίως δὲ κἂν ἀνὴρ ἐκβάλῃ γυναῖκα, μὴ γαμεῖν ἄλλην νεωτέραν ταύτης τῆς ἐκβληθείσης. εὐστοχήσας δ' ἐν τῇ συμβουλίᾳ, καὶ ἀκυρώσας τὸν πρότερον νόμον, διέφυγε μὲν τὸν ἐκ τοῦ βρόχου κίνδυνον, τῆς δὲ γυναικὸς, [2] κωλυθείσης νεωτέρῳ συνοικῆσαι, πάλιν ἔγημε τὸν ἀπολυθέντα. τρίτος δὲ νόμος διωρθώθη ὁ περὶ τῶν ἐπικλήρων, ὁ καὶ παρὰ Σόλωνι κείμενος. ἐκέλευε γὰρ τῇ ἐπικλήρῳ [3] ἐπιδικάζεσθαι τὸν ἔγγιστα γένους, ὡσαύτως δὲ καὶ τὴν ἐπίκληρον ἐπιδικάζεσθαι τῷ ἀγχιστεῖ, ᾧ ἦν ἀνάγκη συνοικεῖν, ἢ πεντακοσίας ἐκτίσαι δραχμὰς εἰς προῖκος λόγον τῇ πενιχρᾷ ἐπικλήρῳ. ὀρφανὴ γάρ τις εὐ-

tertium, lex de orphanis.

1 Πρότερον Coisl. Reg. 1.

2 Καλυθείσης Vat. Reg. 1. Co. & vetus interpres. Vulgo βουληθείσης.

3 Ἐλπίδι καθέζεσθαι Co. Vat. Reg. 2. & Clar. qui ambo posteriores mox iterum vitiosum id probant.

licere uxori, divortium cum viro facturae, inire matrimonii foedus cum quocunque velit, modo ne iunior sit marito priori. Eademque ratione, si quis coniugem vir eiecerit, nullam dimissa iuniorem sibi iungat. Et huic suasio non infeliciter cessit. Abrogata enim per hanc lege, non modo laquei periculum evasit, sed hoc quoque obtinuit, ut coniux florentioris aetate thoro prohibita ad pristinum relicti viri matrimonium rediret. Tertia etiam lex de Epicleris, quam & Solon promulgavit, censoriam reformationis virgulam experta est. Iubebat enim, ut gentilitatis gradu proximus puellam in successionem totius patrimonii relictam iure in matrimonium deposceret, & vicissim orba puella genere maxime propinqui nuptias lege vindicaret. Atque huic orbam ducendi, vel, si paupercula esset, 10 drachmas loco dotis erogandi, necessitas incumbebat. Orphana igitur quaedam ex hoc genere heredum relicta fuerat, honesto quidem loco

γενῆς ἐπίκληρος, ἀπορουμένη παντελῶς κατὰ τὸν βίον, καὶ διὰ τὴν πενίαν οὐ δυναμένη συνοικῆσαι, κατέφυγεν ἐπὶ τὸν δῆμον, καὶ μετὰ δακρύων ἐκθεμένη τὴν ἑαυτῆς ἐρημίαν τε καὶ καταφρόνησιν, πρὸς δὲ τούτοις ὑπογραψαμένη τὴν διόρθωσιν τοῦ νόμου, ὥστε ἀντὶ τῆς ἐκτίσεως τῶν πεντακοσίων δραχμῶν, γράψαι συνοικεῖν κατ᾽ ἀναγκην [1] τὸν ἄγχιστα γένους τῇ ἐπιδικασθείσῃ ἐπικλήρῳ· τοῦ δὲ δήμου διὰ τὸν ἔλεον ψηφισαμένου διορθῶσαι τὸν νόμον, ἡ μὲν ὀρφανὴ τὸν ἐκ τοῦ βρόχου κίνδυνον ἐξέφυγεν, ὁ δ᾽ ἀγχιστεὺς πλούσιος ὢν, ἠναγκάσθη γῆμαι γυναῖκα πενιχρὰν ἐπίκληρον ἄνευ προϊκός.

ιθ΄. Λείπεται δ᾽ ἡμῖν εἰπεῖν [2] ὑπὲρ τῆς τοῦ Χαρώνδου τελευτῆς, καθ᾽ ἣν ἴδιόν τι καὶ παράδοξον αὐτῷ συνέβη. ἐπὶ γὰρ τὴν χώραν ἐξιὼν μετὰ ξιφιδίου διὰ τοὺς λῃστὰς, καὶ κατὰ τὴν ἐπάνοδον ἐκκλησίας συνεστώσης καὶ ταραχῆς ἐν τοῖς πλήθεσι, προέστη πο- Charondae mors voluntaria.

1 Τὴν Clar. 2 Περὶ τῆς Reg. 1.

nata, ſed extrema paupertate laborans. Quae cum propter inopiam collocari in matrimonium non poſſet, ad populi auxilium confugit, ſuamque multis cum lacrimis orbitatem, & contemtam vitae conditionem exponens, correctionem legis petit, in hanc formulam, ut pro 10 drachmarum ſolutione neceſſitas proximo cognato pupillam, quae lege ſibi illum vindicaret, in matrimonium ducendi imponeretur. Tum populus, miſericordia adductus, legis emendationem ſciſcit, & pupillam e laquei periculo ereptam, quantumvis inopem, dives ille propinquus abſque dote uxorem ducere cogitur.

XIX. Nunc reliquum nobis eſt, ut Charondae interitum exponamus, circa quem ſingularis quidam & mirificus caſus evenit. Nam cum in agrum gladio accinctus propter latronum incurſationes exiviſſet, interim, dum ille revertitur, accidit, ut populus in concionem advoca-

λυπραγμονῶν τὰ κατὰ τὴν στάσιν. νενομοθετηκὼς δ᾽ ἦν μηδένα μεθ᾽ ὅπλου ἐκκλησιάζειν· καὶ ἐπιλαθόμενος ὅτι τὸ ξίφος [1] παρέζωσται, παρέδωκεν ἐχθροῖς τισιν ἀφορμὴν κατηγορίας. ὧν ἑνὸς εἰπόντος, καταλέλυκας τὸν ἴδιον νόμον, μὰ Δί᾽, εἰπεῖν, ἀλλὰ κύριον ποιήσω· καὶ σπασάμενος τὸ [2] ξιφίδιον, ἑαυτὸν ἀπέσφαξεν. ἔνιοι δὲ τῶν συγγραφέων τὴν πρᾶξιν ταύτην περιτιθέασι Διοκλεῖ, τῷ Συρακουσίων νομοθέτῃ. ἡμεῖς δὲ ἀρκούντως τὰ περὶ Χαρώνδαν τὸν νομοθέτην διεληλυθότες, βραχέα βουλόμεθα καὶ περὶ Ζαλεύκου τοῦ νομοθέτου διελθεῖν, διά τε τὴν ὁμοίαν προαίρεσιν τοῦ βίου, καὶ τὸ γεγονέναι τοὺς ἄνδρας ἐν πόλεσιν ἀστυγείτοσι.

Historia alius legislatoris adiungitur, Zaleuci Locrensis.

κ΄. Ζάλευκος τοίνυν ἦν τὸ γένος ἐκ τῆς Ἰταλίας, Λοκρὸς, ἀνὴρ εὐγενὴς καὶ κατὰ παιδείαν τεθαυμασμένος, μαθητὴς δὲ Πυθαγόρου τοῦ φιλοσόφου. οὗτος

1 Διέζωσται idem. 2 Ξιφείδιον Coisl. Clar.

tus inter ſe tumultus excitaret. Curioſius ergo ſeditionem perveſtigaturus, in medium procedit. Legem autem tulerat, ne quis ad concionem cum armis prodiret. Immemor ergo gladii, quem femori ſubligatum habebat, cum in concionem advolaſſet, anſam malevolis criminandi praebuit, e quorum numero unus exclamat, legem abs te conditam ipſe deſtruis. Minime, hercle, inquit, ſed ratam faciam, & ſtricto confeſtim gladio ſe ipſum transfigit. Nonnulli ſcriptorum facinus iſtud Diocli, Syracuſiorum legumlatori, adſcribunt. Sed cum ſatis de Charonda a nobis dictum ſit, de Zaleuco etiam, legum conditore, ſtrictim verba faciemus, propter vitae ſtudiorumque ſimilitudinem, & quia in vicinis hi viri oppidis floruere.

XX. Zaleucus ex Italia genus duxit, natione Locrenſis, vir ſtirpe clarus & ob eruditionem admirandus, Pythagorae philoſophi diſcipulus. Is magnae in patria au-

πολλῆς ἀποδοχῆς τυγχάνων ἐν τῇ πατρίδι, νομοθέτης ᾑρέθη, καὶ καταβαλόμενος ἐξ ἀρχῆς καινὴν νομοθεσίαν, [1] ἤρξατο πρῶτον περὶ τῶν ἐπουρανίων θεῶν. εὐθὺς γὰρ ἐν τῷ προοιμίῳ τῆς ὅλης νομοθεσίας ἔφη δεῖν τοὺς κατοικοῦντας ἐν τῇ πόλει, πάντων πρῶτον ὑπολαβεῖν καὶ πεπεῖσθαι θεοὺς εἶναι, καὶ ταῖς διανοίαις ἐπισκοπεῖν τὸν οὐρανὸν, καὶ τὴν διακόσμησιν καὶ τάξιν κρίνειν, οὐ τύχης [2] οὐδ᾽ ἀνθρώπων εἶναι ταῦτα τὰ κατασκευάσματα· σέβεσθαί τε τοὺς θεοὺς, ὡς πάντων τῶν ἐν τῷ βίῳ καλῶν καὶ ἀγαθῶν αἰτίους ὄντας τοῖς ἀνθρώποις. ἔχειν δὲ καὶ τὴν ψυχὴν καθαρὰν πάσης κακίας, ὡς τῶν θεῶν οὐ χαιρόντων ταῖς τῶν πονηρῶν θυσίαις τε καὶ δαπάναις, ἀλλὰ ταῖς τῶν ἀγαθῶν ἀνδρῶν δικαίαις τε καὶ καλαῖς [3] ἐπιτηδεύσεσι. διὰ δὲ τοῦ προοιμίου προκαλεσάμενος τοὺς πολίτας εἰς εὐσέβειαν καὶ δικαιοσύνην ἐπέζευξε, προσ-

Legum eius fundamentum religio & animus purus.

1 Ἤρξαντο Clar.
2 Οὐδὲ τέχνης Reg. 1. & vetus interpr. Unde nasci suspicio posset, fuisse olim οὐδὲ τέχνης ἀνθρώπων, nisi obstarent Zaleuci apud Stob. Serm. XLII, p. 279, verba.
3 Ἐπιτηδεύμασι Clarom. sed in margine vulgatum.

ctoritatis & observationis ad leges componendas a populo delectus, & novas sanctiones aggressus, statim a Diis coelestibus initium fecit. In ipso enim novi operis exordio haec praefatur: Ab incolis suae urbis requiri, ut ante omnia certo persuasum habeant, credantque esse Deos, & mente coelum intuentes, & mirificum eius ornatum atque ordinem, non casus fortuiti, nec hominum illud opificium esse, iudicent. Idcirco Deos colant ac venerentur, quibus auctoribus omnia honesta & bona mortalibus exsistant. Animos praeterea ab omni vitiorum labe expurgatos habeant: siquidem Dii non sacrificiis & impensis pravorum, sed iustis ac bonorum virorum honestis moribus & institutis gaudent. Praefatione igitur hac cives ad pietatem & iustitiam exhortatus, subiun-

Leges insigniores.

τάττων μηδένα τῶν πολιτῶν ἐχθρὸν ἀκατάλλακτον ἔχειν, ἀλλ' [1] οὕτω τὴν ἔχθραν ἀναλαμβάνειν ὡς ἥξοντα πάλιν εἰς [2] σύλλυσιν καὶ φιλίαν· τὸν δὲ παρ' αὐτὰ ποιοῦντα, διαλαμβάνεσθαι παρὰ τοῖς πολίταις ἀνήμερον καὶ ἄγριον τὴν ψυχήν. τοὺς δὲ ἄρχοντας παρεκελεύετο μὴ εἶναι αὐθάδεις μηδὲ ὑπερηφάνους, μηδὲ κρίνειν πρὸς ἔχθραν ἢ φιλίαν. ἐν δὲ τοῖς κατὰ μέρος νομοθετήσας, πολλὰ παρ' ἑαυτοῦ προσεξεῦρε μάλα σαφῶς καὶ περιττῶς.

Zaleuci nonnullae aliae leges recensentur.

κα'. Τῶν γὰρ ἄλλων ἁπάντων ἁμαρτανουσῶν γυναικῶν [3] ἀργυρικὰς ζημίας τεταχότων, οὗτος φιλοτέχνῳ προστίμῳ τὰς ἀκολασίας αὐτῶν διωρθώσατο. ἔγραψε γὰρ [4] οὕτω· γυναικὶ ἐλευθέρᾳ μὴ πλείω ἀκολουθεῖν μιᾶς θεραπαινίδος, [5] ἐὰν μὴ μεθύῃ· μηδὲ ἐξιέναι νυκτὸς ἐκ τῆς πόλεως, εἰ μὴ μοιχευομένην· μηδὲ

1 Οὕτως Coisl. Reg. 1.
2 Σύλλησιν Vat. prave.
3 Ἄργυρον καὶ Reg. 2. Clar.
4 Οὕτως Coisl. Reg. 1.
5 Ἂν Reg. 1. modo pro πλείω, πλεῖον Clar. & Reg. 2. Mox μοιχευομένη Coislin.

git praeceptum: ne quis civium implacabili inimicum odio persequatur, sed ita inimicitias cum illo suscipiat, tanquam brevi in gratiam cum illo & amicitiam rediturus. Si quis autem secus fecerit, ut pro immitis ferocisque ingenii homine censeatur. Magistratibus praecipit, ne sint arrogantes & superbi, neque ad ullius odium aut amicitiam iudicia accommodent. In aliis, quae particulatim constituit, multa subtili ingenii acumine invenit, & sapienter admodum egregieque promulgavit.

XXI. Cum enim apud omnes alias gentes delictis mulierum argenteae multae sint irrogatae, hic ingenioso poenae genere incontinentiam illarum emendavit. Ita enim scripsit: mulierem ingenuam, nisi forte ebria sit, non plus una ancilla comitator. Extra urbem noctu pedem ne efferto, nisi cum moechum forte accedit. Au-

περιτίθεσθαι χρυσία, μηδὲ ἐσθῆτα [1] παρυφασμένην, ἐὰν μὴ [2] ἑταίραν. μηδὲ τὸν ἄνδρα φορεῖν δακτύλιον ὑπόχρυσον, μηδὲ ἱμάτιον ἰσομιλήσιον, ἐὰν μὴ [3] ἑταιρεύηται, ἢ μοιχεύηται. διὸ καὶ ῥᾳδίως ταῖς τῶν προστίμων αἰσχραῖς [4] ὑπεξαιρέσεσιν ἀπέστρεψε τῆς βλαβερᾶς τρυφῆς καὶ ἀκολασίας τῶν ἐπιτηδευμάτων. οὐδεὶς γὰρ ἐβούλετο, τὴν αἰσχρὰν κόλασιν ὁμολογήσας, καταγέλαστος ἐν τοῖς πολίταις εἶναι. πολλὰ δὲ καὶ ἄλλα τῶν συμβολαίων, καὶ τῶν ἄλλων τῶν κατὰ τὸν βίον ἀμφισβητούντων, καλῶς ἐνομοθέτησε, περὶ ὧν ἡμῖν μακρὸν ἂν εἴη γράφειν, καὶ [5] τῆς ὑποκειμένης ἱστορίας ἀνοίκειον· διόπερ ἐπὶ τὰ συνεχῆ τοῖς προειρημένοις [6] ἀναβιβάσομεν τὸν λόγον.

κβʹ. Ἐπ᾽ ἄρχοντος γὰρ Ἀθήνησι Λυσιμαχίδου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Τῖτον [7] Μενήνιον Olymp. LXXXIII, 4.

1 Παρυφαμμένην Coisl. Reg. 1.
2 Ἡ ἑταῖρα Reg. 2. Clarom. sat commode.
3 Ἑτερεύεται Coisl. ἑταιρεύεται ἢ μοιχεύεται Reg. 1.
4 Ὑφεκαιρέσεσιν Ven. tum ἀπόστρεψε Clar.
5 Τῆς omnes. Τῇ operarum vitio edit. Steph.
6 Ἀναβιβάσωμεν Reg. uterque.
7 Μεσηνήνιον Coislin. Μενίνιον Clar. Venet.

reum ornatum & intertextas auro vestes ne circumdato, nisi meretricem agere velit. Vir annulum subaureum, aut vestem Milesiae parem ne gestato, nisi qui scortatione vel adulterio se contaminat. Proinde foedis poenarum exceptionibus, seu probrosis conditionibus poenae annexis, a noxio cives luxu & intemperantiae studio facillime avertit. Nemo enim tam turpis probri confessione se ludibrio civium exponi sustinebat. Multa etiam alia, quae contractus & ceteras vitae controversias spectant, legibus pulchre definivit. Quae singula persequi prolixum nimis, & ab historiae nostrae instituto alienum foret. Ideo ad narrationis supra interruptae continuationem stilum reflectemus.

XXII. Ius Athenis moderante Lysimachide, Romani consulare imperium tradunt T. Menenio & P. Sestio Ca-

Sybaritarum ad Traentem fl. fuga; inde post plurium an. moram a Bruttiis pulsi.

In Graecia Athenienses in recuperatam Euboeam, Hestiaeis eiectis, civium coloniam mittunt.

καὶ Πόπλιον Σήστιον Καπετωλῖνον. ἐπὶ δὲ τούτων διαφεύγοντες τὸν ἐν τῇ [1] στάσει κίνδυνον Συβαρῖται, περὶ τὸν Τράεντα ποταμὸν κατῴκησαν· καὶ χρόνον μέν τινα [2] διέμειναν, ἔπειθ' ὑπὸ Βρεττίων ἐκβληθέντες ἀνῃρέθησαν. κατὰ δὲ τὴν Ἑλλάδα Ἀθηναῖοι τὴν Εὔβοιαν ἀνακτησάμενοι, καὶ τοὺς Ἑστιαιεῖς ἐκ τῆς πόλεως ἐκβαλόντες, ἰδίαν ἀποικίαν εἰς αὐτὴν ἐξέπεμψαν, Περικλέους στρατηγοῦντος. χιλίους δὲ οἰκήτορας ἐκπέμψαντες, τήν τε πόλιν καὶ τὴν χώραν κατεκληρούχησαν.

Olymp. LXXXIV, 1.

Romae Decemviri scribendis legibus creati.

κγ΄. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Πραξιτέλους Ὀλυμπιὰς μὲν ἤχθη τετάρτη πρὸς ταῖς ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον [3] Κρίσων Ἱμεραῖος· ἐν δὲ τῇ Ῥώμῃ δέκα ἄνδρες κατεστάθησαν νομογράφοι, Πόπλιος Κλώδιος [4] Ῥηγιλλανὸς, Τίτος Μινούκιος, [5] Σπόριος Οὐετούριος, Γάϊος Ἰούλιος, Γάϊος Σουλπίκιος, Πόπλιος Σήστιος, Ῥωμύλος, Σπόριος, Ποστούμιος, Καλβίνιος·

1 Συστάσει Coisl.
2 Διέμεινον Reg. 1.
3 Κρίτων Coisl. prave.
4 Ῥηγιλανὸς Coisl. Clar.
5 Deest Coisl. qui statim Οὐετόριος.

pitolino. Horum tempore, Sybaritae, qui seditionis periculum evaserant, ad Traentem fluvium consederunt; & aliquamdiu ibi commorati, a Bruttiis postea eiecti deletique sunt. In Graecia interim Athenienses, recuperata Euboea, Hestiaeos urbe ductu Periclis excusserunt. Et mille civium suorum colonia illuc missa, urbem agrumque sorte diviserunt.

XXIII. Athenis principatum tenente Praxitele LXXXIV Olympias celebrata fuit, in qua stadii coronam meruit Crison Himeraeus. Romae autem Decemviri novis scribendis legibus creantur, App. Clodius Regillanus, Titus Genucius, Spurius Veturius, C. Iulius, Servius Sulpitius, P. Sestius, T. Romilius, Spurius Postumius, A.

οὗτοι τοὺς νόμους συνετέλεσαν. ἐπὶ δὲ τούτων Θούριοι μὲν διαπολεμοῦντες [1] πρὸς Ταραντίνους, τὰς ἀλλήλων χώρας ἐπόρθουν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· καὶ πολλὰς μὲν μικρὰς μάχας καὶ ἀκροβολισμοὺς ἐποιήσαντο, ἀξιόλογον δὲ πρᾶξιν οὐδεμίαν συνετέλεσαν.

Thurii & Tarentini mutuo bello se infestant.

κδ΄. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Λυσανίου Ῥωμαῖοι πάλιν δέκα ἄνδρας νομοθέτας εἵλοντο, Ἄππιον Κλώδιον, Μάρκον Κορνήλιον, Λεύκιον Μινούκιον, Γάϊον Σέργιον, Κόϊντον, Πόπλιον, Μάνιον, Ῥαβολήϊον, Σπόριον, Οὐετούριον. οὗτοι δὲ τοὺς νόμους [2] οὐκ ἠδυνήθησαν συντελέσαι. εἷς δ᾽ ἐξ αὐτῶν ἐρασθεὶς εὐγενοῦς παρθένου πενιχρᾶς, τὸ μὲν πρῶτον χρήμασι διαφθεῖραι τὴν κόρην ἐπεβάλετο· [3] ὡς δ᾽ οὐ προσεῖχεν [4] ἐκείνη τούτῳ, ἐπαπέστειλε συκοφάντας ἐπ᾽ αὐτήν,

Olymp. LXXXIV, 2.

App. Claudii, qui unus e Decemviris erat, libido.

1 Πρὸς Ἀκραγαντίνους Vat. Reg. 1. vetus interpr. Λεοντίνους Coisl. Οὐεντίνους Reg. 2. Clar. Venet.
2 Desit Coislin.
3 Ὡς δ᾽ οὐδεὶς αὐτῷ προσεῖχεν Coisl. Reg. 1. quod ex sequentibus repetitum videtur.
4 Ἐκείνου Clar.

Manlius, P. Horatius. Ab his leges conditae sunt. Sub haec inter Thurios & Tarentinos bello exorto, mutuis utrinque populationibus agri vastantur, a terra marique infestati. Multae quidem leves pugnae conferuntur & velitationes, sed nihil memoratu dignum efficitur.

XXIV. Athenis hinc Archonte Lysania, Romani rursus perferendis legibus X viros creant, App. Clodium, M. Cornelium, L. Minucium, C. Sergium, Q. Petilium, M. Rabuleium, T. Antonium Merendam, Q. Fabium Vibulanum, C. Duilium & Spurium Oppium. Verum hi leges absolvere non potuere. Nam unus ex horum collegio amore virginis cuiusdam nobilis, sed tenuis fortunae, exarsit. Principio igitur illam pretio corrumpere adortus est. Sed cum illa muneribus se expugnari non sineret, sycophantam subornat, cui negotium dedit, ut puel-

προστάξας ἄγειν εἰς δουλείαν. τοῦ δὲ συκοφάντου φήσαντος ἰδίαν [1] αὐτοῦ εἶναι δούλην, καὶ πρὸς τὸν ἄρχοντα καταστήσαντος δουλαγωγεῖν, προσαγαγὼν κατηγόρησεν ὡς δούλης. τοῦ δὲ διακούσαντος [2] τὴν κατηγορίαν, καὶ τὴν κόρην ἐγχειρίσαντος, ἐπιλαβόμενος ὁ συκοφάντης ἀπήγαγεν ὡς ἰδίαν δούλην. ὁ δὲ πατὴρ τῆς παρθένου παρὼν καὶ δεινοπαθῶν, ὡς οὐδεὶς αὐτῷ προσεῖχε, παραπορευόμενος κατὰ τύχην παρὰ [3] κρεωπώλιον, ἁρπάσας τὴν παρακειμένην ἐπὶ τῆς σανίδος κοπίδα, ταύτῃ πατάξας τὴν θυγατέρα ἀπέκτεινεν, ἵνα μὴ τῆς ὕβρεως λάβῃ πεῖραν. αὐτὸς δ' ἐκ τῆς πόλεως ἐκπηδήσας, ἀπῆλθε πρὸς τὸ στρατόπεδον, τὸ ἐν τῷ [4] Λαγαδίῳ καλουμένῳ τότε ὑπάρχον. καταφυγὼν δὲ ἐπὶ τὸ πλῆθος, καὶ μετὰ δακρύων τὴν κατ' αὐτὸν συμφορὰν ἀπαγγείλας, ἅπαντας εἰς ἔλεον ἤγαγε

Virginii patris pro filia contentio.

1 Αὐτοῦ Reg. uterque.
2 Τῆς κατηγορίας Co. ſat bene. Vide S. Lucam A. A. XXIII, 35. Ioſeph. Ant. Iud. XX, 6, 2.
3 Κρεωπώλιον Reg. 1. Vid. Polluc. VII, 25. Vulgo Κρεωπόλιον.
4 Λαγαδίῳ Mſ. Peireſc. in Valeſ. Excerpt. pag. 124. Λαγοδίῳ Reg. 2. *Algido* vet. interpr. Mox καλουμένῳ deſit Reg. 1.

lam in ſervitutem aſſereret. Ille ſervam hanc ſuam appellare, eaque ad tribunal Decemviri pertracta, vindicias ſecundum ſervitutem petere, & fabulam apud iudicem, huius argumenti auctorem, facile peragere. Puellam enim, ab illo in manus traditam, ut mancipium ſuum nebulo abducit. Interim parens virginis accelerarat, & gravi ſuper indignitate huius facti dolore commotus, ubi a nemine ſe audiri & ſublevari animadvertit, a tergo filiam comitans, oblatum forte in taberna lanii, quam praeteribat, cultrum arripit, eoque filiam transfixam interimit, ne contumeliam tam indignam experiri cogeretur. Et confeſtim ex urbe ſe proripiens, ad exercitum tum in caſtris ad Algidum verſantem tendit, & multis cum lacrimis infeliciſſimam rerum ſuarum conditionem exponens, multitudinis auxilium implorat. Et ſubito omnem erga

καὶ πολλὴν συμπάθειαν. πάντων δ' ἐπιβοηθεῖν τοῖς ἠτυχηκόσιν ὁρμησάντων, μετὰ τῶν ὅπλων νυκτὸς εἰς τὴν Ῥώμην εἰσέπεσον. οὗτοι μὲν οὖν κατελάβοντο λόφον τὸν ὀνομαζόμενον Ἀυεντῖνον. Motus in castris.

κέ. Ἅμα δ' ἡμέρᾳ γνωσθείσης τῆς τῶν στρατιωτῶν μισοπονηρίας, οἱ μὲν δέκα νομογράφοι βοηθοῦντες τῷ συνάρχοντι συνῆγον πολλοὺς τῶν νέων, ὡς διὰ τῶν ὅπλων κριθησόμενοι· μεγάλης δὲ πεσούσης φιλοτιμίας, οἱ χαριέστατοι τῶν πολιτῶν, προορώμενοι τὸ μέγεθος τοῦ κινδύνου, διεπρεσβεύσαντο πρὸς ἀμφοτέρους περὶ συλλύσεως, καὶ μετὰ πολλῆς σπουδῆς ἐδέοντο λῆξαι τῆς στάσεως, καὶ μὴ περιβαλεῖν τὴν πατρίδα μεγάλαις συμφοραῖς. τέλος δὲ πεισθέντων ἁπάντων, ὁμολογίας ἔθεντο πρὸς ἀλλήλους, ὥστε δέκα αἱρεῖσθαι δημάρχους μεγίστας ἔχοντας ἐξουσίας τῶν κα- Tandem orta discordia intestina componitur ita, ut Tribuni plebis,

se commiserationem, & intimum super hac calamitate dolorem, accendit. Concitatis itaque animis omnium ad opitulandum miseris, armati noctu Romam irrumpunt, collemque occupant, qui Aventinus illis nuncupatur.

XXV. Quamprimum illuxit, cognito militum odio adversus nefariam improbitatem, Decemviri, ut armata manu collegam tutarentur, magnam iuvenum catervam adsciscunt, ferro cum adversariis disceptaturi. Iamque ad ingens & funestum certamen res spectare videbatur, cum civium ornatissimi, periculorum magnitudine prospecta, legatos ad utrosque mittunt, qui de componendo pacifice dissidio agerent; summoque studio rogant & obtestantur, ut a discordia intestina desistant, nec gravissimis patriam cladibus intricare pergant. Persuasis tandem omnibus, res his conditionibus transacta est, ut X Tribuni plebis, summam prae ceteris in urbe magistra-

τὰ πόλιν ἀρχόντων, καὶ τούτους ὑπάρχειν οἱονεὶ φύλακας τῆς τῶν πολιτῶν ἐλευθερίας. τῶν δὲ κατ' ἐνιαυτὸν [1] γινομένων ὑπάτων τὸν μὲν ἕνα ἐκ τῶν πατρικίων αἱρεῖσθαι, καὶ τὸν ἕνα πάντως ἀπὸ τοῦ πλήθους καθίστασθαι· ἐξουσίας οὔσης τῷ δήμῳ καὶ ἀμφοτέρους τοὺς ὑπάτους ἐκ τοῦ πλήθους αἱρεῖσθαι. τοῦτο δ' ἔπραξαν [2] ταπεινῶσαι σπεύδοντες τὴν τῶν πατρικίων ὑπεροχήν. οἱ γὰρ ἄνδρες οὗτοι, διά τε τὴν εὐγένειαν καὶ τὸ μέγεθος τῆς ἐκ προγόνων αὐτοῖς παρακολουθούσης δόξης, ὡσεί τινες κύριοι τῆς πόλεως ὑπῆρχον. ἐν δὲ ταῖς ὁμολογίαις [3] προσέκειτο, τοῖς ἄρξασι δημάρχοις τὸν ἐνιαυτὸν ἀντικαθιστάναι πάλιν δημάρχους τοὺς ἴσους, ἢ τοῦτο μὴ πράξαντας, ζῶντας κατακαυθῆναι. ἐὰν δὲ οἱ δήμαρχοι μὴ συμφωνῶσι πρὸς ἀλλήλους, κυρίους εἶναι τὸν ἀνὰ μέσον κείμενον μὴ κωλύεσθαι. τὴν μὲν οὖν ἐν Ῥώμῃ στάσιν τοιαύτης συλλύσεως τυχεῖν συνέβη.

& alter de plebe Consul creentur.

1 Γενομένων Clar.
2 Duo haec desunt Reg. 1.
3 Διέκειτο Reg. 1. sed in margine vulgatum.

tibus poteſtatem habentes, creentur, qui ſartam tectamque civium deinceps libertatem conſervent, & ut alter Conſulum in ſingulos annos ſufficiendorum ex patriciis, alter ex plebe deligatur, immo ut populo utrumque ex plebe conſulem creandi ſit poteſtas. Quod ideo ſic ſtatutum eſt, ut nimiam patriciorum potentiam infringerent. Hi enim ob generis claritatem, & circumfulgentem ipſos maiorum gloriam, elatis animis, omnium rerum poteſtatem & quaſi dominium urbis ſibi arrogabant. Inter vero conditiones pacis etiam hoc adiectum erat, ut Tribuni plebis, anno magiſtratus ſui exacto, totidem in ſequentem annum ſurrogarent, aut eo neglecto vivi concremarentur. Quod ſi forte diſſenſio inter Tribunos oriatur, non impediri hoc illos, quo minus interea temporis magiſtratu fungantur. Romana igitur diſcordia hunc finem habuit.

κστʹ. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Διφίλου Ῥωμαῖοι κατέστησαν ὑπάτους [1] Κάγκον Ὁράτιον καὶ Λεύκιον Οὐαλέριον Τούρπινον. ἐπὶ δὲ τούτων ἐν τῇ Ῥώμῃ τῆς νομοθεσίας διὰ τὴν στάσιν ἀσυντελέστου γενομένης, οἱ ὕπατοι συνετέλεσαν αὐτήν. τῶν γὰρ καλουμένων δώδεκα πινάκων οἱ μὲν δέκα συνετελέσθησαν, τοὺς δ᾽ ὑπολειπομένους δύο ἀνέγραψαν οἱ ὕπατοι· καὶ τελεσθείσης τῆς ὑποκειμένης νομοθεσίας ταύτην εἰς δώδεκα χαλκοῦς πίνακας χαράξαντες οἱ ὕπατοι, [2] προσήλωσαν τοῖς πρὸ τοῦ βουλευτηρίου τότε κειμένοις ἐμβόλοις. ἡ δὲ γραφεῖσα νομοθεσία, βραχέως καὶ ἀπερίττως συγκειμένη, διέμεινε θαυμαζομένη μέχρι τῶν καθ᾽ ἡμᾶς καιρῶν. τούτων δὲ πραττομένων, τὰ πλεῖστα τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν ἐν ἡσυχίᾳ ὑπῆρχε, πάντων σχεδὸν εἰρήνην ἀγόντων. οἱ μὲν γὰρ Πέρσαι διττὰς συνθήκας εἶχον πρὸς τοὺς Ἕλληνας, τὰς μὲν πρὸς Ἀθηναίους καὶ τοὺς συμμάχους αὐτῶν, ἐν αἷς ἦσαν αἱ κατὰ τὴν Ἀσίαν Ἑλληνίδες πόλεις αὐτόνομοι· πρὸς

Olymp. LXXXIV, 3.

Leges XII tabb.

Una pace tum omnes populi fruebantur.

1 *Ancus* interpr. vet. 2 Non est in Reg. 1.

XXVI. Archonte porro Athenis Diphilo, Romae Consules creantur M. Horatius & L. Valerius Potitus. Hi leges seditione interpellatas tandem pertulerunt. Duodecim enim tabularum, uti vocant, decem solummodo perfectae erant: duas igitur reliquas Consules supplevere. Iura igitur populi Romani sic absoluta XII tabulis aeneis inciderunt, easque pro Curia rostris adfixere. Et haec legum descriptio, brevis admodum, omnisque apparatus verborum expers, ad nostram hanc tempestatem perdurat. Dum haec aguntur, pleraeque per orbem gentes quietae erant, siquidem omnes fere pace fruebantur. Persae enim geminum cum Graecis foedus constitutum habebant, unum cum Atheniensibus horumque sociis, quo sua iurisdictionis libertas Asiae urbibus re-

δὲ τοὺς Λακεδαιμονίους ὕστερον ἐγράφησαν, ἐν αἷς τοὐναντίον ἦν γεγραμμένον, ὑπηκόους εἶναι τοῖς Πέρσαις τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις. ὁμοίως δὲ καὶ Ἕλλησι πρὸς ἀλλήλους ὑπῆρχεν εἰρήνη, συντεθειμένων τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων σπονδὰς τριακονταετεῖς. ὁμοίως δὲ καὶ τὰ κατὰ τὴν Σικελίαν εἰρηνικὴν εἶχε κατάστασιν, Καρχηδονίων μὲν πεποιημένων συνθήκας πρὸς Γέλωνα, αὐτῶν δὲ τῶν κατὰ τὴν Σικελίαν πόλεων Ἑλληνίδων τὴν ἡγεμονίαν Συρακουσίοις συγκεχωρηκότων, καὶ τῶν Ἀκραγαντίνων μετὰ τὴν ἧτταν τὴν γενομένην περὶ τὸν Ἱμέραν ποταμὸν, συλλελυμένων πρὸς τοὺς Συρακουσίους· ἡσύχαζε δὲ καὶ [1] τὰ κατὰ τὴν Ἰταλίαν ἔθνη καὶ Κελτικὴν, ἔτι δ' Ἰβηρίαν καὶ τὴν ἄλλην σχεδὸν ἅπασαν οἰκουμένην. διόπερ πολεμικὴ μὲν καὶ ἀξία μνήμης πρᾶξις οὐδεμία συνετελέσθη [2] κατὰ τούτους τοὺς χρόνους· εἰρήνη δὲ μία συνετελέσθη, καὶ πανηγύρεις καὶ

1 Omittit Coisl. negliguntur in Reg. 1.
2 Haec usque καὶ πανηγύρεις

ſtituta erat: alterum cum Lacedaemoniis, in quo contrarium erat perſcriptum, ut illae civitates imperio Perſarum obnoxiae eſſent. Similiter etiam Graeci pacem inter ſe colebant, foedere tricennali inter Athenienſes & Spartanos icto. Tranquillus praeterea in Sicilia ſtatus erat, quod Carthaginienſes cum Gelone foedus iniiſſent, & Graecae per Siciliam urbes Syracuſanis imperii ſummam conceſſiſſent. Agrigentini quoque poſt cladem ad Himeram pacis leges acceperant. Tum & gentes per Italiam, Galliam, Hiſpaniam, & maximam orbis partem quiete ſe continebant. Idcirco nulla memorabilis res hoc quidem tempore bello geſta legitur, ſed una pace omnes fruebantur, conventuſque ſollemnes cum lu-

ἀγῶνες, καὶ θεῶν θυσίαι, καὶ τἄλλα τὰ πρὸς εὐδαιμονίαν ἀνήκοντα παρὰ πᾶσιν ἐπεπόλαζεν.

κζ΄. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Τιμοκλέους Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Λαρῖνον Ἑρμίνιον καὶ Τῖτον Στερτίνιον Στρούκτωνα. ἐπὶ δὲ τούτων Σάμιοι μὲν πρὸς Μιλησίους περὶ εἰρήνης ἀμφισβητήσαντες, εἰς πόλεμον κατέστησαν· ὁρῶντες δὲ τοὺς Ἀθηναίους ταῖς εὐνοίαις διαφέροντας πρὸς Μιλησίους, ἀπέστησαν ἀπ᾽ αὐτῶν· οἱ δὲ Περικλέα προχειρισάμενοι στρατηγὸν, ἐξέπεμψαν ἐπὶ τοὺς Σαμίους, ἔχοντα τριήρεις τεσσαράκοντα. οὗτος δὲ πλεύσας, ἐπί τε τὴν Σάμον παρεισελθὼν, καὶ τῆς πόλεως ἐγκρατὴς γενόμενος, κατέστησε δημοκρατίαν ἐν αὐτῇ. πραξάμενος δὲ παρὰ τῶν Σαμίων ὀγδοήκοντα τάλαντα, καὶ τοὺς ἴσους ὁμήρους παῖδας λαβὼν, τούτους μὲν παρέδωκε τοῖς Λημνίοις· αὐτὸς δ᾽ ἐν ὀλίγαις ἡμέραις ἅπαντα συντετελεκὼς, ἐπανῆλθεν εἰς τὰς Ἀθήνας. ἐν δὲ τῇ Σάμῳ

Olymp. LXXXIV, 4.

Samii de Priene bellum contra Milesios moverunt & ab Atheniensibus defecerunt.

Quamvis a Persis adiuti, tamen tandem duce Pericle domiti.

dis & sacris Deorum epulis, nec non alia ad felicitatem societatis humanae pertinentia, ubique vigebant.

XXVII. Hinc Archontis magistratum Athenis gerente Timocle, Romae Consules facti Lars Herminius & T. Verginius Tricostus. Hoc tempore Samii contendentes de Priene cum Milesiis, bellum ipsis facessunt. Cumque Athenienses Milesiorum partes magis fovere cernerent, etiam ab illis descifcunt. Qui Periclem, imperatorem ad hoc creatum, cum XL triremium classe bellum Samiis inferre iubent. Is copiis urbi admotis, non magno negotio illam in potestatem redigit, & populare regimen in ea instituit, & LXXX talentûm stipendio illis imposito, totidem pueros, obsides ab illis acceptos, Lemniorum fidei permittit; totoque negotio intra paucos dies feliciter expedito, Athenas redit. Gravis dehinc seditio

στάσεως γενομένης, καὶ τῶν μὲν αἱρουμένων [1] τὴν δημοκρατίαν, τῶν δὲ βουλομένων τὴν ἀριστοκρατίαν εἶναι, ταραχὴ πολλὴ τὴν πόλιν ἐπεῖχε. τῶν δ' ἐναντιουμένων τῇ δημοκρατίᾳ διαβάντων εἰς τὴν Ἀσίαν, καὶ πορευθέντων εἰς Σάρδεις πρὸς [2] Πισσούθνην τὸν τῶν Περσῶν σατράπην περὶ βοηθείας· ὁ μὲν Πισσούθνης ἔδωκεν αὐτοῖς στρατιώτας [3] ἑπτακοσίους, ἐλπίζων τῆς Σάμου [4] διὰ τούτων κυριεύσειν. οἱ δὲ Σάμιοι μετὰ τῶν δοθέντων αὐτοῖς στρατιωτῶν νυκτὸς πλεύσαντες εἰς τὴν Σάμον, ἔλαθόν τε τὴν πόλιν παρεισελθόντες, συνεργούντων τῶν πολιτῶν, [5] ῥᾳδίως τ' ἐκράτησαν τῆς Σάμου, καὶ τοὺς ἀντιπράττοντας αὐτοῖς ἐξέβαλον ἐκ τῆς πόλεως· τοὺς δ' ὁμήρους ἐκκλέψαντες ἐκ τῆς Λήμνου, καὶ τὰ κατὰ τὴν Σάμον ἀσφαλισάμενοι, φανερῶς ἑαυτοὺς ἀπέδειξαν πολεμίους τοῖς Ἀθηναίοις. οἱ δὲ πάλιν Περικλέα προχειρισάμενοι στρατηγὸν, ἐξέπεμψαν ἐπὶ τοὺς Σαμίους μετὰ νεῶν

1 Exſulat ex Reg. 1.
2 Πισσουθνητὸν τῶν Coisl.
3 Exſulat e Reg. 1.
4 Διὰ τούτων ſolus Reg. 1. Edd. διὰ τούτου, prave.
5 Ῥαδίως τ' αὐτῆς ἐκράτησαν, καὶ ora Steph. Clarom.

in Samo oritur, dum alii popularem ſtatum tuentur, alii optimatum adminiſtrationem magis probant. Unde ingenti urbs tumultu agitatur. Hi ergo, quibus Democratia adverſa erat, ad Piſſuthnen, Satrapam Perſarum, in Aſiam profecti, auxilia inde petunt. Is IↃCC eis milites tradit, hoc pacto ſuam in ditionem Samum venturam ſperans. Hoc militum praeſidio ex Aſia in Samum tranſportato, Samii furtim noctu, a complicum ſuorum factione adiuti, urbem ingrediuntur, eaque facile potiti adverſam ſibi factionem eiiciunt. Mox obſides ex Lemno ſurreptos abducunt, & Samo praeſidiis firmata, apertos ſeſe hoſtes Athenienſibus profitentur. Hi denuo imperium militare Pericli committunt, eumque navibus LX

ἑξήκοντα. μετὰ δὲ ταῦθ' ὁ μὲν Περικλῆς ναυμαχήσας πρὸς ἑβδομήκοντα τριήρεις, ἐνίκησε τοὺς Σαμίους· μεταπεμψάμενος δὲ παρὰ Χίων καὶ Μιτυληναίων ναῦς πέντε καὶ εἴκοσι, μετὰ τούτων ἐπολιόρκησε τὴν Σάμον. μετὰ δέ τινας ἡμέρας Περικλῆς μὲν καταλιπὼν μέρος δυνάμεως ἐπὶ τῆς πολιορκίας, ἀνέζευξεν ἀπαντήσων ταῖς Φοινίσσαις ναυσὶν, ἃς οἱ Πέρσαι τοῖς Σαμίοις ἦσαν ἀπεσταλκότες.

κη'. Οἱ δὲ Σάμιοι, διὰ τὴν ἀνάζευξιν τοῦ Περικλέους, νομίζοντες ἔχειν καιρὸν [1] ἐπιτήδειον εἰς ἐπίθεσιν ταῖς ἀπολελειμμέναις ναυσὶν, [2] ἐπέπλευσαν εἰς αὐτὰς, καὶ νικήσαντες τῇ ναυμαχίᾳ, φρονήματος ἐπληροῦντο. ὁ δὲ Περικλῆς ἀκούσας τὴν τῶν ἰδίων ἧτταν, εὐθὺς ὑπέστρεψε, καὶ στόλον ἀξιόλογον ἤθροισε, βουλόμενος εἰς τέλος [3] συντρίψαι τὸν τῶν ἐναντίων στόλον. ταχὺ δ' ἀποστειλάντων Ἀθηναίων μὲν ἑξήκοντα

1 Omittit Reg. 2.
2 Ἐνέπλευσαν idem & Clar.
3 Ἐκτρίψαι Reg. 1. συντρέψαι Reg. 2.

contra Samios instruunt. Is cum LXX hostium triremibus confligens Samios vincit. Arcessitis inde a Chiis & Mityleneis XXV navibus, harum ope, Sami obsidionem aggreditur. Paucis vero interiectis diebus, parte copiarum ad obsidionem relicta, cum reliquis inde solvens, Phoenicum navibus, quas Persae auxilio Samiis mittebant, occurrit.

XXVIII. Samii igitur, discessum Periclis idoneum sibi tempus attulisse, quo reliquas eius naves invaderent, arbitrati, eruptionem in eas faciunt, & proelio navali superiores, animis haud mediocriter intumescunt. Pericles autem, suorum clade audita, sine mora regressus, classem numerosam ac validam contrahit, hostium classem funditus evertere constitutum habens. Cumque su-

τριήρεις, Χίων δὲ καὶ Μιτυληναίων τριάκοντα, μεγάλην ἔχων δύναμιν, συνεστήσατο τὴν πολιορκίαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, συνεχεῖς ποιούμενος προσβολάς. κατεσκεύασε [1] δὲ καὶ μηχανὰς πρῶτος τῶν πρὸ αὐτοῦ, τούς τε ὀνομαζομένους κριοὺς καὶ χελώνας, Ἀρτέμωνος τοῦ Κλαζομενίου κατασκευάσαντος. ἐνεργῶς δὲ πολιορκήσας τὴν πόλιν, καὶ ταῖς μηχαναῖς καταβαλὼν τὰ τείχη, κύριος ἐγένετο τῆς Σάμου· κολάσας δὲ τοὺς αἰτίους, ἐπράξατο τοὺς Σαμίους τὰς εἰς τὴν πολιορκίαν γεγενημένας δαπάνας, τιμησάμενος αὐτὰς ταλάντων διακοσίων. παρείλετο δὲ καὶ τὰς ναῦς αὐτῶν, καὶ τὰ τείχη κατέσκαψε, καὶ τὴν δημοκρατίαν καταστήσας, ἐπανῆλθεν εἰς τὴν πατρίδα. Ἀθηναίοις δὲ καὶ Λακεδαιμονίοις μέχρι τούτων τῶν χρόνων αἱ τριακονταετεῖς σπονδαὶ διέμειναν ἀσάλευτοι. καὶ ταῦτα μὲν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

Hic in oppugnatione primus machinas bellicas adhibuit, ab Artemone inventas.

1 Δὲ καὶ μηχ. Coisl. Reg. 1. Clar. Ab edd. copula aberat.

bito Athenienſes LX, Chii autem & Mitylenaei XXX triremes miſiſſent, iam magnis inſtructus copiis, obſidionem terra marique intentât, aſſiduiſque urbem oppugnationibus fatigat. Machinas etiam bellicas primus omnium, qui ad haec uſque tempora inclaruiſſent, ducum, adornavit, arietes videlicet & teſtudines, ut vocant, Artemone Lacedaemonio ingenioſam hic illi operam navante. Et quia ſummis oppugnationi viribus inſtabat, moenibus impulſu machinarum deiectis, factum eſt, ut Samus in eius poteſtatem veniret. Affectis ergo ſupplicio defectionis auctoribus, in compenſationem belli ſumtuum CC talentorum multam a Samiis exegit. Naves quoque illis ademit, ac muros deſtruxit. Democratia tandem in priſtinum reſtituta, in patriam remeavit. Huc uſque tricennales induciae Athenienſibus & Lacedaemoniis illabefactatae permanſerunt. Et his ille annus geſtis clarus fuit.

κθʹ. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Μυριχίδου Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Λεύκιον Ἰούλιον καὶ Μάρκον [1] Γεγάνιον· Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα πέμπτην πρὸς ταῖς ὀγδοήκοντα, ἐν ᾗ ἐνίκα [2] Κρίσων Ἱμεραῖος τὸ δεύτερον. ἐπὶ δὲ τούτων κατὰ τὴν Σικελίαν Δουκέτιος μὲν, ὁ γεγονὼς τῶν [3] Σικελικῶν πόλεων ἡγεμὼν, τὴν τῶν Καλλατίνων πατρίδα κατέστησε, καὶ πολλοὺς εἰς αὐτὴν οἰκίζων οἰκήτορας, ἀντεποιήσατο μὲν τῆς τῶν Σικελῶν ἡγεμονίας, μεσολαβηθεὶς δὲ νόσῳ τὸν βίον κατέστρεψε. Συρακούσιοι δὲ πάσας τὰς τῶν Σικελῶν πόλεις ὑπηκόους ποιησάμενοι, πλὴν τῆς ὀνομαζομένης Τρινακίης, ἔγνωσαν ἐπὶ ταύτην στρατεύειν. σφόδρα γὰρ ὑπώπτευον τοὺς Τρινακίους ἀντιλήψεσθαι τῆς τῶν ὁμοεθνῶν Σικελῶν ἡγεμονίας. ἡ δὲ πόλις αὕτη πολλοὺς καὶ μεγάλους ἄνδρας εἶχεν,

Olymp. LXXXV, 1.

Ducetio mortuo, Syracusani Siculorum barbarorum urbes occupant ipsamque Trinacriam.

1 Γεγάντιον Reg. 2. Vat. Coisl. Ven. *Geganium* interpr. vet. quod verum. Edd. Γιγάντιον.

2 Κρίσσων Reg. 1.

3 Σικελῶν Coisl. Reg. 1.

XXIX. Praetore dein Athenis Myrichide, Romae consulari imperio praefecerunt L. Iulium & M. Geganium. Elei LXXXV Olympiadem tunc egerunt, qua Criso Himeraeus iterum stadio vicit. Sub haec in Sicilia Ducetius, qui urbium Sicularum dux fuerat, Callatinorum patriam condidit, & magna colonorum frequentia illuc deducta, imperium Siculorum sibi vindicare coepit. Sed morbo praeventus vita & ausis excidit. Hinc cum Syracusani cunctas per Siciliam urbes suo imperio subdidissent, Trinacria dumtaxat excepta, hanc quoque bello adoriri statuerunt. Valde enim opes Trinaciorum suspectas habebant, veriti, ne quando Siculorum gentis cognatae imperium ad se transferrent. Haec urbs multos & magnae virtutis viros semper habuit. Ideoque princi-

ἀεὶ τὸ πρωτεῖον ἐσχηκυῖα τῶν [1] Σικελικῶν πόλεων. ἦν γὰρ ἡγεμόνων ἡ πόλις αὕτη πλήρης, μέγα φρονούντων ἐπ' ἀνδρίᾳ. διὸ καὶ πάσας τὰς δυνάμεις ἀθροίσαντες ἐκ τῶν Συρακουσῶν καὶ τῶν συμμάχων πόλεων, ἐστράτευσαν ἐπ' αὐτήν. οἱ δὲ Τρινάκιοι συμμάχων μὲν ἦσαν ἔρημοι, διὰ δὲ τὰς ἄλλας πόλεις, αἳ ὑπήκουον Συρακουσίοις, μέγαν ἀγῶνα συνεστήσαντο. ἐκθύμως γὰρ ἐγκαρτεροῦντες τοῖς δεινοῖς, καὶ πολλοὺς ἀνελόντες, ἡρωϊκῶς μαχόμενοι πάντες κατέστρεψαν τὸν βίον. ὁμοίως δὲ καὶ τῶν πρεσβυτέρων οἱ πλείους ἑαυτοὺς ἐκ τοῦ ζῆν μετέστησαν, οὐχ ὑπομείναντες τὰς ἐκ τῆς ἁλώσεως ὕβρεις. οἱ δὲ Συρακούσιοι τοὺς πρότερον ἀηττήτους γεγονότας νικήσαντες ἐπιφανῶς, τὴν μὲν πόλιν ἐξανδραποδισάμενοι κατέσκαψαν, τῶν δὲ λαφύρων τὰ κράτιστα ἀπέστειλαν εἰς Δελφοὺς χαριστήρια τῷ θεῷ.

Olymp. LXXXV, 2. λ'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Γλαυκίδου [2] Ῥωμαῖοι

1 Σικελῶν Clar.
2 Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Reg. 1. secunda vox ab edd. exsulabat.

patum inter urbes Siculas semper obtinuit. Viris enim ad gerenda imperia idoneis, & celsos ob fortitudinem spiritus habentibus, plena erat. Ideo cunctas e Syracusis & sociis urbibus copias contrahunt, easque in Trinacios educunt. At hi, externo sociorum praesidio destituti, propter ceteras urbes, quae Syracusanis parebant, ingens certamen commiserunt, & animose fortiterque sese periculis obiectantes, heroice dimicando universi oppetierunt. Maior etiam pars senum, quod captivitatis ignominiam subire nollent, ultro se vita abdicarunt. Syracusani ergo, tam illustrem de his, qui invicti hactenus fuerant, victoriam adepti, incolis in servitutem redactis, urbem solo aequarunt. Ex manubiis vero pretiosissima quaeque, ad grates Deo persolvendas, Delphos transmisere.

XXX. Praeposito rerum summae Athenis Glaucide, &

μὲν ὑπάτους κατέστησαν Τῖτον Κόϊντον καὶ Ἀγρίππαν [1] Φούριον. ἐπὶ δὲ τούτων Συρακούσιοι, διὰ τὰς προειρημένας εὐημερίας, ἑκατὸν μὲν τριήρεις ἐναυπηγήσαντο, τὸν δὲ τῶν ἱππέων ἀριθμὸν ἐποίησαν διπλάσιον. ἐπεμελήθησαν δὲ καὶ τῆς πεζικῆς δυνάμεως, καὶ χρημάτων παρασκευὰς ἐποιοῦντο, φόρους ἁδροτέρους τοῖς ὑποτεταγμένοις Σικελοῖς ἐπιτιθέντες. ταῦτα δ' ἔπραττον διανοούμενοι πᾶσαν Σικελίαν ἐκ τοῦ κατ' ὀλίγον κατακτήσασθαι. ἅμα δὲ τούτοις πραττομένοις, κατὰ τὴν Ἑλλάδα συνέβη τὸν Κορινθιακὸν κληθέντα πόλεμον ἀρχὴν λαβεῖν, διὰ τοιαύτας [2] τινὰς αἰτίας· Ἐπιδάμνιοι κατοικοῦντες ἐπὶ τὸν Ἀδρίαν, ἄποικοι δ' ὑπάρχοντες [3] Κερκυραίων καὶ Κορινθίων, ἐστασίασαν πρὸς ἀλλήλους· τῆς δ' ἐπικρατούσης μερίδος φυγαδευούσης πολλοὺς τῶν ἀντιπραττόντων, οἱ φυγάδες ἀθροισθέντες καὶ παραλαβόντες ἔπλευσαν τοὺς Ἰλλυριοὺς κοινῇ μετ' αὐτῶν ἐπὶ τὴν Ἐπίδαμνον. στρατευσάντων

Belli Corinthiaci, usque ad Ol. LXXXVI, 2. continuati, pro Epidamniis contra Corcyraeos gesti, initium & caussae.

1 Φρούριον Coisl. & Venet.

2 Vatic. & Reg. 1. negligunt, haud male.

3 Κορκυραίων Vatic. plerumque cum Reg. 1. & Coisl. quomodo & nummi.

creatis Romae Consulibus T. Quinctio & Agrippa Furio, Syracusani re, ut dictum est, feliciter gesta, triremes exstruxerunt, & numero equitum conduplicato, terrestribus etiam copiis operam dederunt. Ut vero magnam vim pecuniae conficerent, ampliora subditis per Siciliam tributa imperarunt. Id propterea ab iis factum, quod totam Siciliam suo imperio paullatim subiungere meditarentur. Dum haec ita geruntur, bellum, quod Corinthiacum appellatur, his de caussis exarsit. Epidamnii, Adriae maris accolae, a Corcyrensibus & Corinthiis illuc in coloniam deducti, seditione laborabant. Cumque pars viribus superior multos adversae factionis urbe eiecisset, exsules in unum congregati, accitis in societatem Illyriis, communi Epidamnum classe petunt. Quia vero

δὲ τῶν βαρβάρων πολλῇ δυνάμει, καὶ τὴν μὲν χώραν κατασχόντων, τὴν δὲ πόλιν πολιορκούντων, οἱ μὲν Ἐπιδάμνιοι καθ' ἑαυτοὺς οὐκ ὄντες ἀξιόμαχοι, πρέσβεις ἔπεμψαν εἰς Κέρκυραν, ἀξιοῦντες τοὺς Κερκυραίους συγγενεῖς ὄντας βοηθῆσαι· οὐ προσεχόντων δ' αὐτῶν ἐπρεσβεύσαντο πρὸς Κορινθίους περὶ συμμαχίας, καὶ μόνην ἐκείνην ἐποιήσαντο μητρόπολιν· ἅμα δὲ καὶ συνοίκους [1] ᾐτοῦντο. οἱ δὲ Κορίνθιοι τοὺς μὲν Ἐπιδαμνίους ἐλεοῦντες, τοὺς δὲ Κερκυραίους μισοῦντες, διὰ τὸ μόνους τῶν ἀποίκων μὴ πέμπειν τὰ κατειθισμένα ἱερεῖα τῇ μητροπόλει, ἔκριναν βοηθεῖν τοῖς Ἐπιδαμνίοις. διόπερ ἀποίκους τε ἐξέπεμψαν εἰς τὴν Ἐπίδαμνον, καὶ στρατιώτας ἱκανοὺς φρουρῆσαι τὴν πόλιν. ἐπὶ δὲ τούτοις οἱ Κερκυραῖοι παροξυνθέντες, ἀπέστειλαν πεντήκοντα τριήρεις, καὶ στρατηγὸν ἐπ' αὐτῶν. οὗτος δὲ προσπλεύσας τῇ πόλει, προσέταττε τοὺς μὲν φυγά-

1 Ἡγοῦντο Steph. ora.

magnae Barbarorum erant copiae, facile & regionem occupant, & ipſam urbem circumſident. Sed cum Epidamnii tanto hoſti ad reſiſtendum pares non eſſent, miſſis Corcyram legatis, auxilia inde, quod cognati eſſent, depoſcunt. Ab his neglecti, Corinthios ad ſocietatem belli invitant, eamque ſolam metropolim ſibi conſtituunt, novos etiam cives, eiectis ſufficiendos, ab eis petunt. Corinthii, ſimul Epidamniorum miſerti, ſimul Corcyraeis iam pridem infenſi, quod ſoli ex coloniis, a ſe deductis, conſueta metropoli ſacra non mitterent, Epidamniis auxilium ferre decernunt. Idcirco & civium ſupplementa, & militum praeſidium, quantum urbi tutandae ſat eſſet, illuc mittunt. His Corcyrenſes graviter commoti, triremium L claſſem cum praetore in eos expediunt. Is cum navibus ad urbem appulſus Epidamniis imperat, uti

δας καταδέχεσθαι· ἐπὶ δὲ τοὺς [1] Φρουροὺς Κορινθίους [2] πρέσβεις ἀπέστειλαν, [3] ἀξιοῦντες δικαστηρίῳ κριθῆναι περὶ τῆς ἀποικίας, [4] καὶ μὴ πολέμῳ. τῶν δὲ Κορινθίων οὐ προσεχόντων αὐτοῖς, συγκατέβησαν εἰς πόλεμον ἀμφότεροι, καὶ ναυτικὰς δυνάμεις ἀξιολόγους κατεσκεύαζον, καὶ συμμάχους προσελαμβάνοντο. ὁ μὲν οὖν Κορινθιακὸς ὀνομασθεὶς πόλεμος συνέστη διὰ τὰς προειρημένας αἰτίας. Ῥωμαῖοι δὲ πρὸς [5] Οὐολούμνους διαπολεμοῦντες, τὸ μὲν πρῶτον ἀκροβολισμοὺς καὶ μικρὰς μάχας συνετέλουν, μετὰ δὲ ταῦτα [6] παρατάξει μεγάλῃ νικήσαντες, τοὺς πλείους τῶν πολεμίων κατέκοψαν.

Romani Volſcos bello ſubigunt.

λα΄. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Θεοδώρου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Μάρκον [7] Γενύκιον

Olymp. LXXXV, 3.

1 Φρούρους Steph. margo, Coisl. Reg. 1. Vat. Φρουροῦντας editi.
2 Abeſt Coisl.
3 Ἀξιοῦντας Reg. 1. non incommode.
4 Deſit Coisl. Reg. 1. unde aſteriſcum habet in edit. Steph.
5 Βολόμνους Coisl. Vetus interpres *Volumnios.*
6 Παρατάξεως μεγάλης γενομένης Reg. 1.
7 Γενύκιον Coislin. & vetus interpr. Vulgo Γενίκιον. Mox Ἀγρίππαν Κόρτιον vet. interpr. & Coisl. Prius etiam Clar.

exſules in civitatem recipiant. Tum per legatos Corinthiorum praeſidio denuntiat, ut legitimo potius iudicio, quam bello, de colonia diſceptare velint. Sed abnuentibus Corinthiis, ad bellum tandem deventum eſt, & magnas utrinque copias navales colligi, ſociorumque auxilia adiungi coeptum. Has igitur ob cauſas Corinthiacum illud bellum excitatum fuit. Interea Romani cum Volſcis belligerantes, primo levibus pugnis hoſtem laceſſebant; ſed poſtmodum iuſta congreſſi acie, victoria potiuntur, & maximam devictorum partem concidunt.

XXXI. Cum Athenis praeeſſet nomine Archontis Theodorus, & Romani Conſules feciſſent M. Genucium &

Campanorum in Italia origines.

Archaeanactidae in Boſporo Cimmerio regnant; quibus in imperio ſucceſſit Spartacus.

Corinthii a Corcyraeis proelio navali pulſi.

καὶ Ἀγρίππαν Κούρτιον Χίλωνα. ἐπὶ δὲ τούτων κατὰ μὲν τὴν Ἰταλίαν τὸ ἔθνος τῶν [1] Καμπανῶν συνέστη, καὶ ταύτης ἔτυχε τῆς προσηγορίας ἀπὸ τῆς ἀρετῆς τοῦ πλησίον κειμένου πεδίου· κατὰ δὲ τὴν Ἀσίαν οἱ τοῦ Κιμμερίου Βοσπόρου βασιλεύσαντες, ὀνομασθέντες δὲ [2] Ἀρχαιανακτίδαι, ἦρξαν ἔτη δύο πρὸς τοῖς τεσσαράκοντα. διεδέξατο δὲ τὴν ἀρχὴν Σπάρτακος, καὶ ἦρξεν ἔτη ἑπτά. κατὰ δὲ τὴν Ἑλλάδα Κορίνθιοι πρὸς Κερκυραίους διαπολεμοῦντες, καὶ παρασκευασάμενοι ναυτικὰς δυνάμεις, συνεστήσαντο ναυμαχίαν. οἱ μὲν οὖν Κορίνθιοι ἔχοντες ναῦς ἑβδομήκοντα καλῶς ἐξηρτυμένας, ἐπέπλευσαν τοῖς πολεμίοις. οἱ δὲ Κερκυραῖοι τριήρεσιν ὀγδοήκοντα ἀντιταχθέντες, [3] ἐνίκησαν τῇ ναυμαχίᾳ, καὶ τὴν Ἐπίδαμνον πολιορκήσαντες, τοὺς μὲν ἄλλους αἰχμαλώτους ἀπέκτειναν, τοὺς δὲ Κορινθίους δήσαντες, εἰς φυλακὴν παρέδοσαν. μετὰ δὲ τὴν ναυμαχίαν οἱ μὲν Κορίνθιοι καταπλαγέντες κατέ-

1 Καππάδων Coiſl. *Cappadocum* vet. interpr. abſurde.

2 Ἀρχεανακτίδαι Reg. 1. Coiſl.

3 Ἐνίκησαν τὴν ναυμαχίαν uterque Reg. & Vatic.

Agrippam Curtium Chilonem, in Italia gens Campanorum coaluit, id cognomenti ſortita a fertilitate camporum circumiacentium. In Aſia vero Cimmerii Boſpori regnum Archaeanactidae qui vocantur iam per annos XLII tenuerant, quibus in imperio ſucceſſit Spartacus, & VII annos regnavit. In Graecia Corinthii & Corcyrenſes, armis inter ſe diſceptantes, nauticas utrinque copias ad pugnam navalem expediunt. Corinthii navibus LXX eleganter inſtructis in hoſtem tendunt. His Corcyraei triremibus LXXX occurrunt, proelioque ſuperiores Epidamnum vi expugnant, & ceteros quidem omnes captivos trucidant, ſed Corinthios vinctos in cuſtodiam tradunt. Corinthii ergo ob rem infeliciter mari geſtam fra-

πλευσαν εἰς τὴν Πελοπόννησον. οἱ δὲ Κερκυραῖοι θαλαττοκρατοῦντες τῆς κατ' ἐκείνους τοὺς τόπους θαλάττης, ἐπέπλεον [1] τοῖς Κορινθίων συμμάχοις, καὶ τὴν χώραν αὐτῶν ἐπόρθουν.

λβ'. Τοῦ δ' ἐνιαυσιαίου χρόνου διελθόντος Ἀθήνησι μὲν ἦρχεν Εὐθυμένης, ἐν Ῥώμῃ δ' ἀντὶ τῶν ὑπάτων χιλίαρχοι κατεστάθησαν τρεῖς, Αὖλος Σεμπρώνιος, Λεύκιος Ἀτίλιος, καὶ [2] Τῖτος Κοΐντιος. ἐπὶ δὲ τούτων Κορίνθιοι μὲν ἡττημένοι τῇ ναυμαχίᾳ, ναυπηγήσασθαι στόλον ἀξιολογώτερον ἔκριναν· διόπερ ὕλην πολλὴν παρασκευασάμενοι, καὶ ναυπηγοὺς ἐκ τῶν πόλεων μισθούμενοι, μετὰ πολλῆς φιλοτιμίας κατεσκεύαζον τριήρεις καὶ ὅπλα καὶ βέλη παντοδαπά, καὶ καθόλου πάσας τὰς εἰς τὸν πόλεμον παρασκευὰς ἡτοίμαζον· καὶ τὰς μὲν ἐκ καταβολῆς τριήρεις [3] ἐναυ-

Olymp. LXXXV, 4.

Novi Corinthiorum & Corcyraeorum apparatus navales.

1 Non est in Clarom.
2 Τῖτος Κλοίλιος in Rhodom. edito. Cett. omnes Κοΐντος, praeter interp. tamen veter. qui *Quintius:* quod restitui.
3 Ἐποιοῦντο Reg. 1. ex scholio.

ctis animis renavigant in Peloponnesum. Corcyraei autem, redacto in potestatem illo maris tractu, in socios quoque Corinthiorum expeditione facta, terram illorum infestam reddunt.

XXXII. Anno hoc elapso, Archontis magistratum Athenis gerebat Euthymenes, Romae autem Tribuni militares tres consulari potestate creantur A. Sempronius, L. Atilius, & Titus Coelius. Tum Corinthii, proelio navali non ita pridem victi, classem aliam priore magnificentiorem adornare constituunt. Ideo comparata undique materia, & fabris ex urbibus mercede conductis, enixa ope studioque triremes conficiunt, armaque & tela omnis generis, quidquid denique belli usus exigere videbatur, affatim apparant. Triremium alias de integro

πηγοῦντο, τὰς δὲ [1] πεπονηκυίας ἐθεράπευον, ἄλλας δὲ παρὰ τῶν συμμάχων μετεπέμποντο. παραπλήσιον καὶ τῶν Κερκυραίων ποιούντων, καὶ ταῖς φιλοτιμίαις οὐκ ἀπολιμπανομένων, φανερὸς ἦν ὁ πόλεμος αὔξησιν μεγάλην ληψόμενος. ἅμα δὲ τούτοις πραττομένοις Ἀθηναῖοι [2] συνῴκισαν Ἀμφίπολιν, καὶ τῶν οἰκητόρων οὓς μὲν ἐκ τῶν πολιτῶν κατέλεξαν, οὓς δ' ἐκ τῶν σύνεγγυς φρουρίων.

Athenienses coloniam deducunt Amphipolin.

Olymp. LXXXVI, 1.

λγ'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Ναυσιμάχου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Τίτον Κοΐντον καὶ Μάρκον [3] Γεγάνιον Μάκερνον· Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα ἕκτην πρὸς ταῖς ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον Θεόπομπος Θετταλός. ἐπὶ δὲ τούτων Κερκυραῖοι μὲν πυνθανόμενοι τῶν παρασκευαζομένων ἐπ' αὐτοὺς δυνάμεων τὸ πλῆθος, ἀπέστειλαν πρὸς Ἀθηναίους πρέσβεις, ἀξιοῦντες αὐτοῖς βοηθῆσαι. τὸ δ' αὐτὸ καὶ

Athenienses, socii Corcyraeorum facti, navali proelio Corinthios fundunt.

1 Πεπονημένας Clar. Reg. 2.
2 Συνῴκισαν Reg. 1. probe. Vulgo συνῴκησαν.
3 Γεγόνιον Coisl.

construunt: alias, quae vitium fecissent, resarciunt: nonnullas a sociis commodato petunt. Nec segnius a Corcyraeis res geritur. Hi enim studii ac laboris contentione hosti nihil cedebant. Unde, quantae molis bellum istud futurum esset, liquido apparebat. Inter haec Athenienses coloniam Amphipolim deducunt, delectu partim ex civibus, partim finitimis castellis habito.

XXXIII. Archonte post Athenis Nausimacho, Romani Consules elegerunt T. Quinctium & M. Geganium Macerinum. Elei autem Olympiadem octogesimam sextam agebant, qua ex stadio coronam retulit Theopompus Thessalus. Tum Corcyraei, audita copiarum contra se armatarum multitudine, per legatos de suppetiis ferendis Athenienses sollicitant. Quod idem Corinthii etiam

Κορινθίων ποιησάντων, καὶ συναχθείσης ἐκκλησίας, διήκουσε τῶν πρέσβεων ὁ δῆμος, καὶ ἐψηφίσατο [1] συμμαχεῖν Κερκυραίοις· διὸ καὶ παραχρῆμα μὲν ἐξέπεμψαν τριήρεις κατηρτισμένας δέκα, μετὰ δὲ ταῦτα πλείους ἐπηγγείλαντο πέμψειν, ἐὰν ᾖ χρεία· οἱ δὲ Κορίνθιοι, τῆς τῶν Ἀθηναίων συμμαχίας ἀποτυχόντες, ἐννενήκοντα μὲν αὐτοὶ τριήρεις ἐπλήρωσαν, παρὰ δὲ τῶν συμμάχων ἑξήκοντα προσελάβοντο. ἔχοντες οὖν ναῦς κατηρτισμένας ἑκατὸν πεντήκοντα, καὶ στρατηγοὺς ἑλόμενοι τοὺς χαριεστάτους, ἀνήχθησαν ἐπὶ τὴν Κέρκυραν, κεκρικότες διὰ τάχους ναυμαχῆσαι. οἱ δὲ Κερκυραῖοι πυνθανόμενοι τὸν τῶν πολεμίων στόλον μὴ μακρὰν ἀπέχειν, ἀντανήχθησαν τριήρεσιν ἑκατὸν εἴκοσι σὺν ταῖς τῶν Ἀθηναίων. γενομένης δὲ [2] ναυμαχίας ἰσχυρᾶς, τὸ μὲν πρῶτον ἐπεκράτουν οἱ Κορίνθιοι· μετὰ δὲ ταῦτα τῶν Ἀθηναίων ἐπιφανέντων ἄλλαις εἴκοσι ναυσὶν, ἃς ἀπεστάλκεισαν ἐν τῇ δευτέρᾳ συμ-

1 Βοηθεῖν Reg. 1. 2 Μάχης idem.

petunt. Auditis ergo legatis, populus, in concionem advocatus, cum Corcyraeis ſocia arma coniungenda ſcivit. Nec mora, decem extemplo triremes bene inſtructas auxilio mittunt: poſt, ubi res poſtulet, plures ſe miſſuros pollicentur. Corinthii vero, ſocietatem Athenienſium non conſecuti, XC ipſi triremes complent, & LX a ſociis hinc illinc acceptis, C & L navium claſſem inſtruunt: qua praetoribus ſelectiſſimis commendata, verſus Corcyram illico contendunt, quamprimum navali pugna decernere parati. Ubi Corcyraeis nuntiatum fuit, hoſtium claſſem non procul abeſſe, cum CXX triremibus, connumeratis etiam Atticis, obviam procedunt; pugnaque non ſegniter inita, primo Corinthiorum res ſuperior fuit. Sed mox, ubi claſſis Attica XX navium, quas in ſecunda belli ſocietate miſerant, in conſpectum

μαχίᾳ, συνέβη νικῆσαι τοὺς Κερκυραίους. τῇ δ' ὑστεραίᾳ πάντων τῶν Κερκυραίων ἐπιπλευσάντων, οὐκ ἀνήχθησαν οἱ Κορίνθιοι.

Olymp. LXXXVI, 2.

λδ'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν [1] Ἀντιλοχίδου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Φάβιον καὶ [2] Ποστούμιον Αἰβούτιον Οὔλεκον. ἐπὶ δὲ τούτων, Ἀθηναίων μὲν συνηγωνισμένων τοῖς Κερκυραίοις, καὶ τῆς κατὰ τὴν ναυμαχίαν νίκης αἰτίων γενομένων, χαλεπῶς εἶχον πρὸς αὐτοὺς οἱ Κορίνθιοι, διόπερ ἀμύνεσθαι σπεύδοντες τοὺς Ἀθηναίους, ἀπέστησαν ἀπ' αὐτῶν πόλιν Ποτίδαιαν, οὖσαν ἑαυτῶν ἄποικον. ὁμοίως δὲ τούτοις καὶ Περδίκκας ὁ τῶν Μακεδόνων βασιλεὺς, ἀλλοτρίως διακείμενος πρὸς Ἀθηναίους, ἔπεισε τοὺς Χαλκιδεῖς ἀποστάντας Ἀθηναίων, τὰς μὲν ἐπὶ θαλάττῃ πόλεις ἐκλιπεῖν, εἰς μίαν δὲ [3] συνοικισθῆναι τὴν ὀνομαζομένην Ὄλυνθον. οἱ δ' Ἀθηναῖοι τὴν ἀπό-

Corinthii Potidaeam ad defectionem ab Atheniensibus movent; Perdiccas R. Maced. vero Chalcidenses.

1 Ἀντιοχίδου idem & Coislin. quod an vulgatum praestet, in dubio est.
2 Πόστουμνον Αἰκούτιον Coislin. Ἐβούτιον Clar. Vulgo Ποστούμιον.
3 Deest Reg. 1.

se dedit, victoriam Corcyraei obtinuere. Postera die, cum totam explicuissent aciem Corcyraei, Corinthii ex statione non procurrere ausi, pugnam detrectant.

XXXIV. Antilochide hinc praeside Athenis, Romani Consules fecerunt M. Fabium & Postumum Aebutium Elbam. Horum tempore Corinthii societatem Atheniensium cum Corcyraeis & victoriam, illorum subsidio partam, aegerrime ferebant: itaque in eos concitati, ut quocunque modo ultionem parerent, coloniam suam Potidaeam ad defectionem ab illis impulere. Pari modo etiam Perdiccas, rex Macedonum, Atheniensibus infensus, Chalcidensibus suasor fuit, ut, excusso Atheniensium imperio, urbes ad mare desererent, & in unam quandam Olynthum nomine commigrarent. Athenienses

στασιν τῶν Ποτιδαιατῶν ἀκούσαντες, ἐξέπεμψαν τριάκοντα ναῦς, καὶ προσέταξαν τήν τε χώραν τῶν ἀφεστηκότων λεηλατῆσαι, καὶ τὴν πόλιν πορθῆσαι. οἱ δὲ πεμφθέντες, καταπλεύσαντες εἰς τὴν Μακεδονίαν κατὰ τὰς ἐντολὰς τοῦ δήμου, συνεστήσαντο πολιορκίαν τῆς Ποτιδαίας. ἔνθα δὴ τῶν Κορινθίων βοηθησάντων τοῖς πολιορκουμένοις δισχιλίοις στρατιώταις, δισχιλίους καὶ ὁ δῆμος τῶν Ἀθηναίων ἐξέπεμψε. γενομένης δὲ μάχης περὶ τὸν ἰσθμὸν [1] τὸν πλησίον τῆς Παλληνίων, καὶ τῶν Ἀθηναίων νικησάντων, καὶ πλείους τῶν τριακοσίων ἀνελόντων, οἱ Ποτιδαιάται συνεκλείσθησαν εἰς πολιορκίαν. ἅμα δὲ τούτοις πραττομένοις, ἔκτισαν [2] οἱ Ἀθηναῖοι πόλιν ἐν τῇ Προποντίδι τὴν ὀνομαζομένην [3] Λέτανον. κατὰ δὲ τὴν Ἰταλίαν οἱ Ῥωμαῖοι πέμψαντες ἀποίκους εἰς [4] Ἄρδεα, τὴν χώραν κατεκληρούχησαν. Quo facto Potidaea obsidetur.

λε΄. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Χάρητος Ῥωμαῖοι Olymp. LXXXVI, 3.

1 Habet articulus defectus notam a Steph.
2 Exfulat *οἱ* ex Clar.
3 *Letamum* vet. interpr.
4 *Σαρδέα* Coislin. Vat. vet. interpr. *Ἀρδεάτην χώραν* Reg. 2.

igitur, cognita Potidaeatum defectione, XXX naves mittunt cum mandato, ut agros rebellium populati, urbi expugnandae sint intenti. Hi, instituto in Macedoniam cursu, prout iusserat populus, faciunt, urbemque obsidione cingunt. Ibi cum CIↃ CIↃ a Corinthiis auxilio obsessis venissent, totidem etiam Atheniensium populus suis in subsidium misit. Consertoque ad Isthmum iuxta Pallenen proelio, victoria penes Athenienses stetit, & hostium plures trecentis cecidere. Exinde arctiori Potidaeenses obsidione coarctantur. Dum haec geruntur, Athenienses in Propontide novam urbem Letanum dictam exstruunt. In Italia vero Romani, missis Ardeam novis colonis, agrum illis sorte assignant.

XXXV. Iam Archontis munus penes Charetem erat

κατέστησαν ὑπάτους Κόϊντον [1] Φούριον Φόσον καὶ Μάνιον [2] Παπίριον Κράσσον. ἐπὶ δὲ [3] τούτων κατὰ τὴν Ἰταλίαν οἱ τοὺς Θουρίους οἰκοῦντες, ἐκ πολλῶν πόλεων συνεστηκότες, ἐστασίαζον πρὸς ἀλλήλους, ποίας πόλεως ἀποίκους δεῖ καλεῖσθαι τοὺς Θουρίους, καὶ τίνα [4] κτίστην δίκαιον ὀνομάζεσθαι. οἵ τε γὰρ Ἀθηναῖοι τῆς ἀποικίας ταύτης ἠμφισβήτουν, ἀποφαινόμενοι [5] πλείστους οἰκήτορας ἐξ Ἀθηνῶν ἐληλυθέναι, [6] ἔτι δὲ κατὰ τὴν Πελοπόννησον πόλεις [7] οὐκ ὀλίγους παρεσχηκέναι παρ᾽ αὐτῶν εἰς τὴν κτίσιν τῶν Θουρίων, τὴν ἐπιγραφὴν τῆς ἀποικίας ἑαυτοῖς ἔφησαν δεῖν προσάπτεσθαι. ὁμοίως δὲ πολλῶν ἀγαθῶν ἀνδρῶν κεκοινωνηκότων τῆς ἀποικίας, καὶ πολλὰς χρείας παρεσχημένων, πολὺς ἦν ὁ λόγος, ἑκάστου τῆς τιμῆς ταύ-

Thuriorum in Italia dissidia de civitatis vel coloniae conditore.

1 Φρούριον Coisl. vet. interpr.

2 Παπίριον iidem, *Crassum* praeterea vetus interpr. Eos sequor. Vid. Sigon. in Livii IV, 12. Vulgo Παπύριον & Κράσον.

3 Τούτοις Clar. Reg. 2.

4 Κτίστιν Reg. 1.

5 Πλείους ora Steph.

6 Duo haec non sunt in Coisl.

7 Οὐκ ὀλίγους uterque Reg. Clarom. Vat. Edd. ὀλίγας.

Athenis, & Romani Q. Furium Fusum ac Manium Papirium Crassum Consules designaverant; cum in Italia Thurii incolae, ex variis hinc inde locis collecti, diffidere coeperunt, cuius potissimum urbis colonia vocitanda sit civitas Thuriorum, & quem agnoscere conditorem par sit. Nam primo Athenienses coloniam illam sibi vindicantes, plurimos Athenis habitatores illuc venisse affirmabant. Deinde Peloponnesii, quod urbes non paucos ex se ad condendam Thuriorum urbem colonos suppeditassent, conditorum titulum sibi merito adscribendum esse, contendebant. Sic cum multi praestantes viri coloniae huic se adiunxissent, multumque praeclarae ad hanc operae contulissent, magna erat disceptatio,

της σπεύδοντος [1] τυχεῖν. τέλος δὲ τῶν Θουρίων πεμψάντων εἰς Δελφοὺς τοὺς ἐπερωτήσοντας τίνα χρὴ τῆς πόλεως οἰκιστὴν ἀγορεύειν, ὁ θεὸς ἔχρησεν αὐτὸν δεῖν κτίστην νομίζεσθαι. τούτῳ τῷ τρόπῳ λυθείσης τῆς ἀμφισβητήσεως, τὸν Ἀπόλλω κτίστην τῶν Θουρίων ἀπέδειξαν, καὶ τὸ πλῆθος τῆς στάσεως ἀπολυθὲν, εἰς τὴν προϋπάρχουσαν ὁμόνοιαν [2] ἀποκατέστη. κατὰ δὲ τὴν Ἑλλάδα Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἐτελεύτησεν, ἄρξας ἔτη τεσσαρακονταδύο. τὴν δὲ ἀρχὴν διαδεξάμενος Ἄγις ἐβασίλευσεν ἔτη εἰκοσιεπτά.

Archidamus R. Laced. moritur.

λστʹ. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησιν Ἀψεύδους Ῥωμαῖοι κατέστησαν ὑπάτους Τίτον [3] Μενήνιον καὶ Πρόκλον [4] Γεγάνιον Μακερῖνον. ἐπὶ δὲ τούτων Σπάρτακος μὲν ὁ Βοσπόρου βασιλεὺς ἐτελεύτησεν, ἄρξας ἔτη [5] δεκαεπτά· διεδέξατο δὲ τὴν ἀρχὴν Σέλευκος, καὶ

Olymp. LXXXVI, 4.

Spartacus R. Bofpori moritur.

1 Τυχεῖν ora Steph. Coisl. Reg. 1. Vat. quod praeftat. Vulgo ἐπιτυχεῖν.
2 Ἀπεκατ. Co. Reg. uterque.
3 Μενίνιον Coisl. Μενοίτιον Clar. Μενοίτιον Reg. 2. Venet. *T. Verginius* vet. interpr.
4 Γεγάντιον ora Steph. Clarom. Μεγάνιον Coisl.
5 Εἴκοσι ἑπτὰ Reg. 1.

unoquoque eam fibi tribui dignitatem poftulante. Tandem vero Thuriis Delphos percontatum mittentibus, quis oraculo conditor ipfis nominetur, Deus, fe pro conditore Thuriorum habendum effe, refpondit. Ad hunc igitur modum foluto ambiguitatis nodo, conditor Thuriis Apollo declaratur, & plebs, diffidio fublato, ad priftinam concordiam revertitur. In Graecia tum Lacedaemoniorum rex Archidamus fato concedit, expletis XLII in regno annis: cui Agis fuccedens, per XXVII annos regnum adminiftravit.

XXXVI. Archon tunc erat Athenis Apfeudes, & Romae Confules T. Menenius & Proculus Geganius Macerinus; cum Spartacus, rex Bofpori, vitam reliquit, poftquam annos XVII regnaffet: quem fubfecutus in regno

Athenis Meton novam computationem astronomicam, Enneadecaëteridem dictam, divulgat.

ἐβασίλευσεν ἔτη τέσσαρα. ἐν δὲ ταῖς Ἀθήναις Μέτων ὁ Παυσανίου μὲν υἱὸς, δεδοξασμένος δὲ ἐν ἀστρολογίᾳ, ἐξέθηκε τὴν ὀνομαζομένην ἐννεακαιδεκαετηρίδα, τὴν ἀρχὴν ποιησάμενος ἀπὸ μηνὸς ἐν Ἀθήναις Σκιροφοριῶνος τρισκαιδεκάτης. ἐν δὲ τοῖς εἰρημένοις ἔτεσι τὰ ἄστρα τὴν ἀποκατάστασιν ποιεῖται, καθάπερ ἐνιαυτοῦ τινος μεγάλου τὸν ἀνακυκλισμὸν λαμβάνει. διὸ καί τινες αὐτὸν Μέτωνος ἐνιαυτὸν ὀνομάζουσι. δοκεῖ δὲ ὁ ἀνὴρ οὗτος ἐν τῇ προῤῥήσει καὶ προγραφῇ ταύτῃ θαυμαστῶς ἐπιτετευχέναι. τὰ γὰρ ἄστρα τήν τε κίνησιν καὶ [1] τὰς ἐπισημασίας ποιεῖται συμφώνως τῇ γραφῇ. [2] διὸ μέχρι τῶν καθ' ἡμᾶς χρόνων [3] οἱ πλεῖστοι τῶν Ἑλλήνων χρώμενοι τῇ ἐννεακαιδεκαετηρίδι, οὐ διαψεύδονται τῆς ἀληθείας. κατὰ δὲ τὴν Ἰταλίαν Ταραντῖνοι τοὺς τὴν Σίριν καλουμένην οἰκοῦντας μετοικίσαντες ἐκ τῆς πατρίδος, καὶ ἰδίους προσθέντες οἰ-

Heraclea in Italia conditur.

1 Τὴν ἐπισημασίαν marg. Steph. Clar. & Reg. 2.

2 Διότι Clar.

3 Non est in Coisl.

Seleucus, IV tantum annos illud tenuit. Athenis vero Meton, Pausaniae filius, scientia astrologica clarus, Enneadecaëteridem quam vocant, id est, novemdecennalis circuli tabulam, promulgavit, a decimo tertio Scirophorionis Attici mensis die exorsus. Tot enim annis in eundem statum astra revertuntur, & magni quasi anni circumvolutionem absolvunt. Idcirco a quibusdam Metonis annus hic nuncupatur. Vir iste praedictione hac & descriptione mirifice veritatem assecutus videtur. Astra enim motum & significationes, descriptioni huic congruentes, efficiunt. Ideo Graecorum plerique Enneadecaëteridos rationem amplexi, ad haec usque tempora a veritate non aberrant. Porro in Italia Tarentini Siris oppidi incolas alio migrare cogunt, & colonia suorum

κήτορας, ἔκτισαν πόλιν τὴν [1] λεγομένην Ἡράκλειαν.

λζ΄. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Πυθοδώρου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Τίτον [2] Κοίντιον καὶ [3] Νίττον Μενήνιον. Ἠλεῖοι δ᾽ ἤγαγον Ὀλυμπιάδα ἑβδόμην πρὸς ταῖς ὀγδοήκοντα, καθ᾽ ἣν ἐνίκα στάδιον Σώφρων Ἀμπρακιώτης. [4] ἐπὶ δὲ τούτων ἐν τῇ Ῥώμῃ Σπόριος Μάνιος ἐπιθέμενος τυραννίδι ἀνῃρέθη. Ἀθηναῖοι δὲ περὶ Ποτίδαιαν νενικηκότες [5] περιφανεῖ μάχῃ, Καλλίου τοῦ στρατηγοῦ πεσόντος ἐν τῇ παρατάξει, στρατηγὸν ἕτερον ἐξέπεμψαν Φορμίωνα. οὗτος δὲ παραλαβὼν τὸ στρατόπεδον, καὶ προσκαθήμενος τῇ πόλει τῶν Ποτιδαιατῶν, συνεχεῖς προσβολὰς ἐποιεῖτο. ἀμυνομένων δὲ τῶν ἔνδον εὐρώστως, ἐγένετο πολυχρόνιος πολιορκία. Θουκυδίδης δὲ ὁ Ἀθηναῖος τὴν ἱστορίαν

Olymp. LXXXVII, 1.

Atheniensium in proelio apud Potidaeam nobilissima victoria.

Ab hac Thucydides

1 Ὀνομαζομένην in ora Steph. Coislin. Vat. Reg. 1. Alterutrum glossa est.

2 Κοινίτιον Clar.

3 *Titus Memmius* vet. interpr. Tum Μενίνιον Coislin. Μενοίτιον Clar. Reg. 2.

4 Ἐπὶ δὲ τούτων κατὰ τὴν Ῥώμην Reg. 1.

5 Ἐπιφανεῖ Steph. margo, Vat. Reg. 1. προφανῶς Coisl. Ego a vulgato non discedo.

illuc deducta, urbem, cui nunc Heracleae nomen est, condunt.

XXXVII. Cum Athenis Archon Pythodorus, Romae autem T. Quintius & T. (Agrippa) Menenius Consules reipublicae praeessent, Eleis Olympias octogesima septima celebrata fuit, qua stadii victor exstitit Sophron Ambraciotes. Tum Romae Spurius Maelius, regnum affectans, necatur. Athenienses inter haec illustri apud Potidaeam proelio victores, Calliam ducem inter dimicandum amiserant. In cuius locum Phormio suffectus, quamprimum ad exercitum venit, redintegrata urbis obsidione, perpetua illam oppugnatione urget. Sed cum obsessi fortiter vim intentatam propulsarent, in longius obsidio tempus extracta est. Hinc Thucydides Atheniensis

historiam exorsus belli Peloponnesiaci per XXVII annos gesti, cuius ipse non nisi XXII annos descripsit.

ἐντεῦθεν ἀρξάμενος, ἔγραψε τὸν γενόμενον πόλεμον Ἀθηναίοις πρὸς Λακεδαιμονίους, τὸν ὀνομασθέντα Πελοποννησιακόν. οὗτος μὲν οὖν ὁ πόλεμος διέμεινεν ἐπὶ ἔτη εἰκοσιεπτά. ὁ δὲ Θουκυδίδης ἔτη δύο πρὸς τοῖς εἴκοσι γέγραφεν, ἐν βίβλοις ὀκτώ, ὡς δέ τινες διαιροῦσιν, ἐννέα.

Olymp. LXXXVII, 2.

Belli Peloponnesiaci causae exponuntur:

remotior erat pecunia publica,

λη΄. Ἐπ' ἄρχοντος δὲ Ἀθήνησιν Εὐθυδήμου Ῥωμαῖοι μὲν ἀντὶ τῶν ὑπάτων τρεῖς χιλιάρχους κατέστησαν, Μάνιον Αἰμιλιανὸν, καὶ Μάμερκον Γάϊον, καὶ Ἰούλιον Λεύκιον Κοΐντιον. ἐπὶ δὲ τούτων Ἀθηναίοις καὶ Λακεδαιμονίοις ἐνέστη πόλεμος ὁ κληθεὶς Πελοποννησιακὸς, μακρότατος τῶν ἱστορημένων, [1] ὧν ἴσμεν. ἀναγκαῖον δ' ἐστὶ καὶ τῆς ὑποκειμένης ἱστορίας οἰκεῖον, τὸ προεκθέσθαι τὰς αἰτίας αὐτοῦ. Ἀθηναῖοι τῆς κατὰ θάλατταν ἡγεμονίας ἀντεχόμενοι, τὰ ἐν Δήλῳ κοινῇ συνηγμένα χρήματα, τάλαντα σχεδὸν

1 Νόμων ὧν ἴσμεν Coisl. Idem in Reg. 1. sed sine duobus ultimis.

ducto historiae suae exordio, bellum deinceps Atheniensium cum Lacedaemoniis, quod Peloponnesiaci nomine celebratur, descripsit. Duravit hoc ad XXVII annos. At Thucydides XX tantum duos libris VIII, vel, ut alii numerant, IX, complexus est.

XXXVIII. Cum Athenis deinde munere Archontis fungeretur Euthydemus, Romani Tribunos militum consulari potestate tres crearunt, Manium Aemilium Mamercum, C. Iulium & L. Quinctium. Tum inter Athenienses & Lacedaemonios coortum est bellum, quod Peloponnesiacum vocatur, omnium, quae historiis celebrata novimus, diuturnissimum. Historiae autem nostrae instituto conveniens est, initio causas illius exponere. Athenienses, iam maris imperium sibi vindicantes, coactas ex communi Graecorum contributione pecunias in

ὀκτακισχίλια, μετήνεγκαν εἰς τὰς Ἀθήνας, καὶ παρέδωκαν φυλάττειν Περικλεῖ. οὗτος δ' ἦν εὐγενείᾳ καὶ δόξῃ καὶ λόγου δεινότητι πολὺ προέχων τῶν πολιτῶν. μετὰ δέ τινα χρόνον ἀνηλωκὼς ἀπ' αὐτῶν ἰδίᾳ πλῆθος ἱκανὸν χρημάτων, καὶ λόγον ἀπαιτούμενος, εἰς ἀῤῥωστίαν ἐνέπεσεν, οὐ δυνάμενος τῶν πεπιστευμένων ἀποδοῦναι τὸν ἀπολογισμόν. ἀδημονοῦντος δ' αὐτοῦ περὶ τούτων, Ἀλκιβιάδης ὁ ἀδελφιδοῦς ὀρφανὸς ὤν, τρεφόμενος παρ' αὐτῷ, παῖς ὢν [1] τὴν ἡλικίαν, ἀφορμὴν αὐτῷ παρέσχετο τῆς περὶ τῶν χρημάτων ἀπολογίας. θεωρῶν γὰρ τὸν θεῖον λυπούμενον, ἐπηρώτησε τὴν αἰτίαν τῆς λύπης. τοῦ δὲ Περικλέους εἰπόντος, ὅτι τὴν περὶ τῶν χρημάτων ἀπολογίαν αἰτούμενος, [2] ζητῶ πῶς ἂν δυναίμην ἀποδοῦναι τὸν περὶ τούτων λόγον τοῖς πολίταις· ὁ Ἀλκιβιάδης ἔφησε, δεῖν αὐτὸν μὴ πῶς ἀποδῷ τὸν λόγον, ἀλλὰ πῶς [3] σκοπεῖν μὴ ἀποδῷ.

a Pericle in sua commoda expensa, ob quam perturbandae reipubl. consilia iniit.

1 Τῇ ἡλικίᾳ Reg. 1.
2 Ζητῶν Coisl.
3 Deest hoc verbum Co. & Reg. 1. Modo ὁ δ' Ἀλκιβιάδ. praestaret.

Delo ad ↀↀↀↀ talentûm Athenas transtulerunt, easque Periclis fidei custodiendas tradidere. Vir ille generis nobilitate, gloria, & differendi facultate, cives alios longe anteibat. Sed aliquanto post magna eius parte in privatos usus expensa, cum, rationem populo reddere iussus, satisfacere non posset, in aegritudinem incidit. Animique dubium & moerore conturbatum, quod solvendo non esset, Alcibiades, avunculi Periclis nepos, qui orphanus tunc apud illum puerilis adhuc aetatis educabatur, rationem, qua peculatus crimen dilueret, suggessit. Nam avunculum moerore affectum cernens, caussam tristitiae quaerebat. Respondet ille: Rationem pecuniarum expedire iussus, quanam via illam reddere possim, mecum disquiro. Ad quod ille, potius quomodo non reddat, consilium ineundum esse subiecit. Pericles

διόπερ Περικλῆς ἀποδεξάμενος τὴν τοῦ παιδὸς ἀπόφασιν, ἐζήτει δι' οὗ τρόπου τοὺς Ἀθηναίους δύναιτ' ἂν ἐμβαλεῖν εἰς μέγαν πόλεμον. [1] οὕτω γὰρ μάλιστα ὑπελάμβανε, διὰ τὴν ταραχὴν καὶ τοὺς τῆς πόλεως [2] περισπασμοὺς καὶ φόβους, ἐκφεύξεσθαι τὸν ἀκριβῆ λόγον τῶν χρημάτων. πρὸς δὲ ταύτην τὴν ἀφορμὴν συνέβαινεν αὐτῷ καὶ [3] ταὐτόματον, διὰ τοιαύτας αἰτίας.

Phidias simulque Pericles furti accusantur.

λθ'. Τὸ τῆς Ἀθηνᾶς ἄγαλμα Φειδίας μὲν κατεσκεύαζε, Περικλῆς δὲ ὁ Ξανθίππου καθεσταμένος ἦν ἐπιμελητής. τῶν δὲ συνεργασαμένων τῷ Φειδίᾳ τινὲς διενεχθέντες ὑπὸ τῶν ἐχθρῶν τοῦ Περικλέους, ἐκάθισαν ἐπὶ τὸν τῶν θεῶν βωμόν. διὰ τὸ παράδοξον [4] δὲ προσκαλούμενοι, ἔφασαν [5] ὅτι πολλὰ τῶν ἱερῶν χρημάτων ἔχοντα Φειδίαν δείξειν, ἐπισταμένου καὶ συνεργοῦντος τοῦ ἐπιμελητοῦ Περικλέους. διόπερ ἐκκλησίας

1 Οὕτως iidem.
2 Περισμοὺς Clar. ex scribendi compendio.
3 Ταὐτόματον Coisl. & Reg. 1. id probo. Τὸ αὐτόματον editi vulgo, etsi non male.
4 Deest in Coisl. & Reg. 1.
5 Δὲ πολλὰ Reg. 1.

igitur, sententiam pueri amplexus, quo pacto Athenienses gravi alicui bello implicaret, meditari coepit. Sic enim futurum prospiciebat, ut perturbata, variisque negotiis distracta, metu etiam perculsa civitate, exactum ipse calculum subterfugeret. His consiliorum initiis casus quidam fortuitus se accommodavit, hoc equidem modo & his de caussis.

XXXIX. Phidias statuam Minervae elaboraverat, Pericle, Xanthippi filio, operis curatore. Nonnulli vero ex operariis & administris Phidiae, dissidio quodam orto, ab inimicis Periclis instigati, ad aras Deûm confugiunt. Qui cum propter rei novitatem incepti sui caussam exponere iuberentur, magnam pecuniae vim a Phidia surreptam, sciente & adiuvante Pericle operis locatore, se

συνελθούσης περὶ τούτων, οἱ μὲν ἐχθροὶ τοῦ Περικλέους ἔπεισαν τὸν δῆμον συλλαβεῖν τὸν Φειδίαν, καὶ [1] αὐτοῦ τοῦ Περικλέους κατηγόρουν ἱεροσυλίαν. πρὸς δὲ τούτοις Ἀναξαγόραν τὸν σοφιστὴν, διδάσκαλον ὄντα Περικλέους, ὡς ἀσεβοῦντα εἰς τοὺς θεοὺς ἐσυκοφάντουν. συνέπλεκον δ' ἐν ταῖς κατηγορίαις καὶ διαβολαῖς τὸν Περικλέα, διὰ τὸν φθόνον, σπεύδοντες διαβαλεῖν τὴν τἀνδρὸς ὑπεροχήν τε καὶ δόξαν. ὁ δὲ Περικλῆς, εἰδὼς τὸν δῆμον ἐν μὲν τοῖς πολεμικοῖς ἔργοις θαυμάζοντα τοὺς ἀγαθοὺς ἄνδρας διὰ τὰς κατεπειγούσας χρείας, κατὰ δὲ τὴν εἰρήνην τοὺς αὐτοὺς συκοφαντοῦντα διὰ τὴν σχολὴν καὶ φθόνον, ἔκρινε συμφέρειν [2] αὐτῷ τὴν πόλιν ἐμβαλεῖν εἰς μέγαν πόλεμον, ὅπως χρείαν ἔχουσα τῆς Περικλέους ἀρετῆς καὶ [3] στρατηγίας, μὴ προσδέχηται τὰς κατ' αὐτοῦ διαβολὰς,

1 Αὐτοὶ Vat. Coisl.
2 Αὐτῷ Reg. 2.
3 Ἀνδρίας Reg. 1.

demonftraturos aiunt. Advocata igitur ob hoc concione, malevoli Periclis fuafores populo exfiftunt, ut Phidiam comprehendant, ipfumque Periclem facrilegii requirant. Anaxagoram praeterea fophiftam, qui praeceptor Periclis erat, quod impie de Diis fentiat, criminantur. Eifdem interim criminibus & calumniis etiam Periclem involvunt, hoc unice agentes, ut excellentem viri auctoritatem & gloriam calumniis fuis convellerent ac labefactarent. At Pericles, cui probe cognita erat vulgi natura, quod urgentibus belli negotiis viros praeftantes in pretio habeat, cum praefens neceffitas id omnino exigat; in pace contra otio diffluens, & invidiae frena laxans, eofdem criminibus obnoxios reddat: confultiffimum id fore rebus fuis ratus eft, fi civitatem in bellum aliquod ingens coniiceret, ut opera Periclis indigens calumnias ipfi intentatas non admitteret, neque

Proxima belli cauſa erat Athenienſium in Megarenſes decretum, e voluntate Lacedaemoniorum abrogandum.

[1] μηδὲ ἔχῃ σχολὴν καὶ χρόνον ἐξετάζειν ἀκριβῶς τὸν περὶ τῶν χρημάτων λόγον. ὄντος δὲ ψηφίσματος παρὰ τοῖς Ἀθηναίοις Μεγαρέας εἴργεσθαι τῆς τε ἀγορᾶς καὶ τῶν λιμένων, οἱ Μεγαρεῖς κατέφυγον ἐπὶ τοὺς Σπαρτιάτας. οἱ δὲ Λακεδαιμόνιοι πεισθέντες τοῖς Μεγαρεῦσιν, ἀπέστειλαν πρέσβεις ἐκ τοῦ προφανεστάτου ἀπὸ τῆς τοῦ κοινοῦ συνεδρίου γνώμης, προστάττοντες τοῖς Ἀθηναίοις ἀνελεῖν τὸ κατὰ τῶν Μεγαρέων ψήφισμα· μὴ πειθομένων δὲ αὐτῶν, ἀπειλοῦντες πολεμήσειν αὐτοῖς μετὰ τῶν συμμάχων. συναχθείσης οὖν [2] περὶ τούτων ἐκκλησίας, ὁ Περικλῆς, δεινότητι λόγου πολὺ διαφέρων ἁπάντων τῶν πολιτῶν, ἔπεισε τοὺς Ἀθηναίους μὴ ἀναιρεῖν τὸ ψήφισμα, λέγων ἀρχὴν δουλείας εἶναι τὸ πείθεσθαι παρὰ τὸ συμφέρον τοῖς Λακεδαιμονίων προστάγμασι. συνεβούλευεν οὖν τὰ ἀπὸ τῆς χώρας κατακομίζειν εἰς τὴν πό-

1 Μηδ' ἔχε Clarom. Paullo ante κατ' αὐτὸν Reg. 1.

2 Ἐπὶ Coislin.

otium aut tempus haberet accuratam pecuniarum rationem exquirendi. Decretum iam pridem Athenienſium erat, Megarenſes foro ac portubus arcendos eſſe. Quamobrem iſti ad Lacedaemoniorum interceſſionem confugerant. Hi, poſtulatis Megarenſium aſſenſi, palam de communi totius conventus ſententia legatos Athenas expediunt cum mandato, ut decretum contra Megarenſes reſcindant. Quod ſi dicto audientes non ſint, bellum cum ſuo, tum ſociorum nomine, illis indicant. Convocato igitur ad harum deliberationem rerum populo, Pericles, qui orationis vi & acrimonia ceteris omnibus praecellebat, decreti non abrogandi ſuaſionem proponit; initium ſervitutis fore confirmans, ſi, contra utilitatem reipublicae, Lacedaemoniorum poſtulatis cederent. Addit praeterea conſilium, ut res ex agris hinc inde in urbem

λιν, καὶ θαλαττοκρατοῦντας διαπολεμεῖν τοῖς Σπαρτιάταις.

μ'. Περὶ δὲ τοῦ πολέμου [1] πεφροντισμένως ἀπολογησάμενος, ἐξηριθμήσατο μὲν τὸ πλῆθος τῶν συμμάχων τῇ πόλει, καὶ τὴν ὑπεροχὴν τῆς ναυτικῆς δυνάμεως, πρὸς δὲ τούτοις τὸ πλῆθος τῶν μετακεκομισμένων ἐκ Δήλου χρημάτων εἰς τὰς Ἀθήνας, ἃ συνέβαινεν ἐκ τῶν φόρων ταῖς πόλεσι κοινῇ συνηθροῖσθαι, κοινῶν δ' ὄντων τῶν μυρίων ταλάντων, ἀπανήλωτο πρὸς τὴν κατασκευὴν τῶν προπυλαίων καὶ τὴν Ποτιδαίας πολιορκίαν τετρακισχίλια τάλαντα· καὶ καθ' ἕκαστον ἐνιαυτὸν ἐκ τοῦ φόρου τῶν συμμάχων ἀνεφέρετο τάλαντα τετρακόσια ἑξήκοντα. χωρὶς δὲ τούτων ἥ τε πομπία σκευὴ, καὶ τὰ Μηδικὰ σκῦλα πεντακοσίων ἄξια ταλάντων ἀπεφήνατο· ἔν τε τοῖς [2] ἔργοις ἀπεδείκνυεν, ἀναθημάτων τε πλῆθος, καὶ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα ἔχειν χρυσίου πεντήκοντα τάλαντα, ὡς

Pericles gravissima oratione bellum in Laced. suadet, & de parato pecuniarum copiarumque apparatu magnifice differit.

1 Πεφρονημένως Reg. 1. 2 Ἔργος Steph. edit. operarum peccato.

convehant, & confirmato maris imperio cum Lacedaemoniis strenue belligerentur.

XL. De bello etiam accurate ac prudenter differens, quanta urbi sit sociorum multitudo, quam eximius nauticarum copiarum apparatus, exponit: ad haec quanta vis opum ex Delo Athenas transvectarum, quas ex communi urbium pensione collegissent: summam harum esse ad CCIↃↃ talentûm. Unde licet in Propylaeorum nuper exstructionem & ad Potidaeae obsidionem quatuor millia sint expensa, singulis tamen annis ex confoederatorum stipendiis CCCCLX referri talenta. Et praeter haec omnia pomparum ornatum & spolia Medica IↃ talentis aestimari. In templis quoque aliisque civitatis operibus magnam donariorum copiam haberi, adeoque unicum Minervae simulacrum L auri talenta pendere: cuius or-

περιαιρετῆς οὔσης τῆς περὶ τὸν κόσμον κατασκευῆς· καὶ ταῦτα, ἀναγκαία εἰ καταλάβοι χρεία, χρησαμένους [1] παρὰ τὴν Θεὸν πάλιν ἀποκαταστήσειν ἐν εἰρήνῃ. τούς τε τῶν πολιτῶν βίους, διὰ τὴν πολυχρόνιον εἰρήνην, πολλὴν ἐπίδοσιν εἰληφέναι πρὸς εὐδαιμονίαν. χωρὶς δὲ τῶν χρημάτων τούτων στρατιώτας ὑπεδείκνυεν ὑπάρχειν τῇ πόλει, χωρὶς συμμάχων, καὶ τῶν ἐν τοῖς φρουρίοις ὄντων, ὁπλίτας μὲν μυρίους καὶ δισχιλίους, τοὺς δ᾽ ἐν τοῖς φρουρίοις ὄντας καὶ τοὺς μετοίκους ὑπάρχειν πλείους τῶν μυρίων ἑπτακισχιλίων· τριήρεις τε τὰς παρούσας τριακοσίας. τοὺς δὲ Λακεδαιμονίους χρημάτων τε σπανίζειν ἀπεδείκνυε, καὶ ταῖς ναυτικαῖς δυνάμεσι πολὺ λείπεσθαι τῶν Ἀθηναίων. ταῦτα διελθὼν, καὶ παρορμήσας τοὺς πολίτας εἰς τὸν πόλεμον, ἔπεισε τὸν δῆμον μὴ προσέχειν τοῖς Λακεδαιμονίοις. ταῦτα δὲ ῥαδίως συνετέλεσε διὰ τὴν δει-

1 Παρὰ τῶν Θεῶν Reg. 1.

natus ita ſit circumiectus, ut detrahi aliquando poſſit. Haec omnia, ſi aliqua neceſſitas ingruerit, commodato a Dea ſumi, dum recuperata pace commode reſtituantur, poſſe. Quod ad facultates praeterea civium attinet, per diuturnae pacis tempora civitatem ad magna felicitatis incrementa provectam eſſe. His praeterea adiecit, quantae militum copiae urbi ſuppeterent, quod praeter ſocios & praeſidia caſtellorum CCIↃↃ CIↃ CIↃ bene armatorum eſſent; praeſidiarii vero & inquilini ultra CCIↃↃ IↃↃ CIↃ CIↃ cenſerentur. Triremes praeterea in promtu haberi trecentas. Sed e contrario Spartanos pecuniae inopia laborare, & nauticis copiis longe poſt Athenienſes relinqui, oſtendebat. Harum commemoratione rerum cum ad bellum civium animos accendiſſet, populo hortator eſt, ne imperioſis Lacedaemoniorum poſtulatis ſeſe attemperent. Haec orationis ve-

νότητα τοῦ λόγου, δι' ἣν αἰτίαν ὠνομάσθη Ὀλύμπιος· μέμνηται [1] δὲ τούτων καὶ Ἀριστοφάνης ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητὴς, γεγονὼς κατὰ τὴν [2] τοῦ Περικλέους ἡλικίαν, [3] ἐν τοῖσδε τοῖς γεγραμμένοις·

Ὦ [4] λιπερνῆτες γεωργοὶ τἀμὰ δὴ ξυνίετε
Ῥήματ'· εἰ βούλεσθ' ἀκοῦσαι τὴν δ' ὅπως ἀπώλετο.
Πρῶτα μὲν γὰρ αὐτῆς ἦρξε Φειδίας πράξας κακῶς.
Εἶτα [5] Περικλέης φοβηθεὶς μὴ μετασχῇ τῆς τύχης,
Ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος,
Ἐξεφύσησεν τοσοῦτον πόλεμον, ὥστε τῷ καπνῷ
Πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐκεῖ, τούς τ' ἐνθάδε.

καὶ πάλιν ἐν ἄλλοις Εὔπολις ὁ ποιητὴς,

—— Περικλέης [6] οὑλύμπιος

1 Deſit Clarom.
2 Non eſt in Reg. 2.
3 Ἐν τοῖσδε ſolus Coislin. Edd. ἐν δὲ τοῖς.
4 Λιπερνῆτες καὶ Coisl. & Reg. 1. qui pro καὶ habet ἤ. Vulgo πένητες καὶ, & mox τὶς ξυνιέτω ῥήματα & βούλεσθε omnes, non ſine tetrametri pernicie.
5 Περικλέης Co. Cett. Περικλῆς.
6 Οὐλύμπιος ἔστραψεν Reg. 2. ἔστρεψον Clar. ἤστραπτεν Coislin. ἔστραψεν, ἐμβρόντα Vatic. Edd. ἤστραπτ'.

hementia facile perfecta dedit. Quam ob cauſam Olympius audire meruit. Meminit horum etiam Ariſtophanes, veteris Comoediae poëta, qui Periclis aetate floruit, in his equidem verſibus tetrametris:

*Pauperes & ruſtici, perpendite haec, quae proloquor,*
*Verba, ſi velitis haec cognoſcere uti ſit perdita.*
*Phidias princeps erat, cui caderet res haud optime:*
*Mox Pericles, dum timet, ne ſortis huic ſit particeps,*
*Parvulam ſcintillulam ſciti Megarici proferens*
*Sufflat, & tanti ciet fumum duelli, ut omnibus*
*Hic & illic lacrimas Graecis perennes moverit.*

Itemque in aliis Eupolis, poëta Comicus:

*Pericles, quem Olympium vocant,*

Ἤστραπτεν, ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα.
Πειθώ τις ἐπεκάθισεν ἐπὶ τοῖς χείλεσιν.
Οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων
Τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις.

μα΄. Αἰτίαι μὲν οὖν τοῦ Πελοποννησιακοῦ πολέμου τοιαῦταί τινες ὑπῆρξαν, ὡς Ἔφορος ἀνέγραψε. τῶν δὲ ἡγουμένων πόλεων τοῦτον τὸν τρόπον εἰς πόλεμον ἐμπεσουσῶν, Λακεδαιμόνιοι μὲν μετὰ τῶν Πελοποννησίων συνεδρεύσαντες, ἐψηφίσαντο πολεμεῖν τοῖς Ἀθηναίοις, καὶ πρὸς τὸν Περσῶν βασιλέα πρεσβεύσαντες, παρεκάλουν συμμαχεῖν αὐτοῖς, καὶ τοὺς κατὰ τὴν Σικελίαν καὶ Ἰταλίαν συμμάχους διαπρεσβευσάμενοι διακοσίαις τριήρεσιν ἔπεισαν βοηθεῖν· αὐτοὶ δὲ μετὰ τῶν Πελοποννησίων τὰς πεζικὰς δυνάμεις διατάξαντες, καὶ τἄλλα τὰ πρὸς τὸν πόλεμον [1] ἡτοιμασμένοι, πρῶτοι τοῦ πολέμου κατήρξαντο. κατὰ γὰρ τὴν Βοιωτίαν ἡ τῶν Πλαταιέων πόλις αὐτόνομος ἦν,

Lacedaemonii, comparato a ſociis auxilio, primi inferunt bellum,

occupata Plataea,

1 Ἡτοιμάμενοι Coisl.

*Fulgur ciens tonitruque, miſcet Graeciam.*
*Nam ſuada labris inſidens cor omnibus*
*Mulcebat: unus inter ergo Rhetores*
*Infixa liquit ſpicula auditoribus.*

XLI. Cauſae igitur belli Peloponneſiaci, ut ab Ephoro refertur, hae fuerunt. Cumque principes Graeciae urbes ad hunc modum bello civili ardere coepiſſent, Lacedaemonii, cum Peloponneſiis conventu habito, bellum Athenienſibus inferendum decernunt, & confeſtim regem Perſarum de armorum ſocietate per legatos ſollicitant, a confoederatis etiam Siciliae & Italiae urbibus CC triremes, miſſis eo legatis, impetrant. Tum ipſi cum Peloponneſiis coniuncti, terreſtribus undique copiis contractis, ceteriſque ad bellum neceſſariis apparatis, primi bellum inceptant. In Boeotia [tunc Plataeenſium urbs ſui

καὶ συμμαχίαν εἶχε πρὸς Ἀθηναίους. ἐν ταύτῃ τῶν πολιτῶν τινες καταλῦσαι τὴν αὐτονομίαν βουλόμενοι, διελέχθησαν τοῖς Βοιωτοῖς, [1] ἐπαγγελλόμενοι τὴν πόλιν ὑπὸ τὴν τῶν Θηβαίων τάξειν συντέλειαν, καὶ παραδώσειν αὐτοῖς τὰς Πλαταιὰς, ἐὰν αὐτοὶ στρατιώτας πέμψωσι τοὺς βοηθοῦντας. διὸ καὶ τῶν Βοιωτῶν ἀποστειλάντων στρατιώτας ἐπιλέκτους τριακοσίους νυκτὸς, οἱ προδόται τούτους [2] παρεισαγαγόντες ἐντὸς τῶν τειχῶν, κυρίους τῆς πόλεως ἐποίησαν. οἱ δὲ Πλαταιεῖς βουλόμενοι τὴν πρὸς Ἀθηναίους συμμαχίαν διαφυλάττειν, τὸ μὲν πρῶτον ὑπολαβόντες πανδημεὶ τοὺς Θηβαίους παρεῖναι, διεπρεσβεύσαντο πρὸς τοὺς κατειληφότας τὴν πόλιν, καὶ παρεκάλουν συνθέσθαι σπονδάς· ὡς δ' ἡ νὺξ παρῆλθε, κατανοήσαντες ὀλίγους ὄντας, συνεστράφησαν, καὶ περὶ τῆς ἐλευθερίας ἐκθύμως ἠγωνίζοντο. [3] γενομένης δὲ τῆς μάχης ἐν ταῖς

urbe Athenienfibus foedere iuncta.

1 Ἐπαγγελόμενοι Reg. 2. Mox τῶν deſit Clar.

2 Παρεισαγαγόντες idem, Coisl. Clar. bene. Vulgo παρεισάγοντες.

3 Septem, quae ſuccedunt, vocabula omittit Reg. 1.

iuris erat, & amicitiae foedus cum Athenienſibus colebat. Sed nonnulli in ea cives, abrogandae libertatis cupidi, re cum Boeotiis communicata, urbem illorum iuriſdictioni ſubiecturos ſe pollicentur, ſi militum eo praeſidium miſerint. Delectos igitur milites Boeoti numero CCC noctu illuc expediunt, quibus intra moenia receptis proditores urbem in poteſtatem tradunt. At Plataeenſes, ſocietatem Athenienſibus ſartam tectamque eſſe volentes, cum initio omnes Thebanorum copias adeſſe putarent, legatos de induciis ſecum faciendis ad eos, qui urbem occuparant, mittunt. Sed ubi nocte interim elapſa hoſtium paucitatem cognoſcunt, mox uno agmine in illos converſi, pro libertate animoſe propugnant. Sed quia

ὁδοῖς, τὸ μὲν πρῶτον οἱ Θηβαῖοι διὰ τὰς ἀρετὰς προεῖχον, καὶ πολλοὺς τῶν ἀνθισταμένων ἀνῄρουν· τῶν δ' οἰκετῶν καὶ τῶν παίδων ἀπὸ τῶν οἰκιῶν βαλλόντων τὰς κεραμίδας, καὶ κατατιτρωσκόντων τοὺς Θηβαίους, ἐτράπησαν. καί τινες μὲν αὐτῶν ἐκπεσόντες ἐκ τῆς πόλεως διεσώθησαν, τινὲς δὲ εἰς οἰκίαν τινὰ καταφυγόντες ἠναγκάσθησαν παραδοῦναι σφᾶς αὐτούς. οἱ δὲ Θηβαῖοι παρὰ τῶν ἐκ τῆς μάχης διασωθέντων πυθόμενοι τὰ συμβεβηκότα, παραχρῆμα [1] πανδημεὶ κατὰ σπουδὴν ὥρμησαν. διὰ δὲ τὸ [2] παράδοξον ἀνετοίμων ὄντων τῶν κατὰ τὴν χώραν, πολλοὶ μὲν ἀνῃρέθησαν, οὐκ ὀλίγοι δὲ ζῶντες συνελήφθησαν. ἅπασα δ' ἡ χώρα ταραχῆς καὶ διαρπαγῆς ἔγεμεν.

μβ'. Οἱ δὲ Πλαταιεῖς διαπρεσβευσάμενοι πρὸς τοὺς Θηβαίους, ἠξίουν ἀπελθεῖν ἐκ τῆς χώρας αὐτῶν,

1 Deſit πανδημεὶ ante κατὰ Clar. Reg. 2. quare aſteriſcum Steph. illi appoſuit.

2 Παράδοξον Vat. Coisl. Clar. Vulgo παράξον ex ſcribendi compendio aut operarum peccato.

pugna intra vicos committebatur, initio Thebani virtute ſuperiores, adverſariorum non paucos interemerunt. Poſtquam autem domeſtici, adeoque pueri ipſi, tegulas de faſtigiis domorum in capita hoſtium devolventes, Thebanos graviter ſauciarunt, in fugam ſe dare compelluntur: quorum pars ex urbe elapſa hoſtiles manus evadit, pars in domicilium quoddam cum ſe recepiſſet, tandem ſe hoſtis arbitrio permittere cogitur. De hoc igitur caſu Thebani ab his, qui ex conflictu illo effugerant, edocti, mox omni civium robore accelerant. Cumque propter repentinam hanc incurſionem, qui in agris verſabantur, imparati eſſent, multi horum caeſi, nec pauci vivi in hoſtium manus pervenerunt. Tota denique regio trepidationis & direptionis plena erat.

XLII. Plataeenſes interim legatis ad Thebanos miſſis, uti finibus ſuis excedant, petunt & contendunt, ſeque

καὶ ἀπολαβεῖν τοὺς αἰχμαλώτους. διὸ καὶ τῆς συνθέσεως ταύτης γεγενημένης, οἱ μὲν Θηβαῖοι τοὺς αἰχμαλώτους ἀπολαβόντες, καὶ τὴν λείαν ἀποδόντες, εἰς τὰς Θήβας ἀπηλλάγησαν· οἱ δὲ Πλαταιεῖς πρὸς μὲν Ἀθηναίους ἔπεμψαν πρέσβεις περὶ βοηθείας, αὐτοὶ δὲ τὰ πλεῖστα ἐκόμισαν εἰς τὴν πόλιν. οἱ δὲ Ἀθηναῖοι πυθόμενοι τὰ περὶ τὰς Πλαταιὰς, παραχρῆμα ἐξέπεμψαν τοὺς ἱκανοὺς στρατιώτας. οὗτοι δὲ κατὰ σπουδὴν παραγενόμενοι, καὶ μὴ φθάσαντες τοὺς Θηβαίους, τὰ λοιπὰ τῶν ἀπὸ τῆς χώρας κατεκόμισαν εἰς τὴν πόλιν, καὶ τέκνα, καὶ γυναῖκας, καὶ [1] τὸν ὄχλον συναθροίσαντες, ἐξαπέστειλαν εἰς τὰς Ἀθήνας. οἱ δὲ Λακεδαιμόνιοι, κρίναντες καταλελύσθαι τὰς σπονδὰς ὑπὸ τῶν Ἀθηναίων, δύναμιν ἀξιόλογον ἤθροισαν ἔκ τε τῆς Λακεδαίμονος, [2] καὶ παρὰ τῶν ἄλλων Πελοποννησίων. συνεμάχουν δὲ τότε Λακεδαιμονίοις Πελοποννή-

Urbi auxilio veniunt Athenienses.

Utriusque partis socii recensentur.

1 Τὸν ὄχλον ἀθροίσαντες Reg. 2. Coislin.

2 Καὶ παρὰ Coisl. Reg. 1. praepositio edd. deerat.

captivos illis reddituros pollicentur. His igitur pactis re composita, Thebani receptis captivis, & restituta Plataeensibus praeda, Thebas revertuntur. Miserant quidem iam pridem Athenas de suppetiis ferendis legatos Plataeenses, & pleraque rure in urbem congesserant: Athenienses etiam, audita Plataeensium vexatione, extemplo non mediocrem militum vim illuc expediverant; sed hi, quamvis citato itinere profecti, cum Thebanos non praevertissent, quidquid in agris reliquum erat, in oppidum comportarunt: liberos autem & feminas, reliquamque turbam imbellem, in agmen coire iussam, Athenas traduxerunt. Tum Lacedaemonii, foedus ab Atheniensibus ruptum arbitrati, ingentes undique copias, tum e Sparta, tum ex ceteris Peloponnesiis, contrahunt. Bellorum tum socii Lacedaemoniis erant Peloponnesii uni-

σιοι μὲν πάντες πλὴν Ἀργείων· οὗτοι δ' ἡσυχίαν εἶχον· τῶν δ' ἐκτὸς τῆς Πελοποννήσου Μεγαρεῖς, Ἀμβρακιῶται, Λευκάδιοι, Φωκεῖς, Βοιωτοὶ, Λοκροὶ, τῶν μὲν πρὸς Εὔβοιαν ἐστραμμένων οἱ πλείους, τῶν δ' ἄλλων Ἀμφισσεῖς. τοῖς δ' Ἀθηναίοις συνεμάχουν οἱ τὴν παράλιον τῆς Ἀσίας οἰκοῦντες, Κᾶρες, καὶ Δωριεῖς, καὶ Ἴωνες, καὶ Ἑλλησπόντιοι, καὶ νησιῶται πάντες, πλὴν τῶν ἐν [1] Μήλῳ καὶ Θήρᾳ κατοικούντων· ὁμοίως δὲ καὶ οἱ ἐπὶ Θρᾴκην, πλὴν Χαλκιδέων καὶ Ποτιδαιατῶν. πρὸς δὲ τούτοις, Μεσσήνιοι μὲν οἱ τὸν Ναύπακτον οἰκοῦντες, καὶ Κερκυραῖοι· αἱ δ' ἄλλαι πᾶσαι πεζοὺς στρατιώτας ἐξέπεμπον. σύμμαχοι μὲν οὖν ἀμφοτέροις ὑπῆρχον οἱ προειρημένοι. Λακεδαιμόνιοι δὲ δύναμιν ἀξιόλογον προχειρισάμενοι, τὴν ἡγεμονίαν ἔδωκαν Ἀρχιδάμῳ τῷ βασιλεῖ. οὗτος δὲ μετὰ τῆς δυνάμεως ἐνέβαλεν εἰς τὴν Ἀττικήν. τοῖς δὲ φρουρίοις [2] προσβολὰς ἐποιεῖτο, καὶ τῆς χώρας πολλὴν

Iam Lacedaemonii, duce Archidamo R. infestum exercitum in Atticam mittunt;

1 Κύκλῳ Coislin. 2 Προσβολὴν ora Steph.

versi, praeter Argivos. Nam hi tum ab armis quiescebant. Extra autem Peloponnesum Megarenses, Ambraciotae, Leucadii, Phocenses, Boeoti, Locrensium ad Euboeam conversorum plerique: & ex reliquis Amphissenses. Atheniensium vero partes adiutabant Asiatici maris accolae, Cares, Dorienses, Iones, Hellespontii, & omnes insulani, exceptis, qui Melum & Theram inhabitant. Accedebant huc etiam Thraces, demtis Chalcidensibus & Potidaeatis. Ad haec Messenii Naupactum incolentes, & Corcyraei. Alii vero omnes terrestres exercitus emittebant. Hi tum utrisque socii adhaerebant. Tandem Lacedaemonii, magnarum delectu copiarum acto, imperium Archidamo regi committunt. Is cum exercitu in Atticam irrumpens, castella oppugnationibus vexat, & magnam terrae partem populationibus infestat. Hac regionis suae

ἐδῄωσε. τῶν δὲ Ἀθηναίων παροξυνομένων διὰ τὴν τῆς χώρας καταδρομὴν, καὶ βουλομένων παρατάξασθαι τοῖς πολεμίοις, Περικλῆς στρατηγὸς ὢν καὶ τὴν ὅλην ἡγεμονίαν ἔχων, παρεκάλει τοὺς νέους ἡσυχίαν ἔχειν, [1] ἐπαγγελλόμενος ἄνευ κινδύνων ἐκβαλεῖν τοὺς Λακεδαιμονίους ἐκ τῆς Ἀττικῆς. πληρώσας οὖν ἑκατὸν τριήρεις, καὶ δύναμιν ἀξιόλογον εἰς τὰς ναῦς ἐνθέμενος, καὶ στρατηγὸν ἐπιστήσας Καρκῖνον καὶ ἑτέρους τινὰς, ἐξέπεμψεν εἰς τὴν Πελοπόννησον. οὗτοι δὲ πολλὴν τῆς παραθαλαττίου χώρας πορθήσαντες, καί τινα τῶν φρουρίων ἑλόντες, κατεπτήξαντο τοὺς Λακεδαιμονίους. διὸ καὶ τὴν ἐκ τῆς Ἀττικῆς δύναμιν ταχέως μεταπεμψάμενοι, πολλὴν ἀσφάλειαν τοῖς Πελοποννησίοις παρείχοντο. τούτῳ δὲ τῷ τρόπῳ τῆς Ἀττικῆς ἐλευθερωθείσης, ὁ μὲν Περικλῆς ἀποδοχῆς ἐτύγχανε παρὰ τοῖς πολίταις, ὡς δυνάμενος στρατηγεῖν, καὶ [2] τοῖς Λακεδαιμονίοις διαπολεμεῖν.

Pericles autem classe infestat Peloponnesum:

quo facto sponte abeunt Lacedaemonii.

1 Ἐπαγγειλάμενος Reg. 1. ἐπαγγελόμενος Reg. 2.

2 Τοὺς Λακεδαιμονίους καταπολεμεῖν Reg. 1.

vastatione irritatis Atheniensium animis, & ad confligendum cum hoste accensis, Pericles summus militiae praefectus & imperator iuventutem hortatur, uti paullisper quietem agant, se citra pugnae discrimen ex Attica Spartanos eiecturum pollicitus. Instructis ergo triremibus C, insignique militum numero repletis, Carcinum ducem & quosdam alios praeficit, eosque in Peloponnesum traiicere iubet. Hi, pervastato magno agrorum maritimorum tractu, & castellis quibusdam expugnatis, ingentem Lacedaemoniis pavorem incusserunt. Extemplo igitur revocato ex Attica exercitu, ad Peloponnesum tutandam omne studium convertunt. Hoc ingenio liberata ab hostili incursione Attica, Pericles magnam apud cives existimationem consecutus est, ut qui sollerter imperio fungi, & bellum cum hostibus continuare posset.

Olymp. LXXXVII, 3.

μγ΄. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησιν Ἀπολλοδώρου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον [1] Γεγάνιον καὶ Λούκιον Σέργιον. ἐπὶ δὲ τούτων ὁ τῶν Ἀθηναίων στρατηγὸς οὐ διέλιπε τὴν μὲν χώραν τῶν Πελοποννησίων λεηλατῶν καὶ καταφθείρων, τά τε φρούρια πολιορκῶν· προσγενομένων δὲ αὐτῷ πεντήκοντα τριήρων ἐκ τῆς Κερκύρας, πολὺ μᾶλλον ἐπόρθει τὴν Πελοποννησίων χώραν, καὶ μάλιστα τῆς παραθαλαττίου τὴν καλουμένην Ἀκτὴν ἐδῄου, καὶ τὰς ἐπαύλεις ἐνεπύριζε. μετὰ δὲ ταῦτα πλεύσας ἐπὶ Μεθώνην τῆς Λακωνικῆς, τήν τε χώραν κατέσυρε, καὶ τῇ πόλει προσβολὰς ἐποιεῖτο. ἔνθα δὴ Βρασίδας ὁ Σπαρτιάτης, νέος μὲν ὢν [2] τὴν ἡλικίαν, ἀλκῇ δὲ καὶ ἀνδρίᾳ διαφέρων, ὁρῶν τὴν Μεθώνην κινδυνεύουσαν ἐκ βίας ἁλῶναι, παραλαβὼν τινὰς τῶν Σπαρτιατῶν, διὰ μέσου τῶν πολεμίων ἐσκεδασμένων ἐτόλμησε διεκπεράσαι,

Atheniensium vastationes in Peloponneso.

Brasidae Spartani eximia virtus.

1 Μεγάνιον Clar. 2 Τῇ ἡλικίᾳ Reg. 1. levi discrimine.

XLIII. Principe Athenis Apollodoro, Romani Consules crearunt M. Geganium & L. Sergium. Interim Atheniensium praetor non destitit oras Peloponnesiorum praedis agendis infestare, & obvia quaeque vastare, castella etiam oppugnare. Auctus deinde L triremibus e Corcyra, multo perniciosius Peloponnesiorum terras incursavit, maxime vero Acten, quam vocant, in continente maritima, hostilem in modum afflixit, villis passim exustis. Tum Methonen, Laconiae urbem, petens, direptis & vastatis primum agris, urbem tandem ipsam oppugnando tentat. Ibi Brasidas Spartanus, aetate quidem adolescens, sed robore corporis animique excellens, ubi Methonen non procul ab expugnationis periculo abesse videt, adiunctis aliquot Spartanis, per medias hostium hinc illinc diffusorum stationes manu viam si-

καὶ πολλοὺς ἀνελὼν παρεισέπεσεν εἰς τὸ χωρίον. γενομένης δὲ πολιορκίας, καὶ τοῦ Βρασίδου λαμπρότατα κινδυνεύσαντος, Ἀθηναῖοι μὲν οὐ δυνάμενοι τὸ χωρίον ἀνελεῖν, ἀπεχώρησαν πρὸς τὰς ναῦς· Βρασίδας δὲ διασεσωκὼς τὴν Μεθώνην διὰ τῆς ἰδίας ἀρετῆς καὶ ἀνδρίας, ἀποδοχῆς ἔτυχε παρὰ τοῖς Σπαρτιάταις. διὰ δὲ τὴν ἀνδραγαθίαν ταύτην φρονηματισθεὶς, πολλάκις ἐν τοῖς ὕστερον χρόνοις παραβόλως ἀγωνιζόμενος, μεγάλην δόξαν ἀνδρίας ἀπηνέγκατο. Ἀθηναῖοι δὲ περιπλεύσαντες [1] εἰς τὴν Ἠλείαν, τήν τε χώραν ἐπόρθουν καὶ Φερίαν χωρίον Ἠλείων ἐπολιόρκουν. ἐκβοηθησάντων δὲ τῶν Ἠλείων, μάχῃ τε ἐνίκησαν, καὶ πολλοὺς ἀποκτείναντες τῶν πολεμίων, εἷλον τὰς Φερὰς κατὰ κράτος. μετὰ δὲ ταῦτα τῶν Ἠλείων πανδημεὶ παραταξαμένων, ἀπεκρούσθησαν εἰς τὰς ναῦς.

1 Εἰς τὴν Coislin. Clarom. Vatic. & uterque Reg. cum Steph. margine. Edd. deficiebat praepositio.

bi confidenter facit, multisque illorum caesis in castellum evasit. Cumque saepius iterata oppugnatione, in adeundis Brasidas periculis eximie se gereret; Athenienses, loci capiendi spe frustrati, ad naves retrocedunt. Sed Brasidas, qui sua virtute & constantia virili Methonen conservaverat, magnam inter Spartanos gloriam est adeptus. Et per hoc egregium factum animosior factus, insecutis deinde temporibus saepenumero audacissime dimicando magnam fortitudinis gloriam reportavit. Athenienses inde ad Eleam circumvecti, regionem populantur, & Pheriam castellum Eleorum obsident. Ad cuius defensionem quamvis Elei accurrerent, pugna tamen congressi victores magna cum hostium caede evadunt Athenienses, & Pheras vi capiunt. Sed cum paullo post omnes in aciem copias Elei eduxissent, in naves repelluntur.

εἶτ' ἀποπλεύσαντες εἰς τὴν Κεφαληνίαν, καὶ τοὺς ταύτην κατοικοῦντας εἰς τὴν συμμαχίαν προσαγόμενοι, τὸν εἰς τὰς Ἀθήνας πλοῦν ἐποιήσαντο.

Cleopompum Athenienses cum classe in Locros mittunt,

μδ'. Μετὰ δὲ ταῦτα Ἀθηναῖοι στρατηγὸν προχειρισάμενοι Κλεόπομπον, ἐξαπέστειλαν μετὰ νεῶν τριάκοντα, προστάξαντες τήν τε Εὔβοιαν παραφυλάττειν, καὶ Λοκροῖς πολεμεῖν. ὁ δ' ἐκπλεύσας τήν τε παραθαλάττιον [1] τῆς Λοκρίδος ἐδῄωσε, καὶ πόλιν Θρόνιον ἐξεπολιόρκησε. τοῖς δ' ἀντιταξαμένοις τῶν Λοκρῶν συνάψας μάχην, ἐνίκησε περὶ πόλιν Ἀλόπην. ἔπειτα τὴν προκειμένην τῆς Λοκρίδος νῆσον, ὀνομαζομένην Ἀταλάντην, ἐπιτείχισμα τῆς Λοκρίδος [2] κατεσκεύασε, πολεμῶν πρὸς τοὺς ἐγχωρίους. Ἀθηναῖοι δ' ἐγκαλοῦντες Αἰγινήταις ὡς συνηργηκόσι Λακεδαιμονίοις, ἀνέστησαν αὐτοὺς ἐκ τῆς πόλεως· ἐκ δὲ τῶν πολιτῶν οἰκήτορας ἐκπέμψαντες, κατεκληρούχησαν τὴν

Aeginetas terra expellunt,

1 Quinque sequentia non habet Reg. 1.

2 Κατεστήσατο Coisl.

Et in Cephaleniam digressi, acceptis in societatis fidem incolis, Athenas revertuntur.

XLIV. Sub haec Athenienses, Cleopompo duce classis designato, XXX cum ipso naves in Euboeam proficisci iubent, ut & insulam tueretur, & Locris bellum faceret. Is cum classe profectus, maritimos Locridis tractus hostiliter infestat, ac Thronium urbem expugnat, & infesta cum Locris acie concurrens, ad Alopen oppidum illos vincit. Tum adiectam Locridi insulam, cui Atalantae nomen est, muniit, ut propugnaculum adversus Locros foret, unde in accolas incursiones commode facere posset. Per idem tempus Athenienses, crimini dantes Aeginetis, quod cum Lacedaemoniis facerent, omnes urbe eiiciunt, & e suis illuc civibus novam coloniam transportant, cui & urbem & agros sorte distribuerunt.

τε Αἴγιναν καὶ τὴν χώραν. Λακεδαιμόνιοι δὲ τοῖς ἐκπεπτωκόσιν Αἰγινήταις ἔδωκαν οἰκεῖν τὰς καλουμένας [1] Θυραίας, διὰ τὸ καὶ τοὺς Ἀθηναίους δεδωκέναι τοῖς ἐκ Μεσσήνης ἐκβληθεῖσι κατοικεῖν Ναύπακτον. Ἀθηναῖοι δὲ Περικλέα μετὰ δυνάμεως ἐξέπεμψαν πολεμήσοντα τοῖς Μεγαρεῦσιν. οὗτος δὲ πορθήσας τὴν χώραν, καὶ τὰς κτήσεις αὐτῶν λυμηνάμενος, μετὰ [2] πολλῆς ὠφελείας ἐπανῆλθεν εἰς τὰς Ἀθήνας.

Megarensium agros vastant & inde praedam agunt.

με΄. Λακεδαιμόνιοι δὲ μετὰ Πελοποννησίων καὶ τῶν ἄλλων συμμάχων ἐνέβαλον εἰς τὴν Ἀττικὴν τὸ δεύτερον. ἐπιπορευόμενοι δὲ τὴν χώραν ἐδενδροτόμουν, καὶ τὰς ἐπαύλεις ἐνεπύριζον· καὶ πᾶσαν σχεδὸν τὴν γῆν ἐλυμήναντο, πλὴν τῆς καλουμένης Τετραπόλεως. ταύτης δ᾽ [3] ἀπέσχοντο διὰ [4] τὸ τοὺς προγόνους αὐτῶν ἐνταῦθα κατῳκηκέναι, καὶ τὸν Εὐρυσθέα νενικηκέναι,

Lacedaemoniorum altera incursio in Atticam.

1 Θουραίας in ora Steph. Vat. Reg. 1. vet. interpr. Θυρέας in argumento huius capitis, principio lib. XII posito.

2 Πολλῇ ὠφελείᾳ Venet.

3 Ἀπέχοντο Coislin.

4 Τοὺς idem.

At Lacedaemonii expulsis Thyraeas, quas vocant, ad inhabitandum concesserunt, exemplo Athenienſium, qui Messeniis a se eiectis olim Naupactum ad incolendum tribuerant. Tum Athenienses Periclem cum exercitu, ad bellum Megarensibus inferendum, emiserunt. Is agro pervastato, & possessionibus illorum direptis aut corruptis, cum magnis opibus Athenas inde rediit.

XLV. Mox Lacedaemonii cum Peloponnesiorum aliorumque sociorum auxiliis secundam expeditionem in Atticam faciunt, eaque irruptione & arbores exscindunt, & villas passim incendiis abolent, & totam prope regionem ad vastitatem foedissimam redigunt, sola Tetrapoli, ut nominant, excepta. Ab hac propterea abstinent, quod progenitoribus olim suis hospitium praebuisset, qui Eu-

τὴν ὁρμὴν ἐκ ταύτης ποιησαμένους. [1] δίκαιον γὰρ ἡγοῦντο τοῖς εὐηργετηκόσι τοὺς προγόνους παρὰ τῶν ἐκγόνων τὰς προσηκούσας εὐεργεσίας ἀπολαμβάνειν. οἱ δ' Ἀθηναῖοι παρατάξασθαι μὲν οὐκ ἐτόλμων, συνεχόμενοι δ' ἐντὸς τῶν τειχῶν, ἐνέπεσον εἰς λοιμικὴν περίστασιν. πολλοῦ γὰρ πλήθους καὶ παντοδαποῦ συνεῤῥυηκότος εἰς τὴν πόλιν, διὰ τὴν στενοχωρίαν [2] εὐλόγως εἰς νόσους [3] ἔπιπτον, ἕλκοντες ἀέρα διεφθαρμένον. διόπερ οὐ δυνάμενοι τοὺς πολεμίους ἐκβαλεῖν ἐκ τῆς χώρας, πάλιν ναῦς πολλὰς ἐξέπεμπον εἰς Πελοπόννησον, στρατηγὸν ἐπιστήσαντες Περικλέα. οὗτος δὲ πολλὴν [4] χώραν τῆς παραθαλαττίας δῃώσας, καί τινας πόλεις πορθήσας, ἐποίησεν ἀπελθεῖν ἐκ τῆς Ἀττικῆς τοὺς Λακεδαιμονίους. μετὰ δὲ ταῦθ' οἱ Ἀθηναῖοι τῆς μὲν χώρας δενδροκοπημένης, τῆς δὲ νόσου

ob quam omnis turba Athenas confugit; unde pestilentia orta.

Ipsos avertit Periclis novus impetus in Peloponnesum.

1 Δίκαιοι Clar. Tum τῶν εὐηργετηκότων τοὺς Venet.
2 Ἀλόγως Coisl.
3 Ἐνέπεσον Reg. 1.
4 Χώραν τῆς idem cum utroque Reg. quibus accedo. Cett. χώραν τὴν τῆς.

rysthheum armis hinc adorti superassent. Nam bene de maioribus meritos debitis contra beneficiis prosequi aequum esse censebant. Athenienses vero, in aciem descendere non ausi, intra muros se continebant. Unde factum, ut in pestilentis morbi contagia inciderent. Cum enim ingens hominum diversi generis colluvies in urbem recepta esset, probabili equidem ratione accidit, ut angusto constipati loco vitiosum inspirantes aëra, morbis affligerentur. Quocirca eiiciendis e regione sua hostibus impares, classem rursus in Peloponnesum, Periclis ductu, expediunt. Is hostiliter maritimas terras incursando, nonnullas etiam urbes expugnando, efficit, ut Lacedaemonii ex Attica tandem excederent. Post haec Athenienses ob agros excidio arborum vastatos, & magnam populi stra-

πολλοὺς διαφθειρούσης, [1] ἐν ἀθυμίᾳ καθειστήκεισαν, καὶ τὸν Περικλέα, νομίζοντες αἴτιον αὐτοῖς γεγονέναι τοῦ πολέμου, δι' ὀργῆς εἶχον. διόπερ ἀποστήσαντες αὐτὸν τῆς στρατηγίας, καὶ μικράς τινας ἀφορμὰς ἐγκλημάτων [2] λαβόντες, ἐζημίωσαν αὐτὸν ὀγδοήκοντα ταλάντοις. μετὰ δὲ ταῦτα πρεσβείας ἀποστείλαντες [3] Λακεδαιμονίοις, ἠξίουν [4] καταλύσασθαι τὸν πόλεμον. ὡς δὲ οὐδεὶς αὐτοῖς προσεῖχεν, ἠναγκάζοντο πάλιν τὸν Περικλέα στρατηγὸν αἱρεῖσθαι. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸ ἐνιαυτόν. Crimina in Periclem.

μστ'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἐπαμινώνδου [5] Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Λεύκιον [6] Παπίριον καὶ Αὖλον Κορνήλιον Μακερῖνον. ἐπὶ δὲ τούτων ἐν μὲν ταῖς Ἀθήναις Περικλῆς ὁ στρατηγὸς ἐτελεύτησεν, ἀνὴρ γένει καὶ πλούτῳ, πρὸς δὲ τούτοις δεινότητι λόγου καὶ στρατηγίᾳ πολὺ προέχων τῶν πολιτῶν. Olymp. LXXXVII, 4. Pericles moritur.

1 Sequentia tria desunt Reg. 1.
2 Εὑρόντες idem.
3 Λακεδαιμόνιοι Coisl.
4 Καταλύσαντες idem.
5 Ῥωμαῖοι μὲν κατεστ. Coislin. Vulgo medium vocabulum deest.
6 Παπείριον Coislin. Edd. Παπύριον.

gem, a lue pestifera illatam, animi sese excruciant, & Pericli, in quem accensi belli culpam transferebant, infensis animis irascuntur, eique, magistratu abire iusso, leves quasdam criminandi occasiones nacti, LXXX talentorum multam irrogant. Legatis deinde ad componendum bellum Spartam missis, dum nusquam aequas sibi praeberi aures animadvertunt, necessitate adacti, Periclem rursus imperatorem creant. Et haec illo quidem anno gesta sunt.

XLVI. Archon deinde fuit Athenis Epaminondas, & Romae consulatum gesserunt L. Papirius Crassus & M. Cornelius Maluginensis; cum Athenis Pericles exercituum dux interiit, vir genere, opibus, eloquentia & arte imperatoria civibus aliis longe antecellens. Populus ve-

Ei succedit in imperio Agno,

a quo Potidaea obsidetur,

ὁ δὲ δῆμος φιλοτιμούμενος κατὰ κράτος ἑλεῖν τὴν Ποτίδαιαν, ἐξαπέστειλεν Ἅγνωνα στρατηγὸν, ἔχοντα τὴν δύναμιν ἣν πρότερον εἶχε Περικλῆς. οὗτος δὲ μετὰ παντὸς τοῦ στόλου καταπλεύσας [1] εἰς τὴν Ποτίδαιαν, παρεσκευάσατο τὰ πρὸς τὴν πολιορκίαν. μηχανάς τε γὰρ παντοδαπὰς [2] παρεσκευάσατο πολιορκητικὰς, καὶ ὅπλων καὶ βελῶν πλῆθος, ἔτι δὲ σίτου δαψίλειαν ἱκανὴν πάσῃ τῇ δυνάμει. προσβολὰς δὲ ποιούμενος συνεχεῖς καθ' ἑκάστην ἡμέραν, διέτριβε πολὺν χρόνον, οὐ δυνάμενος ἑλεῖν τὴν πόλιν. οἱ μὲν γὰρ πολιορκούμενοι, διὰ τὸν [3] ἐκ τῆς ἁλώσεως φόβον ἐῤῥωμένως ἠμύνοντο, καὶ ταῖς ὑπεροχαῖς τῶν τειχῶν πεποιθότες, ἐπλεονέκτουν τοὺς ἐκ λιμένος. ἡ δὲ νόσος τοὺς πολιορκοῦντας συνέχουσα πολλοὺς ἀνῄρει, καὶ τὸ στρατόπεδον ἀθυμία κατεῖχεν. ὁ δ' Ἅγνων εἰδὼς τοὺς Ἀθηναίους δεδαπανηκότας εἰς τὴν πολιορκίαν πλείω

1 Πρὸς τὴν Coisl.
2 Παρεσκεύασε Co. Reg. 2. Clar.
3 Non est in Reg. 1.

ro Atheniensis, summa cupiditate Potidaeam vi capiendi ardens, Agnonem ducem cum exercitu, quem Pericles antea ductaverat, illuc mittit. Is cum universa classe urbem petens, omni apparatu in obsidionem incumbit. Machinas enim ad expugnandum utiles varii generis, & magnam armorum telorumque vim, frumenti etiam quantum toti exercitui satis foret, praeparat. Etsi autem crebris quotidie impressionibus urbem quassabat, multum tamen frustra temporis consumsit, quo eam capere nequivit. Nam obsessos expugnationis metus excitat ad fortiter repugnandum, & murorum altitudo, qua in portu versantes supereminebant, fiduciam illis addit. Morbus interim multos obsidentium exstinguit: quo factum, ut animos exercitus desponderet. Agno tamen, compertum habens, plus M talentis Athenienses obsidioni impendisse,

τῶν χιλίων ταλάντων, καὶ χαλεπῶς [1] διακειμένους πρὸς τοὺς Ποτιδαιάτας, διὰ τὸ πρώτους ἀποστῆναι πρὸς τοὺς Λακεδαιμονίους, ἐφοβεῖτο λῦσαι τὴν πολιορκίαν. διόπερ ἠναγκάζετο [2] διακαρτερεῖν, καὶ τοὺς στρατιώτας ἀναγκάζειν παρὰ δύναμιν βίαν προσάγειν [3] τῇ πόλει. ἐπεὶ δὲ τῶν πολιτῶν πολλοὶ διεφθείροντο κατὰ τὰς προσβολὰς καὶ κατὰ τὴν ἐκ τοῦ λοιμοῦ νόσον, ἀπολιπὼν μέρος τῆς δυνάμεως ἐπὶ τῆς πολιορκίας, ἀπέπλευσεν εἰς τὰς Ἀθήνας, ἀποβεβληκὼς τῶν στρατιωτῶν [4] πλείους τῶν χιλίων. ἀπελθόντων δὲ τούτων, οἱ Ποτιδαιάται, τοῦ τε σίτου παντελῶς [5] ἐκλιπόντος καὶ τῶν κατὰ τὴν πόλιν ἀθυμούντων, ἐπεκηρυκεύσαντο πρὸς τοὺς πολιορκοῦντας περὶ διαλύσεως. ἀσμένως δὲ κἀκείνων προσδεξαμένων, διαλύσεις ἐποιήσαντο τοιαύτας, ἀπελθεῖν ἐκ τῆς πόλεως ἅπαντας τοὺς Ποτιδαιάτας, ἄλλο μὲν μηδὲν λαβόντας, ἔχον-

& capitur.

1 Διακείμενος idem.
2 Καρτερεῖν Coislin.
3 Τὴν πόλιν Reg. 1.
4 Πλείω idem & Reg. 2. plane ex Diodori consuetudine. Vide not. in lib. I, 92, & supr. c. 21 huius libri.
5 Ἐκλείποντος Reg. 1.

& gravissima Potidaeatas ira prosequi, quod primi ad Lacedaemonios descivissent, obsidionem solvere non audebat; sed in incepto perstare, & milites ad vim urbi inferendam etiam ultra vires instigare, cogebatur. Ubi vero magnam civium turbam tum oppugnationum vi, tum contagione morbi absumtam vidit; parte copiarum ad obsidionem relicta, ipse cum ceteris Athenas regressus est, plus mille militibus amissis. Post cuius discessum Potidaeenses, iam extrema annonae difficultate laborantes, & ad summam desperationem adacti, caduceatores ad pacis conditiones petendum mittunt. Quod cum obviis, ut dicitur, brachiis exciperent obsidentes, hac lege cum obsessis paciscuntur: ut universa Potidaeatarum multitudo urbe excedat, & nihil omnino, praeter

τας δὲ τοὺς μὲν ἄνδρας ἱμάτιον ἕν, τὰς δὲ γυναῖκας δύο. γενομένων δὲ τούτων τῶν σπονδῶν, οἱ μὲν Ποτιδαιάται πάντες μετὰ γυναικῶν καὶ τέκνων [1] ἐξέλιπον τὴν πατρίδα κατὰ τὰς συνθήκας, καὶ παρελθόντες εἰς τοὺς ἐπὶ Θράκης Χαλκιδεῖς, παρ' αὐτοῖς κατῴκησαν. οἱ δὲ Ἀθηναῖοι τῶν πολιτῶν εἰς χιλίους οἰκήτορας ἐξέπεμψαν εἰς τὴν Ποτίδαιαν, καὶ τήν τε πόλιν καὶ τὴν χώραν κατεκληρούχησαν.

Phormio, classis Atheniensium dux, ad Naupactum Lacedaemonios arcet; contra Archidamus in Boeotia Plataeas oppugnat.

μζ'. Ἀθηναῖοι δὲ Φορμίωνα στρατηγὸν προχειρισάμενοι, μετὰ εἴκοσι τριήρων ἐξαπέστειλαν. οὗτος δὲ περιπλεύσας τὴν Πελοπόννησον, εἰς Ναύπακτον κατῆρε, καὶ θαλαττοκρατῶν τοῦ Κρισαίου κόλπου, διεκώλυσε ταύτῃ πλεῖν τοὺς Λακεδαιμονίους. Λακεδαιμόνιοι δὲ δύναμιν ἀξιόλογον ἐξέπεμψαν μετὰ Ἀρχιδάμου τοῦ βασιλέως· οὗτος δὲ παρελθὼν τῆς Βοιωτίας εἰς Πλαταιὰς ἐστράτευσε. μελλόντων δ' αὐτῶν δῃοῦν τὴν χώ-

1 Ἀπῆλθον ἐκ τῆς πατρίδος Ven. Alterutrum glossa est.

unam viri, duasque feminae, vestes secum asportent. Induciis ergo hac conditione factis, Potidaeatae cum uxoribus & liberis omnes, uti convenerat, urbem deserunt, & ad Chalcidenses in Thracia profecti, habitationis inter eos locum acceperunt. Athenienses vero mille suorum Potidaeam missis domicilia urbis & agrorum fundos sorte assignarunt.

XLVII. Porro Athenis Phormio dux classis creatus, cum XX triremibus expeditionem suscipit, & circumnavigata Peloponneso ad Naupactum substitit: ubi Crisaeo sinu in potestatem redacto, Lacedaemoniis transitum intercludit. Hi vero Archidamum regem cum numeroso exercitu novam instituere expeditionem iubent. Is, promotis in Boeotiam castris, ad Plataeas consedit. Ibi procincto iam ad vastationem exercitu, ad defectio-

ραν, καὶ παρακαλούντων τοὺς Πλαταιεῖς ἀποστῆναι τῶν Ἀθηναίων, ὡς οὐ προσεῖχον αὐτοῖς, ἐπόρθησε τὴν χώραν, καὶ τὰς κατὰ ταύτην κτήσεις ἐλυμήνατο. μετὰ δὲ ταῦτα τὴν πόλιν περιτειχίσας, ἤλπιζε τῇ σπάνει τῶν ἀναγκαίων [1] καταπονήσειν τοὺς Πλαταιεῖς· οὐδὲν δ' ἧττον καὶ μηχανὰς προσάγοντες, καὶ διὰ τούτων σαλεύοντες τὰ τείχη, καὶ προσβολὰς ἀδιαλείπτως ποιούμενοι διετέλουν. ἐπεὶ δὲ [2] οὐδὲ διὰ τῶν προσβολῶν ἠδύναντο χειρώσασθαι τὴν πόλιν, ἀπολιπόντες τὴν ἱκανὴν φυλακὴν, ἐπανῆλθον εἰς Πελοπόννησον. Ἀθηναῖοι δὲ στρατηγοὺς καταστήσαντες Ξενοφῶντα καὶ Φανόμαχον, ἀπέστειλαν ἐπὶ Θρᾴκην μετὰ στρατιωτῶν χιλίων. οὗτοι δὲ παραγενηθέντες εἰς Πακτωλὸν τῆς [3] Βοττικῆς, ἔτεμον τὴν χώραν, καὶ τὸν σῖτον ἐν χλόῃ διέφθειραν. προσβοηθησάντων δὲ τοῖς Βοττιαίοις Ὀλυνθίων, ἡττήθησαν ὑπὸ τούτων μάχῃ. ἀνῃρέθησαν

Xenophon & Phanomachus, Athenienses, Thraciam,

1 Καταπορθήσειν Reg. 1.
2 Οὐδ' ἐπὶ τῶν Coisl. Reg. 1.
3 Βοιττικῆς Clar. *Boeotiae* vet. interpr. Tum ἔτεμνον Coisl.

nem ab Athenienfibus Plataeenfes follicitari prius placuit. Qui cum affenfum non praeberent, agros defolare, & quidquid facultatum obviam fuit, diripere ac peffumdare inftitit. Poft urbe circumvallata, commeatus inopia fe Plataeenfes defatigaturum confidebat. Nec fegnius machinis etiam adactis muros concutere, atque indefinenter oppugnare pergebat. Sed cum nulla oppugnationis vi urbem capere poffet, relicta haud mediocri illic manu, in Peloponnefum remeavit. Sub haec Athenienfes Xenophontem & Phanomachum duces creant, & cum M armatorum manu in Thraciam expeditionem facere iubent. Hi ad Pactolum Botticae progreffi, regionem urendo, exfcindendo, & praedas agendo vaftant, & fegetes adhuc in herba corrumpunt. Sed cum Bottiaeis Olynthii fuccurrerent, pugna inita profligantur Athe-

δὲ [1] τῶν Ἀθηναίων οἵ τε στρατηγοὶ καὶ τῶν στρατιωτῶν οἱ πλείους. ἅμα δὲ τούτοις πραττομένοις, Λακεδαιμόνιοι πεισθέντες ὑπὸ Ἀμβρακιωτῶν, ἐστράτευσαν εἰς Ἀκαρνανίαν. ἡγούμενος δὲ τούτων Κνῆμος εἶχε στρατιώτας πεζοὺς χιλίους, καὶ ναῦς ὀλίγας· προσλαβόμενος δὲ καὶ παρὰ τῶν συμμάχων στρατιώτας [2] ἱκανοὺς, ἧκεν εἰς τὴν Ἀκαρνανίαν καὶ κατεστρατοπέδευσε πλησίον πόλεως, τῆς ὀνομαζομένης Στράτου. οἱ δὲ Ἀκαρνᾶνες [3] συστραφέντες, καὶ τοὺς πολεμίους ἐνεδρεύσαντες, πολλοὺς ἀπέκτειναν καὶ συνηνάγκασαν τὸν Κνῆμον ἀπαγαγεῖν τὴν δύναμιν εἰς τοὺς ὀνομαζομένους Οἰνιάδας.

Cnemus, Laced. dux, Acarnaniam invadunt.

μη'. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους Φορμίων ὁ τῶν Ἀθηναίων στρατηγὸς, ἔχων εἴκοσι τριήρεις, περιέτυχε ναυσὶ Λακεδαιμονίων ἑπτὰ πρὸς ταῖς τετταράκοντα. ναυμαχήσας δὲ πρὸς ταύτας, τήν τε στρατηγίδα ναῦν τῶν πολεμίων κατέδυσε, καὶ τῶν ἄλλων πολλὰς

Phormio pugna navali ad Rhium victor.

1 Bina haec vocabula abſunt Reg. 2. Clar. & interpr. vet.

2 Τοὺς ἱκανοὺς Coisl.

3 Στραφέντες idem.

nienſes, ibique maxima pars militum cum ipſis ductoribus caeſa eſt. Inter haec Lacedaemonii, Ambraciotarum hortatu inducti, cum M militibus & paucis navibus, duce Cnemo, in Acarnaniam movent. Is, non contemnenda ſociorum manu ſibi adiuncta, expeditionem in Arcarnaniam ſuſcipit, & ad urbem, cui Strato nomen, caſtra ponit. Sed Acarnanes, ſubito in aciem conglobati, hoſtem inſidiis excipiunt, & plurimis interfectis Cnemum in Oeniadarum, quos vocant, terram, copias abducere cogunt.

XLVIII. Sub idem tempus Phormio Athenienſis, praetor militaris, cum XX ſuis triremibus in XLVII Lacedaemoniorum naves incidit, & pugna cum illis conſerta navem praetoriam cum ipſis hoſtibus demerſit, & mul-

ἄπλους ἐποίησε, δώδεκα δὲ αὐτάνδρους εἷλε, τὰς δὲ λοιπὰς μέχρι τῆς γῆς κατεδίωξεν. οἱ δὲ Λακεδαιμόνιοι παρ' ἐλπίδας ἡττηθέντες, ταῖς ὑπολειφθείσαις ναυσὶν ἔφυγον εἰς Πάτρας τῆς Ἀχαΐας. αὕτη μὲν οὖν ναυμαχία συνέστη περὶ τὸ Ῥίον καλούμενον. οἱ δ' Ἀθηναῖοι τρόπαιον στήσαντες, καὶ τῷ Ποσειδῶνι περὶ τὸν ἰσθμὸν [1] ναῦν καθιερώσαντες, ἀπέπλευσαν εἰς πόλιν συμμαχίδα Ναύπακτον. Λακεδαιμόνιοι δὲ ἑτέρας ναῦς ἐξέπεμψαν εἰς τὰς Πάτρας. αὗται δὲ προσλαβόμεναι τὰς ἐκ τῆς ναυμαχίας περιλελειμμένας τριήρεις, ἠθροίσθησαν εἰς τὸ Ῥίον. εἰς τὸν αὐτὸν δὲ τόπον καὶ τὸ πεζὸν στρατόπεδον τῶν Πελοποννησίων κατήντησε, καὶ πλησίον τοῦ στόλου κατεστρατοπέδευσε. Φορμίων δὲ τῇ [2] προγεγενημένῃ νίκῃ φρονηματισθεὶς, ἐτόλμησεν ἐπιθέσθαι ταῖς πολεμικαῖς ναυσὶν οὔσαις πολλαπλασίαις· καί τινας αὐτῶν καταδύσας, καὶ τῶν ἰδίων

1 Ναῦς Cl. 2 Προγεγραμμένῃ Ven. & ora Steph. quae glossa videtur.

tas de ceteris navigationi inutiles reddidit, captisque XII cum ipsis viris, reliquas ad continentem usque persecutus est. Hoc modo Lacedaemonii, praeter spem victi, cum parte navium adhuc salva Patras Achaiae refugerunt. Haec pugna ad Rhium, uti nominant, commissa fuit. Tum Athenienses tropaeum, victoriae monumentum, erigunt. Neptuno etiam navem in Isthmo dedicant, & sociam inde urbem Naupactum repetunt. At Lacedaemonii alias haerentibus ad Patras naves submittunt. Hae cum superstitibus ex pugna navali triremibus coniunctae ad Rhium convenerunt, quo ipso loco etiam terrestris Lacedaemonius exercitus occurrit, & castra proxime classem metatur. Phormio autem, superiore victoria elatum gerens spiritum, cum hostili classe, quae suam numero longe vincebat, confligere non veretur, multisque hostium navibus suppressis, nonnullis etiam

ἀποβαλὼν, ἀμφίδοξον ἔσχε τὴν νίκην. μετὰ δὲ ταῦτα Ἀθηναίων ἀποστειλάντων εἴκοσι τριήρεις, οἱ Λακεδαιμόνιοι φοβηθέντες, ἀπέπλευσαν εἰς τὴν Κόρινθον, οὐ τολμῶντες ναυμαχεῖν. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

Olymp. LXXXVIII, 1.

μθ'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Διοτίμου Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Γάϊον Ἰούλιον καὶ Πρόκλον [1] Οὐεργίνιον Τρίκοστον, Ἠλεῖοι δ' ἦγον Ὀλυμπιάδα ὀγδόην πρὸς ταῖς ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον Σύμμαχος Μεσσήνιος ἀπὸ Σικελίας. ἐπὶ δὲ τούτων Κνῆμος [2] ὁ τῶν Λακεδαιμονίων ναύαρχος ἐν τῇ Κορίνθῳ διατρίβων, ἔκρινε τὸν Πειραιᾶ καταλαβέσθαι. ἐπυνθάνετο γὰρ μήτε ναῦς ἐν αὐτῷ καθειλκυσμένας ὑπάρχειν, μήτε στρατιώτας εἶναι τεταγμένους ἐπὶ [3] τῆς φυλακῆς. τοὺς γὰρ Ἀθηναίους ἀμελῶς ἔχειν

Cnemi, ducis Laced. in Salaminem & Piraeeum portum expeditio irrita.

1 Οὐεργήνιον Coislin.
2 Quatuor, quae succedunt, absunt Clar.
3 Articulus abest Clar.

suarum amissis, victoriam ancipitem reportat. Sed post cum XX triremes Athenis illi accessissent, Lacedaemonii Corinthum navigant, nec proelii navalis fortunam amplius tentare audent. Et hae res illo anno confectae traduntur.

XLIX. Summo Athenis magistratum fungente Diotimo, Romani Consules reipublicae praefecerunt C. Iulium & Proculum Verginium Tricostum. Tum Elei octogesimam octavam Olympiadem egerunt, in qua stadii victoriam obtinuit Symmachus Messenius ex Sicilia. Cnemus autem, Lacedaemoniorum navarchus, dum ad Corinthum in statione est, Piraeei per occasionem occupandi consilium cepit. Exploratorum namque indiciis compertum habebat, nihil ibi navium esse deductum, nec quidquam praesidii ad defensionem eius dispositum: ab Atheniensibus praeterea loci custodiam negligi, quod

περὶ τῆς τούτου φυλακῆς, διὰ τὸ μηδαμῶς ἐλπίζειν, τολμῆσαι τινὰς καταλαβέσθαι τὸν τόπον. διόπερ ἐν τοῖς Μεγάροις καθελκύσας τὰς νενεωλκημένας τετταράκοντα τριήρεις, νυκτὸς ἔπλευσεν εἰς τὴν Σαλαμῖνα. προσπεσὼν δ' ἀπροσδοκήτως εἰς τὸ φρούριον τῆς Σαλαμῖνος τὸ καλούμενον Βουδόριον, τρεῖς ναῦς ἀπέσπασε, καὶ τὴν ἄλλην Σαλαμῖνα κατέδραμε. τῶν δὲ Σαλαμινίων πυρσευσάντων [1] τοῖς κατὰ τὴν Ἀττικὴν, οἱ μὲν Ἀθηναῖοι δόξαντες τὸν Πειραιᾶ κατειλῆφθαι, ταχέως [2] ἐξεβοήθουν μετὰ πολλῆς ταραχῆς. γνόντες δὲ τὸ γεγονὸς, ταχέως πληρώσαντες ναῦς ἱκανὰς, ἔπλεον εἰς τὴν Σαλαμῖνα. οἱ δὲ Πελοποννήσιοι τῆς [3] ἐπιβολῆς διαψευσθέντες, ἀπέπλευσαν ἐκ τῆς Σαλαμῖνος εἰς τὴν οἰκείαν. οἱ δ' Ἀθηναῖοι, τῶν πολεμίων ἀποπεπλευκότων, τῆς μὲν Σαλαμῖνος ἐπιμελεστέραν φυλακὴν ἐποιήσαντο, καὶ κατέλιπον φρου-

1 Τῆς idem.

2 Ἐξεβοήθουν Vat. Reg. 2. Ven. Coisl. Clar. ora Steph. Cett. ἐβοήθουν. Modo καταλελῆφθαι Reg. 1.

3 Ἐπιβουλῆς Reg. 2. frequentiſſima confuſione. Vid. lib. I, 4, ibique adſcripta.

neminem eo proceſſurum confidant, ut invadere illum auſit. Megaris itaque XL triremes antea ſubductas, in mare devolvit, hiſque completis noctu in Salaminem traiicit, ubi caſtellum, quod Budorium appellatur, ex improviſo adortus, tres naves abſtrahit, & reliquam Salamina paſſim incurſat. At ſigno per accenſas faces a Salaminiis dato, Athenienſes, Piraeeum iam captum ſuſpicati, raptis propere armis ad loci defenſionem magno cum pavore ac tumultu excurrunt. Sed de tota re melius edocti, in Salaminem pluribus inſtructis navibus contendunt. Peloponneſii igitur, conatu & incepto fruſtrati, ex Salamine domum ſe recipiunt: poſt quorum diſceſſum accuratiorem Salaminis cuſtodiam Athenienſes inſtituunt, ſat firmo illam praeſidio munientes. Pi-

ροὺς τοὺς ἱκανούς· τὸν δὲ Πειραιᾶ κλείθροις καὶ Φυλακαῖς ἱκαναῖς διαλαβόντες ὤχύρωσαν.

Incidit in hoc tempus bellum, quod Sitalces, R. Thracum, contra Perdiccam, R. Macedoniae, gessit, ut Amyntam in regnum paternum restitueret.

ν'. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους Σιτάλκης ὁ τῶν Θρακῶν βασιλεὺς παρειλήφει μὲν βασιλείαν ὀλίγης χώρας, διὰ δὲ τὴν ἰδίαν ἀνδρίαν καὶ σύνεσιν ἐπὶ πολὺ τὴν [1] δυναστείαν ηὔξησεν, ἐπιεικῶς μὲν ἄρχων τῶν ὑποτεταγμένων, ἀνδρεῖος δ' ὢν ἐν ταῖς μάχαις καὶ στρατηγικός, ἔτι δὲ τῶν προσόδων μεγάλην ποιούμενος ἐπίμελειαν. τὸ δὲ τέλος ἐπὶ τοσοῦτον δυνάμεως προῆλθεν, ὥστε χώρας ἄρξαι πλείστης τῶν πρὸ αὐτοῦ βασιλευσάντων κατὰ τὴν Θράκην. ἡ μὲν γὰρ παραθαλάττιος αὐτῆς, ἀπὸ τῆς Ἀβδηριτῶν χώρας τὴν ἀρχὴν ἔχουσα, διέτεινε μέχρι τοῦ Ἴστρου ποταμοῦ· ἀπὸ δὲ θαλάττης εἰς τὸ μεσόγειον πορευομένῳ τοσοῦτον εἶχε διάστημα, ὥστε πεζὸν εὔζωνον ὁδοιπορῆσαι ἡμέρας τρεισκαίδεκα. τηλικαύτης δὲ χώρας βασιλεύων,

1 Δύναμιν marg. Steph.

raeeum etiam claustris & excubiis hic illic dispositis, quantum satis esset, confirmant.

L. Circa id ipsum tempus Sitalces Thracum rex angusti quidem agri regnum accepit, sed propria virtute ac prudentia ad praeclaram illud amplitudinem longe lateque provexit, dum aequum & benignum subditis, & in bellis strenuum ac sollertem sese praebet, vectigalium praeterea diligentissime curam gerit, & ad tantas denique opes pervenit, ut plus, quam omnes ante ipsum reges, terrarum in Thracia suo dominatu complecteretur. Nam maritima eius regio, a finibus Abderitarum incipiens, ad Istrum usque fluvium excurrebat. A mari vero in mediterranea tanto patebat intervallo, quantum expeditus aliquis terra iter faciens intra tredecim dies conficere posset. Tam late patentis regni princeps cum esset,

ἐλάμβανε προσόδους καθ' ἕκαστον ἐνιαυτὸν πλείω χιλίων ταλάντων. κατὰ δὲ τοὺς ὑποκειμένους καιροὺς ἔχων πόλεμον, ἤθροισεν ἐκ τῆς Θράκης στρατιώτας, πεζοὺς μὲν πλείους τῶν δυοκαίδεκα μυριάδων, ἱππεῖς δὲ πεντακισμυρίους. ἀναγκαῖον δέ ἐστι τοῦ πολέμου τούτου προεκθέσθαι τὰς αἰτίας, ἵνα σαφὴς ὁ περὶ αὐτοῦ λόγος ὑπάρξῃ τοῖς ἀναγινώσκουσι. Σιτάλκης τοίνυν πρὸς Ἀθηναίους φιλίαν συνθέμενος, ὡμολόγησεν αὐτοῖς συμμαχήσειν τὸν ἐπὶ Θράκης πόλεμον· διόπερ βουλόμενος τοὺς Χαλκιδεῖς σὺν τοῖς Ἀθηναίοις καταπολεμῆσαι, παρεσκευάζετο δύναμιν ἀξιόλογον, ἅμα δὲ [1] καὶ πρὸς Περδίκκαν τὸν βασιλέα τῶν Μακεδόνων ἀλλοτρίως διακείμενος, ἔκρινε κατάγειν ἐπὶ τὴν Μακεδονικὴν βασιλείαν Ἀμύνταν τὸν Φιλίππου. δι' ἀμφοτέρας οὖν τὰς προειρημένας αἰτίας ἦν ἀναγκαῖον αὐτῷ συστήσασθαι δύναμιν ἀξιόλογον. ὡς δ' αὐτῷ τὰ πρὸς τὴν στρατείαν εὐτρεπῆ κατεσκεύαστο, προή-

1 Non eſt in Clar.

plus quam mille quotannis talenta ex vectigalibus accipiebat. Sub haec vero tempora, exorto ipſi bello, e Thracia militum delectus inſtituens, peditum plus quam CXX M. & equitum L M. coëgit. Sed cauſae belli nobis hîc explicandae veniunt, ut perſpicua lectoribus fiat narratio. Sitalces, amicitiae foedere cum Athenienſibus inito, inter alia pacta etiam hoc receperat, ſe fidum ipſis ſocium in bello Thracico futurum. Chalcidenſes igitur Athenienſium ope expugnare volens, exercitum inſtruxit validiſſimum: ſed cum ſimul infenſo erga Perdiccam Macedoniae regem animo eſſet, Amyntam Philippi in regnum paternum reducere conſtituit. Has duas ob cauſas ingens omnino exercitus ei contrahendus erat. Cum itaque omnia ad expeditionem neceſſaria proviſa pro-

γαγε τὴν δύναμιν ἅπασαν, καὶ διελθὼν τὴν Θρᾴκην, ἐνέβαλεν εἰς τὴν Μακεδονίαν. οἱ δὲ Μακεδόνες τὸ μέγεθος τῆς δυνάμεως καταπλαγέντες, παρατάξασθαι μὲν οὐκ ἐτόλμησαν· ἐκκομίσαντες δὲ τόν τε σῖτον καὶ τῶν χρημάτων ὅσα δυνατὸν ἦν εἰς τὰ καρτερώτατα φρούρια, μένοντες ἐν τούτοις ἡσυχίαν εἶχον. οἱ δὲ Θρᾷκες καταγαγόντες τὸν Ἀμύνταν ἐπὶ τὴν βασιλείαν, τὸ μὲν πρῶτον διὰ λόγων καὶ πρεσβειῶν ἐπειρῶντο προσάγεσθαι τὰς πόλεις· ὡς δ' οὐδεὶς αὐτοῖς προσεῖχεν, εὐθὺς τῷ πρώτῳ φρουρίῳ προσβαλόντες, [1] κατὰ κράτος εἷλον. μετὰ δὲ ταῦτα τινὲς τῶν πόλεων καὶ τῶν φρουρίων διὰ τὸν φόβον ἑκουσίως ὑπετάγησαν. πορθήσαντες δὲ πᾶσαν τὴν Μακεδονίαν, καὶ πολλῆς ὠφελείας κύριοι γενόμενοι, μετέβησαν ἐπὶ τὰς Ἑλληνίδας πόλεις [2] τὰς τῶν Χαλκιδέων.

να'. Τοῦ δὲ Σιτάλκου περὶ ταῦτα διατρίβοντος, Θετταλοὶ καὶ Ἀχαιοὶ καὶ Μάγνητες καὶ οἱ ἄλλοι

1 Κατακράτος Reg. 2. plerumque. 2 Deſit eidem & Clar.

curataque eſſent, copias univerſas eduxit, & Thraciam emenſus, in Macedoniam irruptionem fecit. At Macedones, hoſtium multitudine perterrefacti, obviam prodire non audebant; ſed frugibus, aliiſque opibus, quas transferre poterant, in caſtella munitiſſima congeſtis, intra munitiones quiete ſe continebant. Thraces autem, Amyntam reducentes in regnum, primum verbis & legationibus pacificis urbes ſibi conciliare tentabant; ſed cum nemo aures illis accommodaret, caſtellum, quod primum ſeſe obtulit, aggreſſi, vi expugnant. Mox aliae etiam urbes & munitiones terrore perculſae, ultro ſe dedunt. Pervaſtata igitur tota Macedonia, pingui onuſti praeda, ad Graecas Chalcidenſium urbes tranſeunt.

LI. Interea dum Sitalces circa haec occupatus eſt, Theſſali, Achaei, Magnetes, & ceteri Graeci omnes,

πάντες Ἕλληνες, ὅσοι κατῴκουν μεταξὺ Μακεδονίας καὶ Θερμοπυλῶν, συνεφρόνησαν, καὶ δύναμιν ἀξιόλογον κοινῇ συνεστήσαντο. εὐλαβοῦντο γὰρ μή ποτε τοσαύταις μυριάσιν οἱ Θρᾷκες ἐμβάλωσιν αὐτῶν εἰς τὴν χώραν, καὶ [1] κινδυνεύσωσι ταῖς πατρίσι. τὸ δ᾽ αὐτὸ καὶ τῶν Χαλκιδέων ποιησάντων, Σιτάλκης πυθόμενος τοὺς Ἕλληνας ἁδρὰς δυνάμεις συνηθροικέναι, καὶ τοὺς στρατιώτας ὑπὸ τοῦ χειμῶνος ἐνοχλουμένους, πρὸς μὲν τὸν Περδίκκαν διαλυσάμενος [2] ἐπιγαμίαν ἐποιήσατο, τὰς δὲ δυνάμεις ἀπήγαγεν εἰς Θρᾴκην.

νβ΄. Ἅμα δὲ τούτοις πραττομένοις, Λακεδαιμόνιοι μὲν παραλαβόντες τοὺς ἐκ Πελοποννήσου συμμάχους, εἰσέβαλον εἰς τὴν Ἀττικὴν, ἔχοντος τὴν ἡγεμονίαν Ἀρχιδάμου τοῦ βασιλέως· τὸν δὲ σῖτον [3] ἐν τῇ χλόῃ διέφθειραν, καὶ τὴν χώραν δῃώσαντες, ἐπανῆλ-

Attica tertium a Lacedaemoniis vaſtata.

1 Κινδυνεύσωσι Co. Clar. Vat. uterque Reg. & vet. interpr. Edd. δυναστεύσωσι.

2 Ἐπιγαμίας ora Steph. Coisl. Reg. 1. Vat.

3 Τὸν ἐν τῇ χλόῃ Cl. non male.

qui intra Macedoniam & Thermopylas ſedes habent, conſpiratione facta, communi delectu exercitum ingentem conſcripſere. Verebantur enim, ne tam numeroſis millibus Thracum in regiones ipſorum impreſſione facta, patriae ſinguli amittendae periculum adirent. Quod idem cum a Chalcidenſibus quoque fieret, Sitalces de Graecorum apparatu, quod validas adverſum ſe copias armaſſent, edoctus, milites quoque ſuos moleſte hiemis aſperitatem ferre ſentiens, cum Perdicca reconciliatur, & affinitate cum illo contracta, agmen in Thraciam reducit.

LII. Interea, dum haec geruntur, Lacedaemonii, aſſumtis e Peloponneſo belli ſociis, Atticam rurſus invadunt, Archidamo rege ſummum militiae imperium gerente. Cumque ſegetem in ipſo virore corrupiſſent, & agros longe lateque vaſtaſſent, in ſuam quiſque patriam

θον εἰς [1] τὰς πατρίδας. οἱ δ' Ἀθηναῖοι παρατάξασθαι μὲν οὐ τολμῶντες, ὑπὸ δὲ τῆς νόσου καὶ τῆς σιτοδείας πιεζόμενοι, κακὰς περὶ τοῦ μέλλοντος ἐλάμβανον ἐλπίδας. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

Olymp. LXXXVIII, 2.

Leontini in Sicilia, a Syracusanis bello petiti, Atheniensium implorant auxilium,

νγ'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Εὐκλείδου Ῥωμαῖοι κατέστησαν ἀντὶ τῶν ὑπάτων χιλιάρχους τρεῖς, Μάρκον Μάνιον, Κόϊντον Σουλπίκιον [2] Πραιτέξτατον, καὶ Σερούλιον Κορνήλιον [3] Κόσσον. ἐπὶ δὲ τούτων κατὰ τὴν Σικελίαν Λεοντῖνοι, [4] Χαλκιδέων μὲν ὄντες ἄποικοι, συγγενεῖς δὲ Ἀθηναίων, ἔτυχον ὑπὸ Συρακουσίων πολεμούμενοι. πιεζόμενοι δὲ τῷ πολέμῳ, καὶ διὰ τὴν ὑπεροχὴν τῶν Συρακουσίων κινδυνεύοντες ἁλῶναι κατὰ κράτος, ἐξέπεμψαν πρέσβεις εἰς τὰς Ἀθήνας, ἀξιοῦντες τὸν δῆμον βοηθῆσαι τὴν ταχίστην, καὶ τὴν πόλιν ἑαυτῶν ἐκ τῶν κινδύνων ῥύσασθαι. ἦν δὲ

1 Τὴν πατρίδα Reg. 1. tum ἐπέστρεψαν Venet.

2 Πραιτέξτατον Coislin. Reg. 1. Cett. Πρετέξτατον.

3 Κόσσον Reg. 1. *Cesum* interpr. vet. Vulgo Κένσον.

4 Χαλκιδαίων Clar.

redierunt. Athenienſibus vero aciem opponendi fiducia non erat, ſed rebus peſtilentiae morbo, & frumenti penuria, extreme afflictis, malas de reliquo belli eventu ſpes habebant. His ille annus geſtis memorabilis fuit.

LIII. Inde Praetor Athenis fuit Euclides, & Romani tres militares Tribunos iterum pro Conſulibus ſurrogarunt, M. Manlium, Q. Sulpitium Praetextatum, & Ser. Cornelium Coſſum; quando in Sicilia Leontini, a Chalcidenſibus illuc deducti, Athenienſium cognati, a Syracuſanis bello impetuntur. Cuius mole fatigati, & praevaleſcente Syracuſiorum potentia in periculum per vim capiendae urbis adducti, per legatos populum Athenienſium precibus ſollicitant, ut ſuppeditatis quam maturrime auxiliis, urbem ex periculis eripiant. Princeps inter

τῶν ἀπεσταλμένων ἀρχιπρεσβευτὴς Γοργίας ὁ ῥήτωρ, δεινότητι λόγου πολὺ προέχων πάντων τῶν καθ' ἑαυτόν. οὗτος καὶ τέχνας ῥητορικὰς πρῶτος ἐξεῦρε, καὶ κατὰ τὴν σοφιστείαν τοσοῦτον τοὺς ἄλλους [1] ὑπερέβαλεν, ὥστε μισθὸν λαμβάνειν παρὰ τῶν μαθητῶν μνᾶς ἑκατόν. οὗτος [2] οὖν καταντήσας εἰς τὰς Ἀθήνας, καὶ παραχθεὶς εἰς τὸν δῆμον, διελέχθη τοῖς Ἀθηναίοις περὶ τῆς συμμαχίας, καὶ τῷ ξενίζοντι τῆς λέξεως ἐξέπληξε τοὺς Ἀθηναίους, ὄντας εὐφυεῖς καὶ φιλολόγους. πρῶτος γὰρ ἐχρήσατο [3] τῆς λέξεως σχηματισμοῖς περιττοτέροις, καὶ τῇ φιλοτεχνίᾳ διαφέρουσιν ἀντιθέτοις καὶ ἰσοκώλοις [4] καὶ παρίσοις καὶ ὁμοτελεύτοις, καί τισιν ἑτέροις τοιούτοις, ἃ τότε μὲν διὰ τὸ ξένον τῆς κατασκευῆς ἀποδοχῆς ἠξιοῦτο, νῦν δὲ περιεργίαν ἔχειν δοκεῖ, καὶ φαίνεται καταγέλαστον,

missso oratore Gorgia, cuius eloquentiae indoles describitur.

1 Ὑπερέβαλλεν Reg. 2. Mox ὡς Coisl. & Clar.

2 Ἦν Coislin.

3 Τοῖς τῆς Reg. 1. a cett. prior articulus abest.

4 Duo haec omittit Reg. 1. Mox ὁμοιοτελεύτοις praestabit.

legatos erat Gorgias orator, qui dicendi facultate eloquentissimum quemque sua aetate supergressus est. Hic varias dicendi artes primus invenit, & in sapientis eloquentiae studio ac professione adeo supra alios eminuit, ut mercedis loco centum a singulis discipulis minas acciperet. Ille tunc Athenas ingressus, audientia apud populum impetrata, de societate iungenda orationem habuit, & novo peregrinoque dicendi artificio Athenienses, ingeniosos alioquin & eloquentiae deditos, adeo cepit, ut stupore quodam percellerentur. Primus namque eximias dictionis figuras, & singularis artificii antitheta, isocola, parisa, homoeoteleuta, & id genus alia quaedam lenocinia orationi suae adhibuit. Quae tunc quidem propter cultus novitatem admiratione digna habebantur. Sed nunc affectationem quandam nimis curiosam prae se ferre, risuque prosequenda esse, praesertim cum

πλεονάκις καὶ κατακόρως τιθέμενον. τέλος πείσας τοὺς Ἀθηναίους συμμαχῆσαι τοῖς Λεοντίνοις, οὗτος μὲν θαυμασθεὶς ἐν ταῖς Ἀθήναις ἐπὶ τέχνῃ ῥητορικῇ, τὴν εἰς Λεοντίνους ἐπάνοδον ἐποιήσατο.

Athenienses, Siciliae occupandae studio incitati, Leontinis classem ultro auxilio mittunt;

νδ'. Ἀθηναῖοι δὲ καὶ πάλαι μὲν ἦσαν ἐπιθυμηταὶ τῆς Σικελίας, διὰ τὴν ἀρετὴν τῆς χώρας, καὶ τότε δ' ἀσμένως προσδεξάμενοι τοὺς τοῦ Γοργίου λόγους, ἐψηφίσαντο συμμαχίαν ἐκπέμπειν τοῖς Λεοντίνοις, [1] πρόφασιν μὲν φέροντες τὴν τῶν συγγενῶν χρείαν καὶ δέησιν, τῇ δ' ἀληθείᾳ τὴν νῆσον σπεύδοντες κατακτήσασθαι. καὶ γὰρ οὐ πολλοῖς ἔτεσι πρότερον τῶν τε Κορινθίων καὶ τῶν Κερκυραίων διαπολεμούντων μὲν πρὸς ἀλλήλους, φιλοτιμηθέντων δ' ἀμφοτέρων συμμάχους λαβεῖν τοὺς Ἀθηναίους, προέκρινεν ὁ δῆμος συμμαχεῖν τοῖς Κερκυραίοις, διὰ τὸ τὴν Κέρκυραν εὐφυῶς κεῖσθαι πρὸς [2] τὸν εἰς Σικελίαν πλοῦν. καθόλου γὰρ οἱ Ἀθη-

1 Addit Coisl. οὗτος μὲν θαυμασθεὶς ἐν, absurde, repetitis ex superioribus vocabulis.

2 Τὸν τῆς Σικελίας Reg. 1.

saepius & ad fastidium quidpiam iteres, iudicantur. Persuasa tandem Atheniensibus Leontinorum societate, Gorgias, cum magnam sui admirationem dicendi sollertia Athenis excitasset, reditum ad Leontinos instituit.

LIV. Athenienses vero iam olim capessendae Siciliae cupiditas, ob incredibilem terrae fertilitatem, incesserat. Lubenter ergo Gorgiae suasionem tunc amplexi, subsidia Leontinis ferenda decernunt. Praetextus quidem erant & gentilium necessitas, & auxiliariorum imploratio, sed re ipsa insulam suae potestatis facere properabant. Nam haud multis ante id tempus annis, bello inter Corinthios & Corcyraeos excitato, cum utrique Atheniensium societatem ambirent, Corcyraeis auxilio veniendum esse populus scivit, quod Corcyra peropportune ad traiectum in Siciliam sita esset. Summa rei est:

ναῖοι κατακτησάμενοι τὴν [1] τῆς θαλάττης ἡγεμονίαν, καὶ μεγάλας πράξεις ἐπιτελεσάμενοι, συμμάχων τε πολλῶν εὐπόρουν, καὶ [2] δυνάμεις ἐπιτελεσάμενοι, μεγίστας ἐκέκτηντο πόλεις· καὶ χρημάτων τε πλῆθος ἕτοιμον παρέλαβον, μετακομίσαντες ἐκ Δήλου τὰ κοινὰ χρήματα τῶν Ἑλλήνων, ὄντα πλείω τῶν μυρίων ταλάντων· ἡγεμόσι τε μεγάλοις καὶ διὰ στρατηγίαν δεδοκιμασμένοις ἐχρήσαντο, καὶ διὰ τούτων ἁπάντων ἤλπιζον [3] καταπολεμήσειν μὲν τοὺς Λακεδαιμονίους, πάσης δὲ τῆς Ἑλλάδος τὴν ἡγεμονίαν περιπεποιημένοι, ἀνθέξεσθαι τῆς Σικελίας. διὰ ταύτας οὖν τὰς αἰτίας ψηφισάμενοι βοηθεῖν τοῖς Λεοντίνοις, ἐξέπεμψαν εἰς τὴν Σικελίαν ναῦς ἑκατὸν, καὶ στρατηγοὺς Λάχητα καὶ [4] Χαροιάδην. οὗτοι δὲ πλεύσαντες εἰς τὸ Ῥήγιον, προσελάβοντο ναῦς ἑκατὸν παρὰ τῶν Ῥηγίνων καὶ τῶν Χαλκιδέων [5] ἀποί-

1 Non eſt in Clar.

2 Δυνάμεις ἐπιτελεσάμενοι, μεγίστας &c. Sic bene diſtinguit Reg. 2. Vulgo poſt μεγίστας diſtinguebatur.

3 Καταπρονομήσειν Reg. 1. Vat.

4 Χαριάδην Coislin. Χαροιάδην Vat. Χοιριάδην Reg. 1. *Charondem* vet. interpr. Vulgo Χαβρίαν.

5 Abeſt ὄντων, quod cett. addebant, Reg. 1. & Coisl. habetque defectus notam in Steph. ed.

Athenienſes, imperio maris iam occupato, rebuſque magni momenti hic illic peractis, ſociorum multitudine abundabant, magniſque opum & militum copiis inſtructi, maximas ſub imperio urbes habebant, magna etiam pecuniarum vis in promtu illis erat, quas ex communi Graecorum aerario in Delo ad ſe tranſtulerant, quarum ſumma X M. talentûm excedebat. Quid? quod magnis & in re bellica probatiſſimis ducibus utebantur. His omnibus ergo inflatus Athenienſium populus, Spartanos ſe debellaturum, & ſic acquiſito totius Graeciae principatu, Siciliam quoque ſibi vindicaturum confidebat. His igitur de cauſis decreto Leontinis ſubſidio, C in Siciliam naves Lachete ac Charoeade ducibus mittunt. Hi Rhegium avecti, C naves, a Rheginis & Chalcidenſium co-

κων· ἐντεῦθεν δ᾽ ὁρμώμενοι, τὸ μὲν πρῶτον τὰς Λιπαραίων νήσους κατέδραμον, (διὰ τὸ συμμαχεῖν τοὺς Λιπαραίους τοῖς Συρακουσίοις·) μετὰ δὲ ταῦτα ἐπὶ Λοκροὺς πλεύσαντες, καὶ πέντε νεῶν Λοκρίδων κυριεύσαντες, φρούριον ἐπολιόρκησαν. ἐπιβοηθησάντων δὲ τῶν πλησιοχώρων Σικελῶν τοῖς Μυλαίοις, ἐγένετο μάχη, καθ᾽ ἣν Ἀθηναῖοι νικήσαντες ἀπέκτειναν μὲν πλείους τῶν χιλίων, ἐζώγρησαν δὲ οὐκ ἐλάττους τῶν ἑξακοσίων. εὐθὺς δὲ [1] καὶ τὸ φρούριον ἐκπολιορκήσαντες κατέσχον. τούτων δὲ πραττομένων, [2] κατέπλευσαν νῆες τετταράκοντα, ἃς ἀπέστειλεν ὁ δῆμος, κρίνων γενναιότερον ἅπτεσθαι τοῦ πολέμου. ἡγεῖτο δ᾽ αὐτῶν Εὐρυμέδων καὶ Σοφοκλῆς. ἀθροισθεισῶν δὲ τῶν [3] τριήρων εἰς ἕνα τόπον, ἀξιόλογος ἤδη στόλος κατεσκεύαστο, συγκείμενος ἐκ τριήρων πεντήκοντα καὶ [4] διακοσίων. τοῦ δὲ πολέμου χρονίζοντος, οἱ Λεοντῖνοι δια-

sed res legatione transacta.

1 Hoc eandem notam habet, neque est in utroque Reg. & Clar.
2 Ἀπέστειλεν ὁ δῆμος ναῦς τεσσαράκοντα, κρίνων omissis reliquis Reg. 1. ναῦς habet etiam Coisl.
3 Τριήρεων Reg. 2. & Clar. moxque iterum.
4 Τρεῖς Coisl. prave.

lonis traditas, classi adiiciunt, & inde profecti Liparensium insulas excursatione vexant, quoniam Syracusanis illae studebant. Postea Locros petunt, & quinque navibus Locrensium captis, quoddam illorum castellum obsident. Cumque Siculorum finitimi Mylaeis auxilio venirent, conseritur pugna, in qua superiores Athenienses M hostium & amplius caedunt, nec pauciores sexcentis viros capiunt. Mox etiam castello, per vim expugnato, potiuntur. Dum haec geruntur, naves XL adveniunt, quas populus Atheniensis miserat, ut maiori bellum strenuitate gereretur. His praeerant Eurymedon & Sophocles. Contractis igitur unum in locum triremibus, classis haud contemnenda, utpote CCL triremibus constans, instructa videbatur. Sed dum bellum diu-

πρεσβευσάμενοι πρὸς τοὺς Συρακουσίους διελύθησαν. διόπερ αἱ μὲν τῶν Ἀθηναίων τριήρεις ἀπέπλευσαν εἰς τὴν οἰκείαν· οἱ δὲ Συρακούσιοι τοῖς Λεοντίνοις μεταδόντες τῆς πολιτείας, ἅπαντας Συρακουσίους ἐποίησαν, καὶ τὴν πόλιν φρούριον ἀπέδειξαν τῶν Συρακουσίων. καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

νε΄. Κατὰ δὲ τὴν Ἑλλάδα Λέσβιοι μὲν ἀπέστησαν ἀπὸ τῶν Ἀθηναίων. ἐνεκάλουν γὰρ αὐτοῖς ὅτι βουλομένων [1] συνοικίζειν πάσας τὰς κατὰ τὴν Λέσβον πόλεις, εἰς τὴν Μιτυληναίων πόλιν διεκόμισαν. διὸ καὶ πρὸς Λακεδαιμονίους ἀποστείλαντες πρεσβευτὰς, καὶ συμμαχίαν συνθέμενοι, [2] συνεβούλευον τοῖς Σπαρτιάταις ἀντέχεσθαι τῆς κατὰ θάλατταν ἡγεμονίας. πρὸς ταύτην δὲ τὴν ἐπιβολὴν ἐπηγγείλαντο πολλὰς τριήρεις εἰς τὸν πόλεμον παρέξεσθαι. ἀσμένως δὲ τῶν Λακεδαιμονίων ὑπακουσάντων, καὶ περὶ τὴν κατασκευὴν

In Graecia Lesbii ab Athenienfibus abalienati in focietatem Lacedaemorum transierant,

1 Poft hoc verbum ingens hiatus eft in Reg. 1.

2 Συνεβουλεύοντο Reg. 2.

tius trahitur, Leontini per legatos cum Syracufanis rem componunt. Athenienfium proinde triremes domum renavigant. At Syracufani receptos in civitatem Leontinos, municipes fuos fecerunt univerfos, urbe vero illorum pro caftello deinceps ufi funt. Et hic rerum in Sicilia tum ftatus erat.

LV. In Graecia interim Lesbii ab Athenienfibus defecerunt. Crimini enim illis dabant, quod omnium in Lesbo urbium commigratione decreta, Mitylenen illas tranftuliffent. Ob hanc etiam caufam miffis ad Lacedaemonios legatis, initaque cum eis focietate, ut maris imperium ad fe pertrahant, confilium fubiiciunt. Ad quod inceptum bello perfequendum multas fe illis triremes fubminiftraturos pollicentur. Cupidis haec auribus excipiunt Spartani, dumque in apparandis triremibus occupati funt,

confestim missis copiis subacti.

τῶν [1] τριήρων γενομένων, Ἀθηναῖοι φθάσαντες αὐτῶν τὴν παρασκευὴν, παραχρῆμα δύναμιν ἐξέπεμψαν εἰς τὴν Λέσβον, πληρώσαντες ναῦς τετταράκοντα, καὶ στρατηγὸν προχειρισάμενοι Κλεινιππίδην. οὗτος δὲ [2] προσλαβόμενος βοήθειαν παρὰ τῶν συμμάχων, κατέπλευσεν εἰς τὴν Μιτυλήνην. γενομένης δὲ ναυμαχίας, οἱ μὲν Μιτυληναῖοι λειφθέντες συνεκλείσθησαν εἰς πολιορκίαν. τῶν δὲ Λακεδαιμονίων ψηφισαμένων βοηθεῖν τοῖς Μιτυληναίοις, καὶ παρασκευαζομένων στόλον ἀξιόλογον, ἔφθασαν Ἀθηναῖοι ναῦς ἄλλας σὺν ὁπλίταις χιλίοις ἀποστείλαντες εἰς Λέσβον. τούτων δ' ἡγούμενος Πάχης ὁ Ἐπικλήρου, καταντήσας εἰς Μιτυλήνην, καὶ τὴν προϋπάρχουσαν δύναμιν παραλαβὼν, περιετείχισε τὴν πόλιν, καὶ συνεχεῖς προσβολὰς ἐποιεῖτο, οὐ μόνον κατὰ γῆν, ἀλλὰ καὶ κατὰ θάλατταν. Λακεδαιμόνιοι δὲ ἐξαπέστειλαν εἰς τὴν Μιτυλήνην τριήρεις μὲν [3] τετταρακονταπέντε, καὶ στρατη-

1 Τριήρεων Reg. 2. & Clar.
2 Προσλαβὼν Coislin.
3 Τετταρ. καὶ πέντε Clar.

Athenienses, conatus illorum anticipantes, completis XL navibus, & Clinippide illis praefecto, sine mora exercitum in Lesbum traiicere iubent. Ille sociorum auxiliis interim adscitis, versus Mitylenen vela facit. Commisso tunc proelio navali, Mitylenaei fusi victique obsidione cinguntur. Lacedaemonii quidem opem ferre Mitylenaeis constituerant, & classem iam lectissimam adornarant. Sed Athenienses aliis navibus, cum M armatorum manu, in Lesbum transmissis, praevenerunt. Dux huius expeditionis erat Paches Epicleri filius. Is Mitylenen delatus, assumto priore exercitu, urbem circumquaque arctius premit, & assiduo illam oppugnatu terra marique fatigat. Interim Lacedaemonii XLV triremes, praetore Alcida, Mitylenaeis subsidio mittunt, & Atticam cum socio-

γὸν Ἀλκίδαν· εἰς δὲ τὴν Ἀττικὴν εἰσέβαλον μετὰ τῶν συμμάχων. ἐπελθόντες δὲ [1] καὶ τοὺς παραλελειμμένους τόπους τῆς Ἀττικῆς, καὶ δῃώσαντες τὴν χώραν, ἐπανῆλθον εἰς τὴν οἰκείαν. Μιτυληναῖοι δὲ τῇ σιτοδείᾳ, καὶ τῷ πολέμῳ πιεζόμενοι, καὶ στασιάζοντες πρὸς ἀλλήλους, καθ᾽ ὁμολογίαν παρέδωκαν τὴν πόλιν τοῖς πολιορκοῦσιν. ἐν δὲ ταῖς Ἀθήναις τοῦ δήμου βουλευομένου ὡς χρὴ προσενέγκασθαι τοῖς Μιτυληναίοις, Κλέων ὁ δημαγωγὸς, ὠμὸς ὢν τὸν τρόπον καὶ βίαιος, παρώξυνε τὸν δῆμον, ἀποφαινόμενος δεῖν τοὺς Μιτυληναίους αὐτοὺς μὲν ἡβηδὸν ἅπαντας ἀποκτεῖναι, τέκνα δὲ καὶ γυναῖκας ἐξανδραποδίσασθαι. τέλος δὲ πεισθέντων τῶν Ἀθηναίων, κατὰ τὴν γνώμην τε τοῦ Κλέωνος ψηφισαμένων, ἀπεστάλησαν εἰς τὴν Μιτυλήνην οἱ τὰ δοχθέντα τῷ δήμῳ δηλώσοντες τῷ στρατηγῷ. τοῦ δὲ Πάχητος ἀναγνόντος τὸ ψήφισμα, ἦλθεν ἐναντίον τῷ [2] προτέρῳ. ὁ δὲ Πάχης γνοὺς τὴν

1 Non eſt in Reg. 2. notaturque aſteriſco in edd.

2 Πρότερον Coislin. quo quidem non indigemus.

rum auxiliis denuo invadunt: adortique loca hactenus integra, cum regionem hoſtili populatione foede devaſtaſſent, in ſua remearunt. At Mitylenaei tam fame, quam bello, preſſi, inteſtinis praeterea diſſidiis afflicti, certa conditione urbis deditionem faciunt. Tum Athenis a populo conſultatio initur, quid Mitylenaeis faciendum ſit. Ibi Cleon orator, homo crudelis & violentus, hac populum ſententia concitat: Mitylenaeos ad unum omnes, qui pubertatis annos ſuperaſſent, trucidandos, liberoſque ipſorum & uxores venumdandos eſſe. Perſuaſi tandem Athenienſes, pro ſententia Cleonis ſuffragia tulerunt, legatoſque Mitylenen, qui decretum hoc copiarum praefecto nuntiarent, miſere. Cumque Paches iam plebiſcitum legeret, aliud priori contrarium ſupervenit. Paches

μετάνοιαν τῶν Ἀθηναίων, ἐχάρη, καὶ τοὺς Μιτυληναίους συναγαγὼν εἰς ἐκκλησίαν, ἀπέλυσε τῶν ἐγκλημάτων, ἅμα δὲ καὶ τῶν μεγίστων φόβων. Ἀθηναῖοι δὲ τῆς Μιτυλήνης τὰ τείχη περιελόντες, τὴν Λέσβον ὅλην πλὴν τῆς Μηθυμναίων χώρας κατεκληρούχησαν. ἡ μὲν οὖν Λεσβίων ἀπόστασις ἀπ' Ἀθηναίων τοιοῦτον ἔσχε τὸ τέλος.

Plataeae a Lacedaemoniis obsessae,

νϛ'. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους Λακεδαιμόνιοι τὰς Πλαταιὰς πολιορκοῦντες, περιετείχισαν τὴν πόλιν, καὶ στρατιώταις πολλοῖς παρεφύλαττον. χρονιζούσης δὲ τῆς πολιορκίας, καὶ τῶν Ἀθηναίων μηδεμίαν ἐξαποστελλόντων βοήθειαν, [1] οἱ πολιορκούμενοι σιτοδείᾳ τε συνείχοντο, καὶ τῶν πολιτῶν ἐν ταῖς προσβολαῖς πολλοὺς ἀποβεβλήκεισαν. ἀπορουμένων δ' αὐτῶν, καὶ βουλευομένων περὶ τῆς σωτηρίας, τοῖς μὲν πολλοῖς ἐδόκει τὴν ἡσυχίαν ἄγειν, τοῖς δ' ἄλλοις, ὡς

1 Desit eidem.

igitur, cognita populi poenitentia, non parum gavisus, Mitylenaeos in concionem adductos, criminibus simul & maximis terroribus liberavit. Athenienses vero, dirutis Mitylenes circumquaque moenibus, Lesbum totam, exceptis Methymnaeorum agris, sorte diviserunt. Hunc igitur defectio Lesbiorum ab Atheniensibus exitum habuit.

LVI. Per idem tempus Lacedaemonii, Plataearum obsidione adhuc occupati, urbem muro castellisque cinxerant, & validis militum excubiis asservabant. Sed obsidione longius extracta, cum nihil interim subsidii ab Atheniensibus veniret, cibariorum inopia obsessi premebantur, & magna civium pars inter crebras oppugnationes deperdita erat. Haesitantibus igitur cunctis, ac de incolumitate sua consilia capessentibus, multis quietem agere consultissimum videbatur. Aliis vero, ducen-

διακοσίοις οὖσιν, ἔδοξε νυκτὸς βιάσασθαι τοὺς φύλακας, καὶ διεκπεσεῖν εἰς τὰς Ἀθήνας. τηρήσαντες οὖν ἀσέληνον νύκτα, τοὺς μὲν ἄλλους ἔπεισαν εἰς θάτερα μέρη προσβάλλειν τῷ περιτειχίσματι· αὐτοὶ δ' ἑτοιμασάμενοι κλίμακας, καὶ τῶν πολεμίων [1] παραβοηθούντων ἐν τοῖς ἀπεστραμμένοις μέρεσι τῶν τειχῶν, αὐτοὶ διὰ τῶν κλιμάκων ἔτυχον ἀναβάντες ἐπὶ τὸ τεῖχος, καὶ τοὺς φύλακας ἀποκτείναντες διέφυγον εἰς τὰς Ἀθήνας. τῇ δ' ὑστεραίᾳ Λακεδαιμόνιοι μὲν παροξυνθέντες ἐπὶ τῷ δρασμῷ τῶν ἀπεληλυθότων ἐκ τῆς πόλεως, προσέβαλον τῇ πόλει τῶν Πλαταιέων, καὶ πᾶσαν εἰσεφέροντο σπουδὴν βίᾳ χειρώσασθαι τοὺς πολιορκουμένους· οἱ δὲ Πλαταιεῖς καταπλαγέντες καὶ διαπρεσβευσάμενοι, παρέδωκαν ἑαυτούς τε καὶ τὴν πόλιν τοῖς πολεμίοις. οἱ δ' ἡγεμόνες τῶν Λακεδαιμονίων καθ' ἕνα τῶν Πλαταιέων προσκαλούμενοι, ἐπηρώτων τί ἀγαθὸν πεποίηκε τοῖς Λακεδαιμονίοις. ἑκά-

& poſt deditionem deletae.

1 Βοηθούντων in ora Steph. Ven. & Reg. 2.

tis circiter, placuit, perruptis noctu vigiliis, Athenas fugam intendere. Illunem igitur noctem obſervantes, aliis perſuadent, ut murum hoſtilem altera ex parte oppugnent. Ipſi interea praeparatis ad hoc ſcalis, dum hoſtes ſuis in diverſa aggeris parte opitulantur, murum tranſcendunt, cuſtodibuſque interfectis, ſalvi Athenas evadunt. Poſtridie Lacedaemonii, hoc obſeſſorum ex urbe effugio graviter commoti, moenibus Plataeenſium copias admovent, & omne ſtudium huc conferunt, ut per vim obſeſſos quamprimum ſubigant. Plataeenſes itaque, ad tantam vim conſternati, per legationem ſe & urbem hoſtibus tradiderunt. Lacedaemoniorum autem duces arceſſitum e Plataeenſibus unumquemque interrogabant, quid unquam boni Lacedaemoniis praeſtitiſſet? cumque

στου δὲ ὁμολογοῦντος μηδὲν εὐηργετηκέναι, πάλιν ἐπηρώτων εἴ τι κακὸν ἔδρασαν τοὺς Σπαρτιάτας. οὐδενὸς δ' ἀντιλέγοντος, πάντων κατέγνωσαν θάνατον. διὸ καὶ τοὺς ἐγκαταλειφθέντας ἅπαντας ἀνεῖλον, καὶ κατασκάψαντες ἐμίσθωσαν τὴν χώραν. Πλαταιεῖς μὲν [1] οὖν τὴν πρὸς Ἀθηναίους συμμαχίαν βεβαιοτάτην τηρήσαντες, ἀδίκως ταῖς μεγίσταις συμφοραῖς περιέπεσον.

In insula Corcyra ingens seditio,

νζ. Ἅμα τούτοις πραττομένοις, ἐν τῇ Κερκύρᾳ μεγάλη συνέστη στάσις καὶ [2] φιλοτιμία, διὰ τοιαύτας αἰτίας. ἐν τῷ περὶ Ἐπίδαμνον πολέμῳ πολλοὶ Κερκυραίων αἰχμάλωτοι γενόμενοι, καὶ καταβληθέντες εἰς τὴν δημοσίαν φυλακήν, ἐπηγγείλαντο τοῖς Κορινθίοις παραδώσειν τὴν Κέρκυραν, ἐὰν αὐτοὺς ἀπολύσωσιν. ἀσμένως δὲ τῶν Κορινθίων προσδεξαμένων τοὺς λόγους, οἱ Κερκυραῖοι προσποιηθέντες λύτρα διδόναι, διεγ-

1 Deest Reg. 1. Clar. Vat. Reg. uterque cum Ven.
2 Φιλοτιμία marg. Steph. Coisl. Vulgo φιλονεικία.

singuli ingenue profiterentur, nullo rempublicam Spartanorum a se merito affectam, rursus percontantur, Num quid mali ipsis intulisset? Quod cum nemo inficias iret, cunctis mortem adiudicant. Quotquot igitur obsessorum reliqui manserant, necarunt, oppidoque exciso, agrum certo stipendio elocarunt. Ad hunc modum Plataeenses, dum Atheniensium societatem fide sanctissima tuentur, maximis circumventi malis indignissime perierunt.

LVII. Interea, dum haec fiunt, ingens in Corcyra seditio & lis civilis exorta est, his de causis. In bello ad Epidamnum multi ex Corcyraeis capti, dum in custodia publica detinentur, Corinthiis promittunt, se, modo vinculis exsoluti fuerint, Corcyram illis prodituros. Gratus hic sermo ad animos Corinthiorum accidit. Cum igitur per hospites suos pro multis talentis satisdedissent,

γυήθησαν ἀπὸ τῶν προξένων ἱκανῶν τινων ταλάντων ἀφεθέντες. καὶ τηροῦντες τὴν ὑπὸ τῶν [1] ὡμολογημένων πίστιν, ὡς κατήντησαν εἰς τὴν πατρίδα, τοὺς δημαγωγεῖν εἰωθότας καὶ μάλιστα τοῦ πλήθους προΐστασθαι, συλλαβόντες ἀπέσφαξαν. καταλύσαντες δὲ τὴν δημοκρατίαν, μετ' ὀλίγον χρόνον Ἀθηναίων βοηθησάντων τῷ δήμῳ, οἱ μὲν Κερκυραῖοι [2] τὴν ἐλευθερίαν ἀνακτησάμενοι, καὶ κολάζειν ἐπεβάλοντο τοὺς τὴν ἐπανάστασιν [3] πεποιημένους. οὗτοι δὲ φοβηθέντες τὴν τιμωρίαν, κατέφυγον ἐπὶ τοὺς τῶν θεῶν βωμοὺς, καὶ ἱκέται τοῦ δήμου καὶ τῶν θεῶν ἐγένοντο. *Athenienſium ope ſedata.*

νη'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Εὐθυδήμου Ῥωμαῖοι κατέστησαν ἀντὶ τῶν ὑπάτων χιλιάρχους τρεῖς, Μάρκον Φάβιον, Μάρκον Φαλίνιον, καὶ Λεύκιον Σερουΐλιον. ἐπὶ δὲ τούτων Ἀθηναῖοι χρόνον τινὰ τῆς νόσου τῆς λοιμικῆς ἀνειμένοι, πάλιν εἰς τὰς συμφορὰς ἐνέ- *Olymp. LXXXVIII, 3.* *Athenienſes nova vis morbi adoritur.*

1 Ὁμολογουμένων ora Steph. 
2 Τῆς ἐλευθερίας Reg. 1. 
3 Ποιουμένους idem.

quaſi pretium redemtionis perſolviſſent, dimittuntur. Pactorum ergo fidem ſervantes, quamprimum in patriam rediere, ductores populi, & inprimis multitudinis patronos, in vincula coniectos iugulant, & popularem reipublicae ſtatum evertunt. Sed non ita multo poſt, Athenienſium ope ſublevatus Corcyrenſis populus, libertatem recuperat, & meritas defectionis auctoribus poenas intentat. Hi ſuppliciorum metu ad aras Deorum confugiunt, & Diis populoque ſupplices facti, culpam deprecantur.

LVIII. Praeturam Athenis gerente Euthydemo, Romae iterum conſulari poteſtate creati ſunt Tribuni militum tres, M. Fabius, M. Foslius Flaccinator, & L. Sergius. Eo tempore Athenienſibus, cum vix dum aliquantiſper a peſtis graſſatione reſpiraſſent, idem morbus re-

πεσον. οὕτω γὰρ ὑπὸ τῆς νόσου [1] διετέθησαν, ὥστε τῶν στρατιωτῶν ἀποβαλεῖν μὲν ὑπὲρ τοὺς τετρακισχιλίους, ἱππεῖς δὲ τετρακοσίους, τῶν δ' ἄλλων ἐλευθέρων τε καὶ δούλων ὑπὲρ τοὺς μυρίους. ἐπιζητούσης καὶ τῆς ἱστορίας περὶ τὴν [2] νόσον δεινότητος αἰτίαν, ἀναγκαῖον ἐστὶν ἐκθέσθαι ταῦτα. προγεγενημένων ἐν τῷ χειμῶνι μεγάλων ὄμβρων, συνέβη τὴν γῆν ἔνυδρον γενέσθαι, πολλοὺς δὲ καὶ τῶν κοίλων τόπων δεξαμένους πλῆθος [3] ὑδάτων, λιμνάσαι καὶ σχεῖν στατὸν ὕδωρ, παραπλησίως τοῖς ἑλώδεσι τῶν τόπων· θερμαινομένων δ' ἐν τῷ θέρει τούτων καὶ σηπομένων, συνίστασθαι παχείας καὶ δυσώδεις ἀτμίδας· ταύτας δ' ἀναθυμιωμένας διαφθείρειν τὸν πλησίον ἀέρα. ὅπερ δὴ καὶ ἐπὶ τῶν ἑλῶν τῶν νοσώδη διάθεσιν ἐχόντων ὁρᾶται γινόμενον. συνεβάλετο δὲ πρὸς τὴν νόσον καὶ ἡ τῆς προσφερομένης τροφῆς κακία. ἐγένοντο γὰρ οἱ καρποὶ

Pestis causae referuntur,

1 Διεστάθησαν Coisl.

2 Νοῦσον idem Ionum more, sed quem auctor non probat.

3 Ὕδατος idem.

cruduit. Is tantopere illos afflixit, ut peditum ultra IV M. equites CCCC, tum ex cetera multitudine & liberorum capitum & servitutem servientium plusquam X M. amitterent. Iam, quia historiae ratio huius etiam morbi tantopere saevientis causas exigit, explicandi eas necessitas hoc loco nobis incumbit. Cum per hiemem magna vis imbrium decidisset, terra nimis humectata multis in locis, praesertim cavis, propter aquae receptae copiam, lacuum in modum stagnabat: lacunis vero illis postea aestatis calore incalescentibus & putrefactis, crassae hinc aurae, tetrique odoris nebulae coalescebant, quibus sursum evaporantibus, vicinus circum aër corruptus fuit, quod circa pestiferas non raro paludes accidere videtur. Luem praeterea istam adiuvit nutrimenti vitium. Anno

κατὰ τοῦτον τὸν ἐνιαυτὸν ἔνυγροι παντελῶς καὶ διεφθαρμένην ἔχοντες τὴν φύσιν. τρίτην δὲ αἰτίαν συνέβη γενέσθαι τῆς νόσου, τὸ μὴ πνεῦσαι τοὺς ἐτησίας, δι' ὧν [1] ἀεὶ κατὰ τὸ θέρος ψύχεται τὸ πολὺ τοῦ καύματος. τῆς δὲ θερμασίας ἐπίτασιν λαβούσης, καὶ τοῦ ἀέρος ἐμπύρου γενομένου, τὰ σώματα τῶν ἀνθρώπων, μηδεμιᾶς ψύξεως γενομένης, λυμαίνεσθαι συνέβαινε. διὸ καὶ τὰ νοσήματα τότε πάντα καυματώδη συνέβαινεν εἶναι, διὰ τὴν ὑπερβολὴν τῆς θερμασίας. διὰ δὲ ταύτην τὴν αἰτίαν οἱ πλεῖστοι τῶν νοσούντων ἔῤῥιπτον ἑαυτοὺς εἰς τὰ φρέατα καὶ τὰς κρήνας, ἐπιθυμοῦντες [2] αὐτῶν καταψύξαι τὰ σώματα. οἱ δ' Ἀθηναῖοι, διὰ τὴν ὑπερβολὴν τῆς νόσου, τὰς αἰτίας τῆς συμφορᾶς ἐπὶ τὸ θεῖον ἀνέπεμπον. διὸ καὶ κατά τινα χρησμὸν ἐκάθηραν τὴν νῆσον [3] Δῆλον, Ἀπόλλωνος μὲν οὖσαν ἱερὰν, δοκοῦσαν δὲ μεμιάνθαι, διὰ τὸ τοὺς

& quae ad placandos Deos facta ſint.

1 Omittit Clar.
2 Αὐτῶν ambo Reg.
3 Notam addidit Steph. nec eſt in Coisl. Reg. 1. & vet. interpr.

namque ſuperiori humectae nimium corruptaeque naturae fruges provenerunt. Acceſſerat etiam tertia mali cauſa, denegata Eteſiarum perſpiratio, quorum leni refrigeratione nimius aëris fervor perpetuo alias temperari ſolet. Intenſo igitur ſupra modum calore, aëreque inflammato, corpora hominum, quod refrigeratione ſolita carerent, vitium contrahebant; unde morbi omnes, ob immodicam caloris vehementiam, tunc aeſtuoſi erant. Et hinc accidit, ut plerique morbo correpti, reſtinguendi ardoris in corporibus ſuis deſiderio, in puteos ac fontes ſe deiicerent. Athenienſes ſane morbi tam atrociter graſſantis cauſas in numen retulerunt. Ideo pro oraculi cuiuſdam admonitu inſulam Apollini ſacram Delum, quod propter ſepulta inibi defunctorum cadavera inquinata

τετελευτηκότας ἐν αὐτῇ τεθάφθαι. ἀνασκάψαντες οὖν ἁπάσας τὰς ἐν τῇ Δήλῳ θήκας, μετήνεγκαν εἰς τὴν [1] Ῥήνειαν καλουμένην νῆσον, πλησίον ὑπάρχουσαν [2] τῆς Δήλου. ἔταξαν δὲ καὶ νόμον, μήτε τίκτειν ἐν τῇ Δήλῳ, μήτε θάπτειν. ἐποίησαν δὲ καὶ πανήγυριν τὴν τῶν Δηλίων, γεγενημένην μὲν πρότερον, διαλιποῦσαν δὲ πολὺν χρόνον.

Lacedaemonii, cum de novo Atticam invadere cuperent, terrae motibus deterriti sunt.

νθʹ. Τῶν δὲ Ἀθηναίων περὶ [3] ταῦτα ἀσχολουμένων, Λακεδαιμόνιοι τοὺς Πελοποννησίους παραλαβόντες, κατεστρατοπέδευσαν [4] περὶ τὸν Ἰσθμὸν, διανοούμενοι πάλιν εἰς τὴν Ἀττικὴν εἰσβαλεῖν. [4] γινομένων δὲ σεισμῶν μεγάλων, δεισιδαιμονήσαντες ἀνέκαμψαν εἰς τὰς πατρίδας. τηλικούτους δὲ συνέβη τοὺς σεισμοὺς γενέσθαι κατὰ πολλὰ μέρη τῆς Ἑλλάδος, ὥστε καὶ πόλεις τινὰς ἐπιθαλαττίους ἐπικλύσασαν τὴν θάλατ-

1 Ῥήνειαν Reg. 2. & Steph. ora. Ῥηνήαν Clar. Vulgo Ῥηνίαν.
2 Abest in Clar.
3 Ταῦτ' ἀσχολ. Coislin.
4 Εἰς τὸν margo Steph. & Clar. cum Reg. 2.
5 Σεισμῶν δὲ μεγάλων γινομένων Coisl. Reg. 1.

videretur, lustrarunt. Effossis igitur omnibus in Delo mortuorum conditoriis, urnas in vicinam Delo insulam, quam Rheneam appellitant, transtulere: lege insuper sancita, ne cui parere, neque sepelire in Delo, fas esset. Deliorum etiam festum Panegyricum, iam longo tempore desitum, instaurarunt.

LIX. Dum his religiose procurandis Athenienses distinentur, Lacedaemonii, accitis Peloponnesiorum auxiliis, ad Isthmum stativa habent, de invadenda rursus Attica rationes inter se tractantes. Sed magnis interim obortis terrae motibus, metu numinis deterriti, in suam quique patriam se receperunt. Tam horrendae vero tum terrae concussiones passim in multis Graeciae partibus acciderunt, ut superinfusa maris unda multis per litora urbi-

ταν διαφθεῖραι, καὶ κατὰ τὴν Λοκρίδα χερσονήσου καθεστώσης, ῥῆξαι μὲν τὸν ἰσθμὸν, ποιῆσαι δὲ νῆσον τὴν ὀνομαζομένην Ἀταλάντην. ἅμα δὲ τούτοις πραττομένοις Λακεδαιμόνιοι τὴν Τραχῖνα καλουμένην [1] ᾤκισαν, καὶ μετωνόμασαν [2] Ἡράκλειαν, διά τινας τοιαύτας αἰτίας· Τραχίνιοι πρὸς Οἰταίους ὁμόρους ὄντας ἔτη πολλὰ διεπολέμουν, καὶ τοὺς πλείους τῶν πολιτῶν ἀπέβαλον. ἐρήμου δ' οὔσης τῆς πόλεως, ἠξίωσαν Λακεδαιμονίους ὄντας ἀποίκους ἐπιμεληθῆναι τῆς πόλεως. οἱ δὲ καὶ διὰ τὴν συγγένειαν καὶ διὰ τὸ τὸν Ἡρακλέα πρόγονον [3] ἑαυτῶν ἐγκατῳκηκέναι κατὰ τοὺς ἀρχαίους χρόνους ἐν τῇ Τραχῖνι, ἔγνωσαν αὐτὴν μεγάλην ποιῆσαι πόλιν. διὸ καὶ Λακεδαιμονίων μὲν καὶ τῶν Πελοποννησίων τετρακισχιλίους οἰκήτορας ἐκπεμψάντων, παρά τε τῶν ἄλλων Ἑλλήνων τοὺς βου-

Trachinem nova colonia inftaurant & Heracleam nuncupant.

1 Ὤικησαν Coislin. Regius 1. prave.
2 Ἡρακλέαν Clar.
3 Ἑαυτῶν ἐγκατ. Coisl. Reg. 1. Vatic. Ceteri cum edd. ὄντα, nec fine nota tamen, interponunt.

bus vaftiffimis labem attulerit, &, cum Locridis antea tractus peninfula effet, perrupto violenter Ifthmo, infulam, quae Atalantae nomen gerit, effecerit. Interea, dum haec geruntur & accidunt, Lacedaemonii novis Trachinem colonis inftaurant, & mutato illam nomine Heracleam nuncupant. Caufa autem haec fuit. Trachinii, cum Oetaeis finitimis per multos annos bello difceptantes, maximam civium partem amiferant. Exhaufta igitur iam & prope defolata civitate, precibus a Lacedaemoniis contendunt, ut, quia coloni fui effent, curam frequentandae urbis fufciperent. Illi, quod & gentiles effent, & Hercules progenitor ipforum Trachinem prifcis temporibus incoluiffet, amplam ex ea civitatem efficere ftatuerunt. Ideo ex fuae civitatis & Peloponnefiorum ceterorum delectu IV millibus confcriptis, ex reliqua etiam Graecia, quicunque participes effe vellent, receptis, co-

λομένους μετέχειν τῆς ἀποικίας προσεδέξαντο. οὗτοι δ' ἦσαν οὐκ ἐλάττους τῶν ἑξακισχιλίων. διὸ καὶ τὴν Τραχῖνα μυρίανδρον ποιήσαντες, [1] καὶ τὴν χώραν κατακληρουχήσαντες, ὠνόμασαν τὴν πόλιν Ἡράκλειαν.

Olymp. LXXXVIII, 4.

ξ. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Στρατοκλέους, ἐν Ῥώμῃ ἀντὶ τῶν ὑπάτων χιλίαρχοι κατεστάθησαν τρεῖς, [2] Λεύκιος Φούριος Μέτελλος, Σπόριος Λεύκιος Πινάριος, [3] καὶ Ποστούμιος Ἄλβος. ἐπὶ δὲ τούτων Ἀθηναῖοι μὲν Δημοσθένη προχειρισάμενοι [4] στρατηγὸν μετὰ νεῶν τριάκοντα, καὶ στρατιωτῶν ἱκανῶν. οὗτος δὲ προσλαβόμενος παρὰ τῶν Κερκυραίων τριήρεις πεντεκαίδεκα, καὶ παρὰ τῶν Κεφαλλήνων, καὶ Ἀκαρνάνων, καὶ Μεσσηνίων τῶν ἐν Ναυπάκτῳ στρατιώτας, ἔπλευσεν ἐπὶ τὴν [5] Λευκάδα. δῃώσας δὲ τὴν

Classis Atticae, duce Demosthene, in Leucadem & Acarnaniam expeditio.

1 Quatuor, quae sequuntur, voces omittunt Reg. 1. Venet. Clar.

2 Λ. Φρούριος Coislin. & codex Card. Granvellani apud Pigh. ad an. CCCXXI, qui praeterea Γάϊος Μέτελος praeferebat. Λεύκιος, Σπόριος, Πινάριος. ἐπὶ δὲ Reg. 1.

3 Haec tria non legunt Coisl. & vet. interpr.

4 Non habent Coisl. & Reg. 1.

5 Ἑλλάδα. δῃώσαντες Coislin. Paullo ante Κεφαλλήνων Reg. 1. & vetus interpr. Vulgo una liquida scribebatur.

Ioniam illuc miserunt: quorum multitudo haud minor erat sex millibus. Trachinem itaque ad eam provexerunt amplitudinem, ut X M. virorum caperet. Tunc distributo per sortem agro, Heracleam ipsam denominarunt.

LX. Archonte post Athenis Stratocle, consulare rursus imperium commendatum est tribus militaribus Tribunis, L. Furio Medullino, L. Pinario Mamercino, & Sp. Postumio Albo. Quorum durante magistratu, ab Atheniensibus Demosthenes classis Praetor declaratus, cum navibus XXX, & delectis militum copiis, quibus Corcyraeorum triremes XV, & auxiliares Cephallenum, Acarnanum, & Messeniorum Naupactum incolentium adiunxerat, versus Laucadem contendit, agrosque Leucadio-

χώραν τῶν Λευκαδίων, ἀπέπλευσεν ἐπὶ τὴν Αἰτωλίαν, καὶ πολλὰς αὐτῶν κώμας ἐπόρθησε. τῶν δὲ Αἰτωλῶν συστραφέντων ἐπ' αὐτὸν, ἐγένετο μάχη, καθ' ἣν Ἀθηναῖοι λειφθέντες εἰς Ναύπακτον ἀπεχώρησαν. οἱ δὲ Αἰτωλοὶ διὰ τὴν νίκην ἐπαρθέντες, καὶ προσλαβόμενοι Λακεδαιμονίων τρισχιλίους στρατιώτας, στρατεύσαντες ἐπὶ Ναύπακτον, κατοικούντων ἐν αὐτῇ τότε Μεσσηνίων, ἀπεκρούσθησαν. μετὰ δὲ ταῦτα στρατεύσαντες ἐπὶ τὴν ὀνομαζομένην [1] Μολυκρίαν, εἷλον τὴν πόλιν. ὁ δὲ τῶν Ἀθηναίων στρατηγὸς Δημοσθένης, εὐλαβούμενος μὴ καὶ [2] τὸν Ναύπακτον ἐκπολιορκήσωσι, χιλίους ὁπλίτας ἐξ Ἀκαρνανίας μεταπεμψάμενος, ἀπέστειλεν εἰς τὸν Ναύπακτον. Δημοσθένης δὲ περὶ τὴν Ἀκαρνανίαν διατρίβων, περιέτυχεν [3] Ἀμπρακιώταις χιλίοις στρατοπεδεύουσι· πρὸς οὓς συνάψας μάχην, σχεδὸν [4] πάντας ἀνεῖλε. τῶν δὲ ἐκ τῆς Ἀμ-

1 Μολύκρειαν Clar. Reg. 2.
2 Τὸ Reg. 1.
3 Ἀμβρ. Coislin. fere semper. Vide Ioseph. Waſſe ad Thucydid. III, 105, & Palmerium II Graec. Ant. cap. 7.
4 Ἅπαντας Reg. 1.

rum depopulatus, reflexo in Aetoliam curſu, multos eius pagos diripuit & evaſtavit; ſed converſis in eum Aetolis, pugna conſeritur, qua ſuperati Athenienſes Naupactum ſe recipiunt. Aetoli, recente victoria elati, tribus Lacedaemoniorum millibus aſſumtis, contra Naupactum arma movent, quam tunc gens Meſſenia incolebat: ſed repelluntur. Expeditione hinc in Molucriam facta, urbe potiuntur. Athenienſium igitur praefectus Demoſthenes, veritus, ne etiam Naupactum expugnarent, mille armatos ex Acarnania arceſſitos, Naupactinis praeſidio mittit. Ipſe in Acarnania verſans, in M
Ambraciotas, caſtris locum deligentes, incidit, quos proelio adortus omnes ferme delevit. Cumque tota Ambra-

πρακίας ἐπεξελθόντων πανδημεὶ, πάλιν ὁ Δημοσθένης τοὺς πλείους αὐτῶν ἀπέκτεινεν, ὥστε τὴν πόλιν σχεδὸν ἔρημον γενέσθαι. ὁ μὲν οὖν Δημοσθένης ᾤετο δεῖν ἐκπολιορκῆσαι τὴν Ἀμπρακίαν, ἐλπίζων διὰ τὴν ἐρημίαν τῶν ἀμυνομένων, ῥᾳδίως αὐτὴν αἱρήσειν. οἱ δ' Ἀκαρνᾶνες φοβούμενοι μὴ τῆς πόλεως [1] Ἀθηναῖοι κυριεύσαντες, βαρύτεροι πάροικοι γένωνται τῶν Ἀμπρακιωτῶν, οὐκ [2] ἔφασαν ἀκολουθεῖν. στασιαζόντων δ' αὐτῶν, οἱ μὲν Ἀκαρνᾶνες διαλυσάμενοι τοῖς Ἀμπρακιώταις, συνέθεντο τὴν εἰρήνην ἔτη ἑκατόν. Δημοσθένης δ' ἐγκαταλειφθεὶς ὑπὸ τῶν Ἀκαρνάνων, ἀπέπλευσε σὺν ταῖς εἴκοσι ναυσὶν εἰς Ἀθήνας. Ἀμπρακιῶται δὲ ἐν μεγάλῃ συμφορᾷ περιπεπτωκότες, παρὰ τῶν Λακεδαιμονίων φρουρὰν μετεπέμψαντο, φοβούμενοι τοὺς Ἀθηναίους.

Inde in Peloponnesum Demosthenes transvectus

ξα'. Δημοσθένης δὲ στρατεύσας ἐπὶ Πύλον, ἐπεβάλετο τοῦτο τὸ χωρίον τειχίσαι κατὰ τὴν Πελοπόν-

1 Ἀθηναῖαι in Steph. ed. 2 Ἔφθασαν Vat.

ciotarum civitas copias suas in eum expedisset, maximam illorum multitudinem rursus caedit, adeo ut tota prope urbs exhausta desolaretur. Expugnandae igitur Ambraciae consilium inivit, facile defensoribus vacua se potiturum sperans. Verum Acarnanes, veriti, ne Athenienses, urbe in potestatem illorum redacta, graviores Ambraciotis vicinos experiantur, sequi Demosthenem amplius recusant. Seditione itaque excitata, cum Ambraciotis in gratiam redeunt Acarnanes, & pacem in annos C inter se faciunt. Demosthenes igitur ab societate Acarnanum desertus, cum viginti navibus Athenas remeavit. Tum Ambraciotae, calamitatem haud modicam experti, metu Atheniensium praesidium a Lacedaemoniis arcessunt.

LXI. Demosthenes autem, ducto ad Pylum exercitu, locum illum in Peloponnesum muro circumdare instituit.

νησον. [1] ἔστι γὰρ ὀχυρόν τε διαφερόντως, καὶ κείμενον ἐν τῇ Μεσσηνίᾳ· τῆς δὲ Μεσσηνίας [2] ἀπέχον σταδίους τετρακοσίους. ἔχων δὲ τότε καὶ ναῦς πολλὰς καὶ στρατιώτας ἱκανοὺς, ἐν εἴκοσιν ἡμέραις ἐτείχισε τὴν Πύλον. Λακεδαιμόνιοι δὲ πυθόμενοι τὸν τειχισμὸν τῆς Πύλου, συνήγαγον δύναμιν ἀξιόλογον, οὐ μόνον πεζικὴν, ἀλλὰ καὶ ναυτικήν. διὸ καὶ τριήρεσι μὲν ἐπὶ τὴν Πύλον ἔπλευσαν [3] τεσσαρακονταπέντε καλῶς κατεσκευασμέναις, πεζοῖς δὲ [4] ἐστράτευσαν μυρίοις καὶ δισχιλίοις· αἰσχρὸν ἡγούμενοι τοὺς τῇ Ἀττικῇ δῃουμένῃ μὴ τολμήσαντας βοηθεῖν, ἐν Πελοποννήσῳ χώραν τειχίζειν καὶ καταλαμβάνεσθαι. οὗτοι μὲν οὖν, ἡγουμένου Θρασυμήδους, πλησίον τῆς Πύλου κατεστρατοπέδευσαν. ἐμπεσούσης δὲ ὁρμῆς τῷ πλήθει πάντα κίνδυνον ὑπομένειν, καὶ βίᾳ χειρώσασθαι τὴν Πύλον, τὰς μὲν ναῦς ἀντιπρώρους ἔστησαν τῷ στόματι τοῦ

Pylum occupat & munit: quem locum Lacedaemonii recuperare frustra conantur.

1 Ἔτι Coisl.
2 Ἀπέχων Reg. 1.
3 Τεσσαράκοντα καὶ πέντε Reg. 2.
4 Ἐπεστράτ. Reg. 1. non male.

Valde enim natura ſua munitus eſt, & a Meſſenia quadringentis ſtadiis abeſt. Quare cum & naves multas, & numeroſas militum copias haberet, XX dierum ſpatio Pylum communivit. At Lacedaemonii, audita Pyli munitione, non terreſtres tantum, ſed etiam nauticas memorabili numero copias contraxerunt. Cum XLV ergo triremibus praeclare inſtructis, & XII millibus terra militantium, contra Pylum tendunt. Turpe enim videbatur, eos, qui Atticae, foedae populationis damna experienti, non ſuccurrere auderent, nunc locum intra Peloponneſum occupare, muroque & propugnaculis obfirmare. Thraſymede ergo duce non procul a Pylo caſtra locant. Ingens autem cupido quodvis periculum ſubeundi, modo Pylum ſubigerent, multitudinem inceſſerat. Naves igitur obverſis contra portus fauces proris ſtatuerunt, ut

λιμένος, ὅπως διὰ τούτων ἐμφράξωσι τὸν εἴσπλουν τῶν πολεμίων· πεζῇ δ' ἐκ διαδοχῆς προσβαλόντες τῷ τείχει, καὶ φιλοτιμίαν τὴν μεγίστην εἰσφερόμενοι, θαυμασίους ἀγῶνας ὑπεστήσαντο. εἰς δὲ [1] τὴν νῆσον τὴν καλουμένην Σφακτηρίαν, παρατεταμένην δ' ἐπὶ μῆκος, καὶ ποιοῦσαν εὔδιον τὸν λιμένα, διεβίβασαν τοὺς ἀρίστους τῶν Λακεδαιμονίων καὶ τῶν συμμάχων. τοῦτο δ' ἔπραξαν, φθάσαι βουλόμενοι τοὺς Ἀθηναίους προκαταλαβέσθαι τὴν νῆσον, εὐφυῶς σφόδρα [2] κειμένην πρὸς τὴν πολιορκίαν. διημερεύοντες δὲ ταῖς τειχομαχίαις, καὶ κατατιτρωσκόμενοι διὰ τὴν τοῦ τείχους ὑπεροχὴν, οὐκ ἔληγον τῆς βίας. διὸ πολλοὶ μὲν αὐτῶν ἀπέθνησκον, οὐκ ὀλίγοι δὲ κατετραυματίζοντο, πρὸς τόπον ὠχυρωμένον βιαζόμενοι. οἱ δὲ Ἀθηναῖοι προκατειλημμένοι χωρίον καὶ φύσει καρτερὸν, καὶ βελῶν τε πλήθει, καὶ τῶν ἄλλων τῶν χρησίμων πολ-

1 Duo haec omittit Reg. 1. 2 Διακειμένην Coislin.

hac portus obſtructione locum ingrediendi facultatem hoſtibus praeriperent. Pedeſtri autem manu per vices murum adorti, contentione obſtinatiſſima certamina mirifica ſuſtinuerunt. In vicinam praeterea inſulam, quae Sphacteria indigitatur, in longum ita porrectam, ut tranquillitatem portui conciliet, viros fortiſſimos e Lacedaemoniorum ſociorumque delectu expoſuerunt; idque hoc conſilio, ut occupatione loci, ad obſidionem commodiſſimi, Athenienſes praevenirent. Tametſi vero continua per ſingulos dies oppugnatione ſe defatigarent, & crebris vulneribus, quippe ex eminentibus muri propugnaculis, inceſſerentur, nihil tamen de conatus ſui violentia remittebant. Hinc multos interire, nec paucos ſauciari, dum vi locum munitiſſimum occupare nituntur, contigit. Athenienſes vero, quod locum natura firmum occupaſſent, telorumque ac rerum ceterarum ad

λὴν ἔχοντες ἀφθονίαν, ἐκθύμως ἠμύνοντο. ἤλπιζον γὰρ, κρατήσαντες τῆς ἐπιβολῆς, πάντα τὸν πόλεμον περιαγαγεῖν εἰς τὴν Πελοπόννησον, καὶ δῃώσειν [1] ἀνὰ μέρος τὴν χώραν τῶν [2] πολεμίων.

ξβʹ. Τῆς δὲ πολιορκίας ἀνυπέρβλητον τὴν σπουδὴν ἐχούσης παρ' ἀμφοτέροις, καὶ τῶν Σπαρτιατῶν βίᾳ [3] προσαγόντων τοῖς τείχεσι, πολλοὶ μὲν ἄλλοι κατὰ τὰς ἀνδραγαθίας ἐθαυμάσθησαν, μεγίστης δὲ ἀποδοχῆς ἔτυχε Βρασίδας. τῶν γὰρ τριηράρχων οὐ τολμώντων τῇ γῇ προσάγειν τὰς τριήρεις, διὰ τὴν χαλεπότητα τῶν τόπων, τριήραρχος ὢν ἐβόα καὶ παρεκελεύετο τῷ κυβερνήτῃ μὴ φείδεσθαι τοῦ σκάφους, ἀλλὰ [4] καὶ βίᾳ προσάγειν τῇ γῇ τὴν τριήρη. αἰσχρὸν γὰρ εἶναι τοῖς Σπαρτιάταις, τῆς μὲν ψυχῆς ἀφειδεῖν ἕνεκα τῆς νίκης, τῶν δὲ σκαφῶν φείδεσθαι, καὶ περιορᾷν Ἀθηναίους κρατοῦντας τῆς Λακωνικῆς. τέλος

Continuant Pyli oppugnationem Lacedaemonii.

Brasidae nobilissima virtus.

1 Ἀναμέρος Reg. 2.
2 Πελοποννησίων Coisl.
3 Προσαγαγόντων ora Steph. De loquendi genere ad lib. XI, 60.
4 Non est in Coislin. neque Reg. 1.

defensionem utilium copia abundarent, strenue hostem repellebant. Spes enim erat, si coeptum hoc absolvissent, fore, ut totam belli molem in Peloponnesum transferrent, ipsique agros hostium vicissim devastarent.

LXII. Interea dum summo in obsidione nixu res utrinque geritur, omnemque Spartani vim adhibent, cum alii non pauci virtutis laudem sibi conciliant, tum summum gloriae decus Brasidas est adeptus. Cum enim ceteri navium praefecti triremes terrae appellere, ob difficultatem non auderent; ipse, Trierarchi partes gerens, magno vociferatu gubernatorem iubet, instigat, urget, ut nihil navigio parcens, quanta vi possit, triremem ad litus impellat. Turpe enim fore Spartanis, si, cum animas victoriae impendant, scaphis parcant, & per vim Athenienses Laconia potiri interim patiantur. Coacto ad

δὲ συναναγκάσαντος τὸν κυβερνήτην προσαγαγεῖν τὴν ναῦν, ἡ μὲν τριήρης ἐπώκειλεν· ὁ δὲ Βρασίδας ἐπιβὰς ἐπὶ τὴν τῆς νεὼς ἐπιβάθραν, ἐκ ταύτης ἠμύνατο τὸ πλῆθος ἐπ' αὐτὸν συνδραμόντων Ἀθηναίων· καὶ τὸ μὲν πρῶτον τοὺς προσιόντας πολλοὺς ἀπέκτεινε, μετὰ δὲ ταῦτα πολλῶν ἐπ' αὐτὸν ἐπιφερομένων βελῶν, πολλοῖς [1] περιέπιπτεν ἐναντίοις τραύμασι· τέλος δὲ διὰ τῶν τραυμάτων αἵματος ἐκχυθέντος πολλοῦ, καὶ διὰ τοῦτο λειποψυχήσαντος αὐτοῦ, ὁ μὲν βραχίων [2] προέπεσεν ἐκ τῆς νεώς, ἡ δ' ἀσπὶς περιῤῥυεῖσα καὶ πεσοῦσα εἰς τὴν θάλασσαν, ὑποχείριος ἐγένετο τοῖς πολεμίοις. μετὰ δὲ ταῦτα οὗτος μὲν πολλοὺς τῶν πολεμίων νεκροὺς σωρεύσας, αὐτὸς ἡμιθανὴς ἐκ τῆς νεὼς ὑπὸ τῶν ἰδίων ἀπηνέχθη, τοσοῦτον τοὺς ἄλλους [3] ὑπερβαλόμενος ἀνδρίᾳ, ὥστε τῶν ἄλλων [4] τοὺς ἀποβαλόντας τὴν ἀσπίδα θανάτῳ κολάζεσθαι, τοῦτον δ' ἐπὶ τῇ αὐτῇ αἰτίᾳ ἀπενέγκασθαι δόξαν. οἱ μὲν οὖν Λακε-

1 Περιέπεσεν Reg. 1.
2 Προσέπεσεν Reg. 2. Clar.
3 Deſit Reg. 1.
4 Negligitur in Coiſl.

extremum gubernatore triremem terrae applicare, navis fundo inhaeſit, & Braſidas, fixos in foris pedes habens, inde hoſtium in ſe concurſantium agmen propulſat. Ac primo quidem aggreſſu multos necat: ſed cum multis deinde iaculis impeteretur, multos adverſo corpore ictus excipit: magnaque tandem ſanguinis vi per vulnera erumpente, ipſe exhauſtus animo labaſcit, & prolapſante extra navim brachio, clypeus a laeva deſtitutus in mare decidit, eoque hoſtes potiuntur. Tum ipſe, acervis hoſtium coaggeratis, ſemianimis iacens a ſuis tandem navi exportatur, adeo ceteros virtute ſupergreſſus, ut cum alii amiſſi clypei dedecus capite luerent, ipſe ſummum ob hoc gloriae decus retulerit. Nihilominus tamen La-

δαιμόνιοι συνεχεῖς προσβολὰς ποιούμενοι τῇ Πύλῳ, καὶ πολλοὺς ἀποβαλόντες στρατιώτας, ἔμενον καρτερῶς ἐν τοῖς δεινοῖς. Θαυμάσαι δ' ἄν τις τῆς τύχης τὸ παράδοξον, καὶ τὴν ἰδιότητα τῆς περὶ τὴν Πύλον διαθέσεως. Ἀθηναῖοι μὲν γὰρ, ἐκ τῆς Λακωνικῆς ἀμυνόμενοι τοὺς Σπαρτιάτας, ἐκράτουν· Λακεδαιμόνιοι δὲ, τὴν ἰδίαν χώραν ἔχοντες, ἐκ τῆς θαλάττης προσέβαλλον τοῖς πολεμίοις· καὶ τοῖς μὲν πεζῇ κρατοῦσι θαλαττοκρατεῖν συνέβαινε, τοῖς δὲ κατὰ θάλατταν πρωτεύουσι, τῆς γῆς ἀπείργειν τοὺς πολεμίους.

ξγ'. Χρονιζούσης δὲ τῆς πολιορκίας, καὶ τῶν Ἀθηναίων ταῖς ναυσὶν ἐπικρατησάντων, καὶ σῖτον εἰς τὴν γῆν εἰσκομίζειν κωλυόντων, ἐκινδύνευον οἱ κατειλημμένοι ἐν τῇ νήσῳ τῷ λιμῷ διαφθαρῆναι. διόπερ οἱ Λακεδαιμόνιοι φοβηθέντες περὶ τῶν ἀπειλημμένων ἐν τῇ νήσῳ, [1] πρεσβείαν ἀπέστειλαν εἰς τὰς Ἀθήνας περὶ τῆς καταλύσεως τοῦ πολέμου. οὐ συγκατατιθεμένων δ' αὐ- Lacedaemonii in insula Sphacteria fame coacti se dedunt.

1 Πρεσβείας in ora Steph. Coisl. Reg. 1.

cedaemonii assiduo Pylum conatu oppugnabant, & licet magnam suorum iacturam facerent, in proposito tamen quamlibet infelici persistebant. Hic admirabilem fortunae varietatem, & rei, quae ad Pylum evenit, insolentiam, merito quis obstupescat. Athenienses, ab ipsa Laconia Spartanos repellendo, superiores erant: Lacedaemonii, sua exclusi terra, mari cum hostibus conflictabantur, & terrestribus victoriis assueti, in mari potentes fiebant; contra maris principatum consecuti, a terra hostes prohibebant.

LXIII. Ceterum obsidione longius producta, cum praevalescens Atheniensium classis annonam terrae importari prohiberet, occlusi in insula famis extremae periculum incurrerunt. Lacedaemonii ergo, de obsessis anxii, legatos de componendo bello Athenas mittunt. Populo

τῶν, ἠξίουν ἀλλαγὴν ποιήσασθαι τῶν ἀνδρῶν, καὶ λαβεῖν τοὺς ἴσους τῶν Ἀθηναίων τῶν ἑαλωκότων. ἀλλ' οὐδὲν τούτων συνεχώρησαν οἱ Ἀθηναῖοι. διόπερ οἱ πρέσβεις παῤῥησίαν ἤγαγον ἐν ταῖς Ἀθήναις, ὡς ὁμολογοῦσι [1] Λακεδαιμονίους κρείττους εἶναι, μὴ βουλόμενοι τὴν ἀντίδοσιν τῶν αἰχμαλώτων ποιήσασθαι. οἱ δ' Ἀθηναῖοι τῇ σπάνει τῶν ἀναγκαίων καταπονήσαντες τοὺς ἐν τῇ Σφακτηρίᾳ, παρέλαβον αὐτοὺς καθ' ὁμολογίαν· ἦσαν δ' οἱ παραδόντες [2] αὐτοὺς, Σπαρτιᾶται μὲν ἑκατὸν εἴκοσι, τῶν δὲ συμμάχων ἑκατὸν ὀγδοήκοντα. οὗτοι μὲν ὑπὸ Κλέωνος τοῦ δημαγωγοῦ στρατηγοῦντος τότε δεθέντες, ἤχθησαν εἰς τὰς Ἀθήνας. ὁ δὲ δῆμος ἐψηφίσατο αὐτοὺς φυλάττειν, ἐὰν βούλωνται Λακεδαιμόνιοι λῦσαι τὸν πόλεμον· εἰ δὲ προκρίνωσι τὸ πολεμεῖν, τότε πάντας τοὺς αἰχμαλώτους ἀποκτεῖναι.

Pylus Messeniis

μετὰ δὲ [3] ταῦτα τῶν ἐν Ναυπάκτῳ κατοικησαμένων

1 Non legitur in Clar.
2 Αὐτοὺς Reg. ambo.
3 Abest a Reg. 1. In Coislin. additur μέν.

vero non assentiente, ut permutatio saltem fieret, & totidem captivos suorum reciperent, petebant. Sed cum nihil horum permitterent Athenienses, libero sermone inter ipsas Athenas Lacedaemonii protestati sunt, vel hoc confiteri Atheniensium populum, quod Spartanos se praestantiores aestiment, dum aequam captivorum permutationem admittere nolint. Rerum itaque necessariarum inopia debellatos in Sphacteria Lacedaemonios, in deditionem Athenienses receperunt. Fuere, qui tum sese dederunt, Spartani CXX, & sociorum CLXXX. Hi a Cleone, tum classis Praetore, vincti Athenas deportantur, eosque servandos populus decrevit, si bellum solvere Lacedaemonii velint: sin paci bellum praetulerint, iugulandos esse universos. Deinde Messeniorum, qui Naupactum

Μεσσηνίων μεταπεμψάμενοι τοὺς ἀρίστους, καὶ τῶν ἄλλων συμμάχων [1] τοὺς ἱκανοὺς, παρέδωκαν τὴν Πύλον φρουρεῖν. ἐνόμιζον γὰρ τοὺς Μεσσηνίους, διὰ τὸ πρὸς τοὺς Σπαρτιάτας μῖσος, ἐκθυμότατα κακοποιήσειν τὴν Λακωνικὴν, ὁρμωμένους ἐξ ὀχυροῦ χωρίου. καὶ τὰ μὲν κατὰ τὴν Πύλον ἐν τούτοις ἦν.

tutanda traditur.

ξδʹ. Ἀρταξέρξης δ' ὁ τῶν Περσῶν βασιλεὺς ἐτελεύτησεν, ἄρξας ἔτη τεσσαράκοντα. τὴν δ' ἀρχὴν διαδεξάμενος Ξέρξης ἐβασίλευσεν ἐνιαυτόν. κατὰ δὲ τὴν Ἰταλίαν Αἴκλων ἀποστάντων ἀπὸ Ῥωμαίων, κατὰ τὸν πόλεμον αὐτοκράτορα μὲν Αὖλον Ποστούμιον, ἵππαρχον δὲ Λεύκιον Ἰούλιον ἐποίησαν. οὗτοι δὲ μετὰ πολλῆς δυνάμεως ἀξιολόγου στρατεύσαντες εἰς τῶν ἀφεστηκότων τὴν χώραν, τὸ μὲν πρῶτον τὰς κτήσεις ἐπόρθησαν, μετὰ δὲ ταῦτα Αἴκλων ἀντιταχθέντων, ἐγένετο μάχη, καθ' ἣν ἐνίκησαν οἱ Ῥωμαῖοι. καὶ πολλοὺς μὲν τῶν πολεμίων ἀνεῖλον, οὐκ ὀλίγους δὲ ἐζώ-

In Persia Artaxerxi succedit Xerxes.

Aequi in Italia subacti a Romanis.

1 Τοὺς ἱκανοὺς Reg. 1. Hunc sequor, articulum addens.

incolebant, praestantissimos arcessunt, & idonea his sociorum manu adiuncta, Pylum utrisque defendendam tradunt; Messenios, ob infixum erga Spartanos odium, promtissime Laconiam infestaturos rati, praesertim cum ex validissimo castello eruptionem facerent. Et hoc tunc statu res ad Pylum erant.

LXIV. Artaxerxes vero Persarum rex interim vita excessit, annis XL in regno completis, eique Xerxes in imperio ad unum dumtaxat annum successit. In Italia cum Aequi Romanis rebellarent, Dictatorem ad hoc bellum crearunt A. Postumium, & Magistrum equitum L. Iulium. Qui selectissimis copiis in hostium terras progressi, initio in agros & villas grassantur. Mox, cum Aequi instructa acie se obiicerent, proelio victoriam obtinent Romani. Ingens tum hostium caedes edita, nec pauci ma-

γρησαν, λαφύρων δὲ πολλῶν ἐκυρίευσαν. μετὰ δὲ τὴν μάχην, οἱ μὲν ἀφεστηκότες, διὰ τὴν ἧτταν καταπεπληγμένοι, τοῖς Ῥωμαίοις ὑπετάγησαν· ὁ δὲ Ποστούμιος, δόξας καλῶς διῳκηκέναι τὰ κατὰ τὸν πόλεμον, κατήγαγε τὸν εἰωθότα θρίαμβον. ἴδιον δέ τι καὶ παντελῶς ἄπιστον φασὶ πρᾶξαι τὸν Ποστούμιον. κατὰ γὰρ τὴν μάχην τὸν υἱὸν αὐτοῦ διὰ τὴν προθυμίαν προεκπηδῆσαι τοῦ πατρὸς δεδομένης τάξεως. τὸν δὲ πατέρα, τηροῦντα τὸ πάτριον ἔθος, τὸν υἱὸν ὡς λελοιπότα τὴν τάξιν ἀποκτεῖναι.

Postumii triumphus & severitas in filium.

Olymp. LXXXIX, 1.

ξε'. Τούτου δὲ τοῦ ἔτους διελθόντος, Ἀθήνησι μὲν ἦν ἄρχων [1] Ἴσαρχος, ἐν δὲ τῇ Ῥώμῃ καθειστήκεισαν ὕπατοι Τῖτος Κοΐντιος καὶ Γάϊος Ἰούλιος, [2] παρὰ δὲ τοῖς Ἠλείοις Ὀλυμπιὰς ἤχθη ἐννάτη καὶ ὀγδοηκοστὴ, καθ' ἣν ἐνίκα στάδιον Σύμμαχος τὸ δεύτερον. ἐπὶ δὲ τούτων Ἀθηναῖοι στρατηγὸν [3] καταστήσαντες Νικίαν

Nicias, classi Atheniensium praefectus,

1 Ἵππαρχος margo Steph. Reg. 2. Clar. Venet. quem sequor. Cett. articulum non habent.

2 Παρὰ δὲ τοῖς solus Reg. 1. 3 Ἑλόμενοι Reg. 1. ex glossa.

nus victorum captivi subierunt: spoliorum etiam magna vis relata. Post conflictum statim Aequi, clade illa fracti, Romanorum se fidei submiserunt. Postumius vero, bellum hoc praeclare administrasse existimatus, ex more triumphum egit. Rarum quidpiam & minime credendum a Postumio perpetratum esse, fabulantur. Filium scilicet eius ardore quodam in pugna extra stationem a patre assignatam prosiluisse: illum vero, patrii moris observantissimum, capitali filium, ut ordinis desertorem, supplicio multasse.

LXV. Exacto isto anno, Isarchus Athenis summi Praetoris munus gerebat, & Romae Consules rempublicam capesserant T. Quintius & C. Iulius, cum LXXXIX Olympias apud Eleos celebraretur, qua Symmachus iterum stadio vicit. Tum Athenienses classi praeficiunt Niciam,

τὸν Νικηράτου, καὶ παραδόντες [1] αὐτῷ τριήρεις μὲν ἑξήκοντα, ὁπλίτας δὲ τρισχιλίους, προσέταξαν πορθῆσαι τοὺς Λακεδαιμονίων συμμάχους. οὗτος δ' ἐπὶ πρώτην τὴν Μῆλον πλεύσας, τήν τε χώραν ἐδῄωσε, καὶ τὴν πόλιν ἐφ' ἱκανὰς ἡμέρας ἐπολιόρκησεν· αὕτη γὰρ μόνη τῶν Κυκλάδων νήσων διεφύλαττε τὴν πρὸς Λακεδαιμονίους συμμαχίαν, ἄποικος οὖσα Σπάρτης. ὁ δὲ Νικίας, γενναίως [2] ἀμυνομένων τῶν Μηλίων, οὐ δυνάμενος ἑλεῖν τὴν πόλιν, ἀπέπλευσεν εἰς Ὠρωπὸν τῆς Βοιωτίας. ἐνταῦθα δὲ τὰς ναῦς ἀπολιπὼν, παρῆλθεν εἰς τὴν τῶν Ταναγραίων χώραν μετὰ τῶν ὁπλιτῶν, καὶ κατέλαβεν ἐνταῦθα δύναμιν ἑτέρων Ἀθηναίων, ἧς ἐστρατήγει Ἱππόνικος ὁ Καλλίου. συνελθόντων δὲ εἰς ταυτὸ τῶν στρατοπέδων ἀμφοτέρων, οὗτοι μὲν ἐπορεύοντο τὴν χώραν πορθοῦντες, τῶν δὲ Θηβαίων ἐκβοηθούντων, συνάψαντες αὐτοῖς μάχην οἱ Ἀθηναῖοι, καὶ πολλοὺς ἀνελόντες, ἐνίκησαν. μετὰ δὲ τὴν μάχην οἱ μεθ'

Lacedaemoniorum socios infestat, primo adortus Melum insulam;

divertit deinde in Oropum & Tanagraeorum regionem;

1 Abest Clar. & mox μέν. 2 Ἀμυνόμενων Clar.

Nicerati filium, traditisque LX triremibus, & III M. armatorum militum, Lacedaemoniorum socios armis infestare iubent. Hic statim Melum insulam adortus, agros vastat, & urbem per dies aliquot non paucos obsidet. Sola enim ex Cycladibus haec in societate ac fide Lacedaemoniorum firma perstabat, quod inde cultores accepisset. Cum igitur strenue se defenderent, Nicias expugnandi facultatem sibi deesse intelligens, ad Oropum Boeotiae traiecit, & relictis ibi navibus in Tanagraeorum territorium copias promovit, ubi novas Atheniensium copias assequitur, quibus Hipponicus, Calliae filius, praeerat. Utroque igitur agmine coniuncto, depopulatum agros pergunt. Cumque ad defensionem suorum Thebani procurrerent, pugna cum illis commissa Athenienses vincunt, nec exiguam profligatorum caedem faciunt.

Ἱππονίκου στρατιῶται τὴν [1] εἰς τὰς Ἀθήνας ἐπάνοδον ἐποιήσαντο. Νικίας δὲ παρελθὼν ἐπὶ τὰς ναῦς, παρέπλευσεν ἐπὶ τὴν Λοκρίδα, καὶ τὴν παραθαλάττιον χώραν πορθήσας, προσελάβετο παρὰ τῶν συμμάχων τριήρεις τεσσαράκοντα, ὥστε τὰς πάσας ἔχειν αὐτὸν ναῦς ἑκατόν. καταλέξας δὲ καὶ πεζοὺς στρατιώτας οὐκ ὀλίγους, καὶ δύναμιν ἀξιόλογον συστησάμενος, [2] ἔπλευσεν ἐπὶ τὴν Κόρινθον. ἀποβιβάσαντος δ' αὐτοῦ τοὺς στρατιώτας, καὶ τῶν Κορινθίων ἀντιταχθέντων, οἱ Ἀθηναῖοι δυσὶ μάχαις ἐνίκησαν, καὶ τρόπαιον ἔστησαν, πολλοὺς τῶν πολεμίων ἀνελόντες. ἐτελεύτησαν δ' ἐν τῇ μάχῃ τῶν Ἀθηναίων εἰς ὀκτὼ, τῶν δὲ Κορινθίων [3] πλείους τῶν τριακοσίων. ὁ δὲ Νικίας πλεύσας εἰς Κρομμυῶνα, τήν τε χώραν ἐδῄωσε, καὶ τὸ φρούριον ἐχειρώσατο. εὐθὺς δ' ἐπαναζεύξας, καὶ τειχίσας φρούριον ἐν τῇ Μεθώνῃ, φυλακὴν κατέλιπε, τὴν τὸ χωρίον ἅμα φυλάξουσαν, καὶ

poſt Corinthum petit,

1 Εἰς τὰς Ἀθήνας Reg. 1. quem probo; τὰς deſit edd.
2 Ἐπέπλευσεν Reg. 1.
3 Πλείους τῶν τριακοσίων marg. Steph. Coisl. Vat. Reg. 1. Edd. εἰς τριακοσίους καὶ πλείους, pro quo poſtremo καὶ πλείω Reg. 2.

Pugna confecta, ſuum Hipponicus exercitum Athenas reduxit. Sed Nicias, ad naves regreſſus, dum Locridis oras praeterlegens, maritima loca vaſtat, XL triremes a ſociis accipit: quae ad priores adiunctae, C navigiorum claſſem conſtituebant. Magno etiam militum delectu habito, inſignem exercitum collegit, cum quo Corinthum petit: ubi cum expoſitis militibus, ſuas Corinthii copias obieciſſent, Athenienſes bis hoſtem fundunt, multiſque interfectis tropaeum erigunt. Deſiderati ſunt eo proelio Athenienſium VIII, Corinthiorum plures CCC. Nicias inde verſus Crommyonem navigans, & agros populatur, & caſtellum ipſum capit. Mox retro motis copiis, & communito Methones caſtello, validum praeſidium, defenſionis cauſa, imponit, & totam in propinquo regionem

τὴν ἐγγὺς χώραν δῃώσουσαν. αὐτὸς δὲ τὴν παραθαλάττιον πορθήσας, ἐπανῆλθεν εἰς τὰς Ἀθήνας. μετὰ δὲ ταῦτα ἐπὶ Κύθηρα ναῦς ἀπέστειλαν [1] ἑξήκοντα, καὶ δισχιλίους ὁπλίτας, ὧν εἶχε τὴν στρατηγίαν Νικίας μετ' ἄλλων τινῶν. οὗτος δὲ στρατεύσας ἐπὶ τὴν νῆσον, καὶ προσβολὰς ποιησάμενος, παρέλαβε τὴν πόλιν καθ' ὁμολογίαν. ἐν δὲ τῇ νήσῳ καταλιπὼν φρουρὰν, ἐξέπλευσεν εἰς τὴν Πελοπόννησον, καὶ τὴν παραθαλάττιον χώραν ἐδῄωσε. καὶ Θυραίας μὲν κειμένας ἐν τοῖς μεθορίοις τῆς Λακωνικῆς καὶ τῆς [2] Ἀργείας ἐκπολιορκήσας, [3] κατέσκαψεν ἐξανδραποδισάμενος· τοὺς δ' ἐν αὐτῇ κατοικοῦντας Αἰγινήτας καὶ τὸν φρούαρχον Τάνταλον Σπαρτιάτην ζωγρήσας, εἰς τὰς Ἀθήνας [4] ἐξέπεμψεν. οἱ δὲ Ἀθηναῖοι τὸν μὲν Τάνταλον μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ τοὺς Αἰγινήτας [5] ἐν φυλακῇ κατεῖχον.

Cytheram insulam expugnat, & Peloponnesi agros multos devastat.

1 Ἑπτὰ Reg. 1. Coislin. In ora Steph. ἑκατόν.
2 Ἀργίας Coisl. Clar.
3 Ἐξηνδραποδίσατο καὶ κατέσκαψε margo Stephan. Coislin. Vatic. Reg. 1. non male.
4 Non est in Reg. 1. Coisl.
5 Et haec tria desunt Reg. 1. Coisl. & interpr. vet. qui defectum hunc notat.

diripit: ac tandem, evastatis tractibus maritimis, Athenas revertitur. Nec longum in medio tempus, cum populus LX naves & CIↃ CIↃ armatorum contra Cythera mittit, Nicia cum quibusdam aliis imperium gerente. Is, transvectis in insulam copiis, urbem non diu oppugnatam deditione in potestatem accepit, & relicto ad custodiam insulae praesidio, in Peloponnesum traiicit, & agros maritimos populationi infestos reddit. Thyreas etiam in confiniis Laconiae & Argolicae sitas ab expugnatione diruit, hominesque servituti mancipavit. Aeginetas autem illic habitantes, & Tantalum castelli praefectum Spartanum, captivos Athenas mittit: quos cum aliis captivis in vinculis Athenienses detinuerunt.

Megarenses, ob belli taedium, ad partes Atheniensium transeunt.

ξστ. Ἅμα δὲ τούτοις πραττομένοις, οἱ Μεγαρεῖς [1] ἐθλίβοντο τῷ πολέμῳ τῷ πρὸς τοὺς Ἀθηναίους καὶ τῷ πρὸς τοὺς ἄνδρας τοὺς φυγάδας. διαπρεσβευομένων δὲ πρὸς ἀλλήλους περὶ τούτων τῶν πολιτῶν, [2] τινὲς μὲν ἀλλοτρίως ἔχοντες πρὸς τοὺς φυγάδας, ἐπηγγείλαντο πρὸς τοὺς Ἀθηναίων στρατηγοὺς, προδώσειν τὴν πόλιν. οἱ δὲ στρατηγοὶ Ἱπποκράτης μὲν καὶ Δημοσθένης συνθέμενοι περὶ τῆς προδοσίας, ἐξέπεμψαν νυκτὸς στρατιώτας ἑξακοσίους εἰς τὴν πόλιν, καὶ οἱ συνθέμενοι παρεδέξαντο τοὺς Ἀθηναίους ἐντὸς τειχῶν. καταφανοῦς δὲ τῆς προδοσίας γενομένης κατὰ τὴν πόλιν, καὶ τοῦ πλήθους σχιζομένου κατὰ τὴν αἵρεσιν, καὶ τῶν μὲν συμμαχούντων τοῖς Ἀθηναίοις, τῶν δὲ βοηθούντων τοῖς Λακεδαιμονίοις, ἐκήρυξέ τις ἀφ᾽ ἑαυτοῦ, τοὺς βουλομένους τίθεσθαι τὰ ὅπλα μετὰ Ἀθηναίων καὶ Μεγαρέων. διόπερ τῶν Λακεδαιμονίων ἐγκαταλεί-

1 Ἐθλίβοντο Venet. quod amplector. Θλιβόμενοι edd.

2 Τινὲς μὲν solus Coisl. e quo ultimam voculam restitui Diodoro.

LXVI. Dum haec geruntur, Megarenses belli, quod & cum Atheniensibus & cum exsulibus gerendum erat, mole fatiscebant: cumque legati inter cives ultro citroque missitarentur, nonnulli cives exsulibus infensi, Atheniensium ducibus urbem se prodituros, pollicentur. Hippocrates ergo & Demosthenes, Atheniensium imperatores, proditionem cum Megarensibus pacti, sexcentos noctu milites ad urbem mittunt, quos proditores intra moenia recipiunt. Detecta autem fraude, in duas plebs factiones scinditur. Nam aliis Atheniensium societatem amplexari, aliis Lacedaemoniorum partes tueri placet. Interim sua sponte quidam praeconis vicem subiens proclamat, ut arma cum Atheniensibus & Megarensibus, quicunque velit, coniungat. Desertis igitur a Megaren-

πεσθαι μελλόντων ὑπὸ τῶν Μεγαρέων, συνέβη τοὺς φρουροῦντας τὰ μακρὰ τείχη καταλιπεῖν, εἰς δὲ τὴν καλουμένην [1] Νισαίαν (ἥπερ ἐστὶν ἐπίνειον τῶν Μεγαρέων) καταφυγεῖν. περιταφρεύσαντες δὲ αὐτὴν οἱ Ἀθηναῖοι ἐπολιόρκουν. μετὰ δὲ ταῦτα ἐκ τῶν Ἀθηναίων τεχνίτας προσλαβόμενοι, περιετείχισαν τὴν Νισαίαν. οἱ δὲ Πελοποννήσιοι φοβούμενοι μὴ κατὰ κράτος ἁλόντες ἀναιρεθῶσι, παρέδοσαν τὴν Νισαίαν τοῖς Ἀθηναίοις καθ᾽ ὁμολογίαν. καὶ τὰ μὲν κατὰ τοὺς Μεγαρέας ἐν τούτοις ἦν.

Arcem Niſaeam Athenienſes vi expugnant.

ξζʹ. Βρασίδας δὲ δύναμιν [2] ἱκανὴν ἀναλαβὼν ἔκ τε Λακεδαίμονος καὶ παρὰ τῶν ἄλλων Πελοποννησίων, ἀνέζευξεν ἐπὶ Μέγαρα. καταπληξάμενος δὲ τοὺς Ἀθηναίους, τούτους μὲν ἐξέβαλεν ἐκ τῆς Νισαίας, τὴν δὲ πόλιν τῶν Μεγαρέων ἐλευθερώσας, ἀποκατέστησεν εἰς τὴν τῶν Λακεδαιμονίων συμμαχίαν. αὐτὸς δὲ μετὰ [3] τῆς δυνάμεως διὰ Θετταλίας τὴν πορείαν ποιησάμε-

Sed Braſidas ſubito impetu Megaram recuperat,

1 Νησαίαν Reg. 2. fere perpetuo, ſicuti & Clar. Mox mallem ἐκ τῶν Ἀθηνῶν.

2 Ἀξιόλογον Reg. 1.

3 Deſit Clar.

ſibus hoc modo Lacedaemoniis, praeſidium, quod pro longis moenibus excubabat, relicta ſtatione in Niſaeam, quam vocant, (Megarenſium hoc navale eſt) confugit. Sed foſſa Athenienſes circumducta, caſtellum obſident. Nec multo poſt, accerſitis ex urbe fabris, muro Niſaeam includunt. Veriti ergo Peloponneſii, ne per vim expugnati trucidarentur, certa Niſaeam conditione Athenienſibus dedidere. Et in hoc tum ſtatu res Megarenſium erant.

LXVII. Braſidas autem, exercitu non modico e Sparta & ceteris Peloponneſi locis contracto, verſus Megaram contendit, & Athenienſes tam ſubito adventu perterrefactos ſtatim e Niſaea exturbat, urbemque libertati redditam ad priſtinam Lacedaemoniorum ſocietatem reducit. Tum itinere per Theſſaliam facto, Dium Mace-

Chalcidenses adiuvat, multosque Thraciae populos in societatem recipit. In Helotes atrocia Lacedaemoniorum consilia.

νος, ἧκεν εἰς Δῖον τῆς Μακεδονίας. ἐκεῖθεν δὲ παρελθὼν εἰς Ἄκανθον, συνεμάχησε τοῖς Χαλκιδεῦσι· καὶ πρώτην μὲν τὴν Ἀκανθίων πόλιν, τὰ μὲν καταπληξάμενος, τὰ δὲ καὶ λόγοις φιλανθρώποις πείσας, ἐποίησεν ἀποστῆναι τῶν Ἀθηναίων· ἔπειτα πολλοὺς καὶ τῶν ἄλλων τῶν ἐπὶ Θρᾴκης κατοικούντων προετρέψατο κοινωνεῖν μετὰ τῆς τῶν Λακεδαιμονίων συμμαχίας. μετὰ δὲ ταῦτα Βρασίδας βουλόμενος [1] ἐνεργότερον ἅψασθαι τοῦ πολέμου, μετεπέμπετο στρατιώτας ἐκ τῆς Λακεδαίμονος, σπεύδων [2] ἀξιολογώτερον συστήσασθαι δύναμιν. οἱ δὲ Σπαρτιᾶται, βουλόμενοι τῶν Εἱλώτων τοὺς κρατίστους ἀπολέσθαι, πέμπουσιν ἐξ αὐτῶν τοὺς μάλιστα πεφρονηματισμένους χιλίους, νομίζοντες ἐν ταῖς μάχαις τοὺς πλείστους αὐτῶν κατακοπήσεσθαι. ἔπραξαν δέ τι καὶ ἄλλο βίαιον καὶ ὠμὸν, δι᾽ οὗ ταπεινώσειν [3] ὑπελάμβανον τοὺς Εἵλωτας. ἐκήρυξαν γὰρ

1 Ἐναργότερον Reg. 1. ἐναργέστερον marg. Steph. Reg. 2. Clarom. Venet.

2 Ἀξιόλογον Coisl. Vat. Reg. 1. & ora Steph.

3 Ἔμελλον Coisl.

doniae pervenit. Inde Acanthum usque progressus, Chalcidensibus opem tulit, primamque Acanthiorum urbem partim minarum terrore, partim verborum blandimentis, ut a fide Atheniensium descisceret, adegit. Postea multos etiam alios Thraciae populos ad iungendam cum Lacedaemoniis belli societatem induxit. Hinc Brasidas, maiore bellum conatu persequi cupiens, milites Lacedaemone evocat: firmiorem enim exercitum contrahere properabat. Spartani ergo, quibus iam pridem Hilotum optimos quosque delere constitutum erat, mille ex eis, animorum celsitudine praesignes, illi mittunt, plerosque inter tot conflictus occisum iri sperantes. Sed & aliud quoddam violentiae & crudelitatis plenum facinus ab illis perpetratum fuit, quo Hilotum gentem extreme se profligaturos censebant. Praeconis voce edixerunt, ut,

ἀπογράφεσθαι τῶν Εἱλώτων τοὺς ἀγαθόν τι πεποιηκότας τῇ Σπάρτῃ, καὶ τούτους κρίναντες ἐλευθερώσειν ἐπηγγείλαντο. ἀπογραψαμένων δὲ [1] δισχιλίων, τούτους μὲν [2] προσέταξαν τοῖς κρατίστοις ἀποκτεῖναι κατ' οἶκον ἑκάστου. σφόδρα γὰρ εὐλαβοῦντο, μήποτε καιροῦ δραξάμενοι, καὶ μετὰ τῶν πολεμίων [3] ταχθέντες, εἰς κίνδυνον ἀγάγωσι τὴν Σπάρτην. οὐ μὲν ἀλλὰ τῷ Βρασίδᾳ παραγενομένων χιλίων Εἱλώτων, ἔκ τε συμμάχων στρατολογηθέντων συνέστη δύναμις [4] ἀξιόλογος.

ξη'. Διὸ καὶ θαῤῥήσας τῷ πλήθει τῶν στρατιωτῶν, ἐστράτευσεν ἐπὶ τὴν καλουμένην Ἀμφίπολιν. [5] ταύτην δὲ τὴν πόλιν πρότερον μὲν ἐπεχείρησεν οἰκίζειν Ἀρισταγόρας ὁ Μιλήσιος, φεύγων Δαρεῖον τὸν βασιλέα Περσῶν. ἐκείνου δὲ τελευτήσαντος, καὶ τῶν οἰκητόρων ἐκπεσόντων ὑπὸ Θρακῶν τῶν ὀνομαζομένων Ἠδωνῶν, μετὰ

Deinde Brasidas Amphipolin & propinqua alia loca occupat.

1 Χιλίων marg. Steph.
2 Προσέταξε Coisl.
3 Ταχέντες Clar. Reg. 2.
4 Ἀξιόχρεως Reg. 1. Vat.
5 Ταύτην μὲν οὖν —— πρότερον ἐπεχείρησεν Reg. 1.

quicunque Hilotum aliquo Spartam bono demeruiſſet, nomina profiterentur. Hos enim recenſos libertate ſe donaturos promittebant. Cum itaque ad CIↃ CIↃ in album relati eſſent, potentiſſimis inde intra privatos cuique lares obtruncandi illos negotium datum eſt. Ingens enim metus illos ceperat, ne quando occaſione arrepta cum hoſtibus ſe coniungerent, & magnum Spartae periculum crearent. Porro cum CIↃ iſti Hilotes, novique e ſociis delectus, Braſidae acceſſiſſent, egregium ille robur exercitus conflatum habebat.

LXVIII. Hoc igitur militum numero ac robore fretus, Amphipoli copias admovit. Hanc urbem Ariſtagoras quodam Mileſius colonis frequentare adorſus fuerat, cum Darium Perſarum regem fugeret. Sed illo exſtincto, habitatores a gente Thracum, cui Edonorum nomen eſt,

ταῦτα ἔτεσι δυσὶ πρὸς τοῖς τριάκοντα Ἀθηναῖοι μυρίους οἰκήτορας εἰς αὐτὴν ἐξέπεμψαν. ὁμοίως δὲ καὶ τούτων ὑπὸ Θρακῶν διαφθαρέντων περὶ Δράβησκον, διαλιπόντες ἔτη δύο, [1] πάλιν ἐκτήσαντο τὴν πόλιν, Ἀπίωνος ἡγουμένου. περιμαχήτου δ' αὐτῆς πολλάκις γεγενημένης, ἔσπευδεν ὁ Βρασίδας κύριος γενέσθαι τῆς πόλεως. διὸ καὶ στρατεύσας ἐπ' αὐτὴν ἀξιολόγῳ δυνάμει, καὶ στρατοπεδεύσας πλησίον τῆς γεφύρας, τὸ μὲν πρῶτον εἷλε τὸ προάστειον τῆς πόλεως, τῇ δ' ὑστεραίᾳ καταπληξάμενος τοὺς Ἀμφιπολίτας, παρέλαβε τὴν πόλιν, καθ' ὁμολογίαν, ὥστ' ἐξεῖναι τῷ βουλομένῳ τὰ ἑαυτοῦ λαβόντα ἀπελθεῖν ἐκ τῆς πόλεως. [2] εὐθὺς δὲ καὶ τῶν πλησιοχώρων πόλεων πλείονας προσηγάγετο, ἐν αἷς ἦσαν ἀξιολογώταται Σύμη καὶ Γαληψὸς, ἀμφότεραι Θασίων ἄποικοι, καὶ Μύρκινον Ἠδωνικὸν πολισμάτιον. ἐπεβάλετο δὲ καὶ ναυπηγεῖσθαι τριήρεις πλείους ἐπὶ τῷ Στρυμόνι ποταμῷ, καὶ στρα-

1 Omittit Cl. 2 Εὐθὺ Reg. 1. In Clar. sex sequentes voces deficiunt.

eiecti sunt. Post XXXII exinde annos Athenienses coloniam X M. hominum illuc miserunt. Sed his etiam Thracum Marte deletis circa Drabescum, interiecto biennio, urbem recuperarunt, Apione coloniae ductore. Urbem igitur crebro armis tentatam, Brasidas in potestatem redigere tum properabat. Ideo validissimo illam exercitu petens castra ad pontem collocat, & suburbio statim potitur. Postridie Amphipolitanis in summam trepidationem adductis, urbem etiam ipsam his pactis in deditionem accepit, ut, quicunque vellet, liberam exeundi cum rebus suis potestatem haberet. Mox plerasque etiam finitimorum urbes subegit, inter quas praecipui nominis erant Syme & Galepsus, utraque colonia Thasiorum, & Myrcinon, Edonorum oppidulum. Novis etiam triremibus animum condendis adiecit iuxta Strymonem fluvium, &

τιώτας ἔκ τε Λακεδαίμονος καὶ [1] παρὰ τῶν ἄλλων συμμάχων μετεπέμπετο. κατεσκεύαζε δὲ καὶ πανοπλίας πολλὰς, καὶ τοῖς ἀνόπλοις τῶν νέων ἀνεδίδου ταύτας, καὶ βελῶν καὶ σίτου καὶ τῶν ἄλλων ἁπάντων παρασκευὰς ἐποιεῖτο. ὡς δ' αὐτῷ πάντα παρεσκεύαστο, ἀνέζευξεν ἐκ τῆς Ἀμφιπόλεως μετὰ τῆς δυνάμεως, καὶ παραγενόμενος εἰς τὴν καλουμένην Ἀκτὴν, κατεστρατοπέδευσεν. ἐν ταύτῃ δ' ὑπῆρχον πέντε πόλεις, ὧν αἱ μὲν Ἑλληνίδες ἦσαν Ἀνδρίων ἄποικοι, αἱ δὲ εἶχον ὄχλον βαρβάρων διγλώττων Βισσαλτικῶν. ταῦτα δὲ χειρωσάμενος, ἐστράτευσεν ἐπὶ πόλιν Τορώνην, ἄποικον μὲν Χαλκιδέων, κατεχομένην δὲ ὑπὸ Ἀθηναίων. προδιδόντων δέ τινων τὴν πόλιν, ὑπὸ τούτων εἰσαχθεὶς νυκτὸς ἐκράτησε τῆς Τορώνης ἄνευ κινδύνων. τὰ μὲν οὖν κατὰ τὸν Βρασίδαν μέχρι τούτου προέβη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

1 Non eſt in Reg. 1. Mox κατασκεύαζε Clar.

nova militum ſupplementa a Lacedaemone, ceteriſque confoederatis accivit. Multas praeterea armaturas conficiendas curavit, quibus iuventutem inermem inſtruxit, telorumque ac frumenti, nec non aliorum apparatu ſibi proſpexit. Omnibus tandem recte procuratis, exercitum Amphipoli eduxit, & in locum, cui Acte nomen, profectus, ſtativa habuit. Oppida hic v erant, partim Graeci nominis Andriorum coloniis frequentata, partim a promiſcua Barbarorum turba, quos bilingues Biſſaltae propagaverant, inhabitata. His ſub iugum redactis, Toronen adortus eſt, a Chalcidenſibus quidem conditam, ſed Athenienſium iuriſdictioni tunc ſubiectam. Ubi proditione quorundam factum eſt, ut noctu intromiſſus citra periculum Torone potiretur. Et expeditio Braſidae eo quidem anno huc uſque provecta eſt.

Interea orta inter Boeotos discordia, cum Athenienses per insidias urbes occupare conantur,

ξθ΄. Ἅμα δὲ τούτοις πραττομένοις, περὶ τὸ Δήλιον ἐγένετο παράταξις κατὰ τὴν Βοιωτίαν, Ἀθηναίων πρὸς Βοιωτοὺς, διὰ τοιαύτας [1] τινὰς αἰτίας· τῶν Βοιωτῶν τινες δυσαρεστούμενοι τῇ τότε πολιτείᾳ, καὶ σπεύδοντες δημοκρατίας ἐν ταῖς πόλεσι καταστῆσαι, διελέχθησαν περὶ τῆς ἰδίας προαιρέσεως τοῖς Ἀθηναίων στρατηγοῖς Ἱπποκράτει καὶ Δημοσθένει, καὶ [2] κατεπηγγέλλοντο παραδώσειν τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις. ἀσμένως δὲ τῶν Ἀθηναίων προσδεξαμένων, περί τε τῶν κατὰ τὴν ἐπίθεσιν διοικήσεων διελομένων τῶν στρατηγῶν τὴν δύναμιν, Δημοσθένης μὲν τὸ πλεῖστον τοῦ στρατεύματος ἀναλαβὼν, ἐνέβαλεν εἰς τὴν Βοιωτίαν, καὶ καταλαβὼν τοὺς Βοιωτοὺς προνενοημένους τὴν προδοσίαν, ἄπρακτος ἀπῆλθεν· Ἱπποκράτης δὲ [3] πανδημεὶ τοὺς Ἀθηναίους ἀγαγὼν ἐπὶ τὸ Δήλιον, κατέλαβε τὸ χωρίον, καὶ φθάσας τὴν ἔφοδον τῶν Βοιωτῶν,

1 Negligitur a Reg. 1.

2 Κατεπηγγέλοντο Reg. uterque.

3 Notam defectus addidit Steph. sed abesse non debet. Vid. Thucydid. IV, 90.

LXIX. Dum haec ita peraguntur, ad Delium in Boeotia Athenienses cum Boeotis collatis signis dimicarunt, ob has equidem causas. Nonnullis in Boeotia praesentis reipublicae status displicere coeperat. Quod populare igitur regimen in oppidis constituere percuperent, consilia sua Praetoribus Atheniensium Hippocrati & Demosthenі exponunt, seque urbes Boeotiae ipsis tradituros pollicentur. Non ingrata fuit haec tam commoda ducibus occasio. Ut igitur melius res institutae administrarentur; divisis inter se copiis, Demosthenes cum maxima exercitus parte in Boeotiam impressionem facit: sed cum adversus proditionis fabricas prudenter instructos ac praemunitos offenderet Boeotos, re infecta discedit. Hippocrates interim cum sua Delium manu invadens, locum occupat, & praeverso Boeotorum adventu, ca-

ἐτείχισε τὸ Δήλιον. τοῦτο δὲ τὸ χωρίον κεῖται μὲν πλησίον τῆς Ὠρωπίας καὶ [1] τῶν ὅρων τῆς Βοιωτίας. [2] Παντόδας δὲ ὁ τῶν Βοιωτῶν ἔχων τὴν στρατηγίαν, ἐξ ἁπασῶν τῶν κατὰ τὴν Βοιωτίαν πόλεων μεταπεμψάμενος στρατιώτας, ἧκε πρὸς τὸ Δήλιον μετὰ πολλῆς δυνάμεως· εἶχε γὰρ στρατιώτας πεζοὺς μὲν οὐ πολὺ λείποντας τῶν δισμυρίων, ἱππεῖς δὲ περὶ χιλίους. οἱ δ' Ἀθηναῖοι τῷ πλήθει μὲν ὑπερεῖχον τῶν Βοιωτῶν, ὡπλισμένοι δὲ οὐχ ὁμοίως τοῖς πολεμίοις. ἄφνω γὰρ καὶ συντόμως ἐξεληλύθεισαν ἐκ τῆς πόλεως, καὶ διὰ τὴν σπουδὴν ὑπῆρχον [3] ἀπαράσκευοι.

ό. Ἀμφοτέρων δὲ προθύμως ὁρμωμένων, παρετάχθησαν αἱ δυνάμεις τόνδε τὸν τρόπον· παρὰ τοῖς Βοιωτοῖς ἐτάχθησαν ἐπὶ τὸ δεξιὸν κέρας Θηβαῖοι, ἐπὶ δὲ τὸ εὐώνυμον Ὀρχομένιοι, τὴν δὲ μέσην ἀνεπλήρουν φάλαγγα Βοιωτοί. προεμάχοντο δὲ πάντων οἱ παρ' ἐκεί- proelium apud Delium committitur,

1 Τᾶν ὅρων Reg. 2. τῶν ὁρῶν editi & interpr. vet.
2 Παντόδας marg. Steph. Reg. 1. Vat. Coisl. vet. interpr. cum Ven. In edd. Παντοιάδας.
3 Ἀπαρασκεύαστοι Coisl.

ſtellum moenibus firmat. Oropiae illud adiacet, & terminos Boeotiae attingit. At vero Pantodas, imperatoria tum poteſtate fungens, convocato ex omnibus Boeotiae urbibus delectu, cum numeroſis ad Delium copiis accelerat. Nam pedites haud multo pauciores XX M. & ad M equitum habebat. Athenienſes contra numero hoſtes ſuperabant, ſed diſpar illis armatura erat. Cum enim raptim & ſubito excurſu ex urbe ſua provolaſſent, multis arma neceſſariuſque apparatus deerant.

LXX. Utriſque igitur magno animorum fervore ad dimicandum procinctis, acies hoc modo inſtructae fuere. Apud Boeotos dextrum obtinebant cornu Thebani, ſiniſtrum Orchomenii, medium vero agmen ſtipabant Boeoti. In prima aciei fronte propugnatores erant, quos ipſi

νοις ἡνίοχοι [1] καὶ παραβάται καλούμενοι, ἄνδρες ἐπίλεκτοι τριακόσιοι. Ἀθηναῖοι δὲ διατάττοντες ἔτι τὴν δύναμιν, ἠναγκάσθησαν συνάψαι μάχην. γενομένης δὲ τῆς παρατάξεως ἰσχυρᾶς, τὸ μὲν πρῶτον οἱ τῶν Ἀθηναίων ἱππεῖς ἀγωνιζόμενοι λαμπρῶς, ἠνάγκασαν φυγεῖν τοὺς ἀντιστάντας ἱππεῖς. μετὰ δὲ ταῦτα τῶν πεζῶν διαγωνισαμένων, οἱ ταχθέντες κατὰ τοὺς Θηβαίους Ἀθηναῖοι βιασθέντες ἐτράπησαν· οἱ δὲ λοιποὶ τοὺς ἄλλους Βοιωτοὺς τρεψάμενοι, καὶ συχνοὺς ἀνελόντες, ἐφ' ἱκανὸν τόπον ἐδίωξαν. οἱ δὲ Θηβαῖοι διαφέροντες ταῖς τῶν σωμάτων ῥώμαις, ἐπέστρεψαν ἀπὸ τοῦ διωγμοῦ, καὶ τοῖς διώκουσι [2] τῶν Ἀθηναίων ἐπιπεσόντες, φυγεῖν ἠνάγκασαν. ἐπιφανεῖ δὲ μάχῃ νικήσαντες, μεγάλην ἀπηνέγκαντο δόξαν πρὸς ἀνδρίαν. τῶν δ' Ἀθηναίων οἱ μὲν εἰς Ὠρωπὸν, οἱ δὲ εἰς τὸ Δήλιον κατέφυγον, τι-

quo Athenienses funduntur.

1 Οἱ καὶ Clar. Tum παραβάται Reg. 1. Coisl. Vulgo παραιβάται.

2 Deest Reg. 1.

Heniochos & Parabatas (hoc est, aurigas & proeliatores curules) indigitant, viri omnium lectissimi, numero CCC. Interim Athenienses, adhuc in ordinanda acie occupati, manus cum hoste conserere coguntur. Proelio itaque summis viribus commisso, principio Atheniensium equites praeclare dimicantes, obiectum sibi equitatum in fugam compellunt. Hinc peditum certamine inito, Atheniensium acies Thebanis adversa, violento hostium impetu perrupta funditur. At ceteri, quidquid praeterea Boeotorum erat, in fugam agunt, & cum prolixa strage ad sat longum intervallum persequuntur. Sed Thebani, robore corporum praestantes, ab insecutione hostium se recipiunt, & Athenienses tergis suorum inhaerentes adorti fundunt, & huc illuc dissipant. Insigni ergo proelio victores magnam virtutis laudem retulerunt. Atheniensium vero alii ad Oropum, alii ad Delium confugiendo saluti consuluerunt. Nonnulli contento

νὲς δὲ πρὸς τὴν θάλατταν διέτειναν, πρὸς τὰς ἰδίας ναῦς, ἄλλοι δὲ κατ' ἄλλους ὡς ἔτυχε τόπους [1] διεσπάρησαν. ἐπιγενομένης δὲ τῆς νυκτὸς ἔπεσον τῶν μὲν Βοιωτῶν οὐ πλείους τῶν [2] πεντακοσίων, τῶν δ' Ἀθηναίων πολλαπλάσιοι τούτων. εἰ μὲν οὖν ἡ νὺξ μὴ προκατέλαβεν, οἱ πλεῖστοι τῶν Ἀθηναίων ἂν ἐτελεύτησαν· αὕτη γὰρ μεσολαβήσασα τὰς τῶν διωκόντων ὁρμὰς, διέσωσε τοὺς φεύγοντας. ὅμως δὲ τοσοῦτο πλῆθος ἦν τῶν ἀναιρεθέντων, ὥστε τοὺς Θηβαίους ἐκ τῆς τῶν λαφύρων τιμῆς τήν τε στοὰν τὴν μεγάλην ἐν ἀγορᾷ κατασκευάσαι καὶ [3] χαλκοῖς ἀνδριάσι κοσμῆσαι, τοὺς δὲ ναοὺς τοῖς ὅπλοις καὶ τὰς κατὰ τὴν ἀγορὰν στοὰς τοῖς ἐκ τῶν σκύλων προσηλωθεῖσι καταχαλκῶσαι· τήν τε τῶν Δηλίων πανήγυριν ἀπὸ τούτων τῶν χρημάτων [4] ἐνεστήσαντο ποιεῖν. μετὰ δὲ τὴν μάχην οἱ μὲν Βοιωτοὶ τῷ Δηλίῳ προσβολὰς ποιησάμενοι, κατὰ κράτος

1 Διεφθάρησαν Coisl.
2 Πενταχοσίων Coisl. Vat. Reg. 1. margo Steph. & vetus interpr. Edd. τετραχοσίων.
3 Χαλκοῖς Clar. Reg. 2. Cett. χαλκαῖς.
4 Ἐνεστήσατο Reg. 1.

ad mare curſu in naves ſe receperunt. Alii alio, utcunque ſors locum obtulit, diffugerunt; donec nox inſectationem hoſtium interrupit. Ceciderunt eo conflictu Boeotorum non plures D; Athenienſium numerus longe maior. Ac niſi nox caedem interpellaſſet, de maxima Athenienſium parte actum fuiſſet. Illa enim, intercepto perſequentium impetu, ſalutem fugientibus praebuit. Tanta nihilominus caeſorum multitudo fuit, ut ex manubiarum pretio magnam in foro ſtoam exſtruerent, aeneiſque ſtatuis exornarent, templa etiam & porticus forenſes, armis ſpoliatorum hoſtium adfixis, undique velut aere obducerent. Deliorum inſuper ludos opibus hoc bello partis agendos inſtituerunt. Poſt huius pugnae ſucceſſum Boeoti, magna vi Delium adorti, expugnarunt. E cuius

εἷλον τὸ χωρίον. τῶν δὲ φρουρούντων τὸ Δήλιον οἱ πλείους μὲν μαχόμενοι γενναίως ἀπέθανον, διακόσιοι δὲ ἥλωσαν· οἱ δὲ λοιποὶ κατέφυγον εἰς τὰς ναῦς, καὶ διεκομίσθησαν μετὰ τῶν ἄλλων εἰς τὴν Ἀττικήν. Ἀθηναῖοι μὲν οὖν ἐπιβουλεύσαντες τοῖς Βοιωτοῖς, τοιαύτῃ συμφορᾷ περιέπεσον.

In Persia Xerxi Sogdianus, & huic post VII menses Darius successit.

οα΄. Κατὰ δὲ τὴν Ἀσίαν Ξέρξης ὁ βασιλεὺς ἐτελεύτησεν, ἄρξας ἐνιαυτόν· ὡς δ᾽ ἔνιοι γράφουσι, μῆνας δύο. τὴν δὲ βασιλείαν διαδεξάμενος [1] ὁ ἀδελφὸς Σογδιανὸς ἦρξε μῆνας ἑπτά. τοῦτον δ᾽ ἀνελὼν Δαρεῖος ἐβασίλευσεν ἔτη δεκαεννέα. τῶν δὲ συγγραφέων Ἀντίοχος ὁ Συρακούσιος τὴν τῶν Σικελικῶν ἱστορίαν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστρεψεν, ἀρξάμενος ἀπὸ Κωκάλου τοῦ Σικανῶν βασιλέως, ἐν [2] βίβλοις ἐννέα.

Hic Antiochus Syrac. historiam suam finiit.

Olymp. LXXXIX, 2.

οβ΄. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησιν [3] Ἀμεινίου Ῥωμαῖοι

1 Bina haec notam defectus in Stephan. edito habent, & desunt Clar. & Reg. 2. ac Veneto. Mox omnes Ὀγδιανός.

2 Βιβλίοις Clar. Reg. 2.

3 Ἀμεινίου Clar. Ἀμινίου Reg. 1. Ἀμνίου Coisl. Μεινίου Reg. 2. & Venet. Vetus interpr. *Aminia.* Edd. Ἀμυνίου.

praesidio maior pars strenue propugnando occubuit, ducenti solum capti. Reliqui ad naves elapsi, cum cetera multitudine in Atticam transmiserunt. In hanc ita calamitatem inciderunt Athenienses, dum per insidias Boeotorum opes capessunt.

LXXI. In Asia tum rex Persarum Xerxes, expleto uno imperii anno, (vel, ut alii tradunt, uno atque altero tantum mense) rebus humanis exemtus est. Cui Sogdianus frater per menses VII successit: quo interfecto, Darius regnum ad XIX annos tenuit. Cum hoc anno nobilis Sicilicarum rerum scriptor Antiochus Syracusanus historiae suae finem imponit, quam libris IX a Cocalo inde rege deduxit.

LXXII. Cum summum Athenis magistratum gereret

μὲν κατέστησαν ὑπάτους [1] Γάϊον Παπίριον καὶ Λεύκιον Ἰούλιον. ἐπὶ δὲ τούτων [2] Σκιωναῖοι μὲν καταφρονήσαντες τῶν Ἀθηναίων διὰ τὴν περὶ τὸ Δήλιον ἧτταν, ἀπέστησαν πρὸς τοὺς Λακεδαιμονίους, καὶ τὴν πόλιν παρέδωκαν Βρασίδᾳ τῷ στρατηγοῦντι τῶν ἐπὶ Θρᾴκης Λακεδαιμονίων. ἐν δὲ τῇ Λέσβῳ, μετὰ τὴν ἅλωσιν τῆς Μιτυλήνης ὑπ' Ἀθηναίων, οἱ πεφευγότες ἐκ τῆς ἁλώσεως, πολλοὶ τὸν ἀριθμὸν ὄντες, καὶ πάλαι μὲν ἐπεχείρουν κατελθεῖν εἰς τὴν Λέσβον, τότε δὲ συστραφέντες, Ἄντανδρον κατέλαβον· κἀκεῖθεν ὁρμώμενοι, διεπολέμουν τοῖς κατέχουσι τὴν Μιτυλήνην Ἀθηναίοις. ἐφ' οἷς παροξυνθεὶς ὁ δῆμος τῶν Ἀθηναίων, ἐξέπεμψε τοὺς στρατηγοὺς [3] μετὰ δυνάμεως ἐπ' αὐτοὺς, Ἀριστείδην καὶ Σύμμαχον. οὗτοι δὲ καταπλεύσαντες εἰς τὴν Λέσβον, καὶ προσβολὰς ποιησάμενοι συνεχεῖς,

Scione, in Macedonia, ad Laced. deficit, aspernata Athenienses post acceptam cladem; post etiam Menda.

Lesbii de patria certant cum Atheniensibus.

1 Γάϊον Ἰούνιον καὶ Λεύκιον Παπίριον Reg. 1. ultimum etiam in Coisl. Vulgo Παπύριον. Vetus interpr. *C. Papirium* & *L. Iulium*, optime. Vulgo Ἰούνιον.

2 Σικιῶιοι Reg. 1. Editum erat Σικυώνιοι.

3 Μετὰ τῆς Clar.

Aminias, Romae consulatum adierunt C. Papirius & L. Iulius. Ea tempestate Scionaei, contemto Delianam ob cladem Atheniensium imperio, ad Lacedaemonios desciscunt, urbemque Brasidae, summo cum imperio bellum in Thracia tum administrantis, fidei committunt. Ex Lesbo etiam, qui post captam ab Atheniensibus Mitylenen profugi (quorum certe non exiguus erat numerus) servitutis iugum evaserant, reditum iam pridem in patriam moliti, adunatis tum viribus Antandrum occupant: unde per occasionem eruptione facta, praesidium Atheniensium Mitylenae impositum armis impetebant. Qua insultatione ad iram provocatus Atheniensium populus, Aristidem & Symmachum duces exercitum in eos ducere iubet: qui traiectis in Lesbum copiis, post oppu-

εἷλον τὴν Ἄντανδρον, καὶ τῶν φυγάδων τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἐκ τῆς πόλεως ἐξέβαλον, αὐτοὶ δὲ φρουρὰν ἀπολιπόντες τὴν φυλάξουσαν τὸ χωρίον, ἀπέπλευσαν ἐκ τῆς Λέσβου. μετὰ δὲ ταῦτα Λάμαχος ὁ στρατηγὸς ἔχων δέκα τριήρεις, ἔπλευσεν εἰς τὸν Πόντον, καὶ καθορμισθεὶς εἰς Ἡράκλειαν, περὶ τὸν ποταμὸν τὸν ὀνομαζόμενον Κάχητα πάσας τὰς ναῦς ἀπέβαλε. μεγάλων γὰρ ὄμβρων καταῤῥαγέντων, καὶ τοῦ ποταμοῦ βίαιον τὴν καταφορὰν τοῦ ῥεύματος ποιησαμένου, τὰ σκάφη κατά τινας τραχεῖς τόπους προσπεσόντα τῇ γῇ διεφθάρη. Ἀθηναῖοι δὲ πρὸς Λακεδαιμονίους σπονδὰς ἐνιαυσίους ἐποιήσαντο, κατὰ ταύτας τὰς ὁμολογίας, ὥστ᾽ ἔχειν ἑκατέρους, ὧν τότε κύριοι καθειστήκεισαν. συνιόντες δὲ πολλάκις εἰς λόγους, ᾤοντο δεῖν καταλῦσαι τὸν πόλεμον, καὶ εἰς τέλος παύσασθαι τῆς πρὸς ἀλλήλους [1] φιλονεικίας. Λακεδαιμόνιοι δὲ ἔσπευδον ἀπολαβεῖν τοὺς ἐν τῇ Σφακτηρίᾳ γενομένους

Horum classis apud Cachetam fl. deleta.

Quibus rebus commoti de induciis faciendis consilia ineunt,

1 Φιλοτιμίας Vat. Coisl. Reg. 1. non male. Vid. c. 57.

gnationes aliquot, Antandrum capiunt, & parte exsulum necata, reliquos urbe expellunt, praesidioque illic ad tutandum locum relicto, ex Lesbo discedunt. Postea Lamachus, x triremium praefectus, cum classe Pontum init, & statione ad Heracleam delecta, circa Cachetam fluvium omnium navium iacturam fecit. Cum enim magna vis imbrium effusa esset, & amnis violento aquarum impetu se praecipitaret, naves ad confragosa litorum vento illisae pessum ierunt. Tunc Athenienses unius anni inducias cum Lacedaemoniis his conditionibus fecerunt, ut, quae utrique ditione tunc complexi essent, retinerent: habitisque ultro citroque colloquiis, ut soluto tandem bello, a funestis inter se certaminibus in perpetuum quiescerent, consultum iudicarunt. Lacedaemonios equidem recipiendi illos, qui in Sphacteria ca-

αἰχμαλώτους. τῶν δὲ σπονδῶν τὸν εἰρημένον τρόπον συντελεσθεισῶν, περὶ μὲν τῶν ἄλλων αὐτοῖς ὁμολογούμενα πάντα ὑπῆρξε, περὶ δὲ τῆς Σκιώνης ἠμφισβήτουν ἀμφότεροι. γενομένης δὲ μεγάλης [1] φιλοτιμίας, τὰς σπονδὰς κατελύσαντο, περὶ δὲ τῆς [2] Σκιώνης διεπολέμουν πρὸς ἀλλήλους. κατὰ δὲ [3] τοῦτον τὸν χρόνον καὶ Μένδη πόλις πρὸς τοὺς Λακεδαιμονίους ἀπέστη, καὶ τὴν [4] φιλονεικίαν τὴν ὑπὲρ τῆς Σκιώνης ἰσχυροτέραν ἐποίησε. διὸ καὶ Βρασίδας μὲν ἐκ τῆς Μένδης καὶ τῆς Σκιώνης ἀποκομίσας τέκνα καὶ γυναῖκας καὶ τἄλλα τὰ χρησιμώτατα, φρουραῖς ἀξιολόγοις ἠσφαλίσατο τὰς πόλεις. Ἀθηναῖοι δὲ παροξυνθέντες ἐπὶ τοῖς γεγονόσιν, ἐψηφίσαντο, πάντας τοὺς Σκιωναίους, ὅταν ἁλῶσιν, ἡβηδὸν [5] ἀποσφάξειν, καὶ δύναμιν ἐξέπεμψαν ἐπ᾽ αὐτοὺς ναυτικὴν τριήρων πεντήκοντα. τούτων mox dissipata.

1 Φιλοτιμίας ora St. Vat. Reg. uterque, Co. Cl. Edd. φιλονεικίας. Coisl. Clar. & Steph. marg. Hic vulgatum relinquo.
2 Σικυώνης Coisl.
3 Τούτους τοὺς χρόνους Reg. 1.
4 Φιλοτιμίαν in Reg. ambobus,
5 Ἀποσφάξειν Coisl. Clar. Reg. ambo, idque praestat vulgato ἀποσφάζειν.

pti fuerant, cupiditas impellebat. Induciae ſane ad hunc modum ſanciebantur: cumque in ceteris per omnia inter ſe convenirent, de Scione tamen utrinque diſceptatum eſt. Et quia lis ingraveſcebat, factum eſt, ut foedere ſoluto de Scione armis inter ſe decernerent. Per id tempus etiam Menda ad Lacedaemonios defecit, & contentioni de Scione ingens pondus adiecit. Braſidas ergo, liberis & coniugibus & utiliſſima ſuppellectili ex Menda & Scione alio tranſportatis, validis urbes praeſidiis firmat. Sed Athenienſes, indignitate rei graviter commoti, publico decreto ſtatuunt, ſe, quidquid Scionaeorum pubertatis initia ſuperaſſet, urbe capta internecioni daturos. L igitur navium claſſem contra eos

[1] δὲ τὴν στρατηγίαν εἶχε Νικίας καὶ Νικόστρατος. οὗτοι δὲ πλεύσαντες ἐπὶ πρώτην τὴν Μένδην, ἐκράτησαν τῆς πόλεως, προδόντων τινῶν αὐτήν. τὴν δὲ Σκιώνην περιετείχισαν, καὶ προσκαθήμενοι τῇ πολιορκίᾳ, συνεχεῖς προσβολὰς ἐποιοῦντο. οἱ δ' ἐν τῇ Σκιώνῃ φρουροὶ, πολλοὶ μὲν [2] τὸν ἀριθμὸν ὄντες, εὐπορίαν δ' ἔχοντες βελῶν καὶ σίτου καὶ τῆς ἄλλης παρασκευῆς, ῥᾳδίως ἠμύνοντο τοὺς Ἀθηναίους· καὶ στάσιν ὑπερδέξιον ἔχοντες, πολλοὺς κατετίτρωσκον. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

Olymp. LXXXIX,3.

Delios, defectionis reos, urbe expellunt Athenienses,

ογ'. Μετὰ δὲ ταῦτα Ἀθήνησι μὲν ἦρχεν Ἀλκαῖος, ἐν Ῥώμῃ δὲ ὑπῆρχον ὕπατοι [3] Ὀπίτερος Λουκρήτιος καὶ Λεύκιος Σέργιος Φιδηνιάτης. ἐπὶ δὲ τούτων Ἀθηναῖοι τοῖς Δηλίοις ἐγκαλοῦντες, ὅτι λάθρα πρὸς Λακεδαιμονίους συντίθενται συμμαχίαν, ἐξέβαλον αὐτοὺς ἐκ τῆς νήσου, καὶ τὴν πόλιν αὐτοὶ κατέσχον. τοῖς δ'

1 Δὲ κατὰ τὴν Coisl.
2 Πρὸς τὸν idem & Reg. 1.
3 Ὀπίτερος ora Steph. Coislin. Vat. Reg. 1. *Hopiterus* interpr. vet. Edd. ὁ Πίγκτερος. Tum Λουκρίτιος Clarom. Λουκριτίδιος apud Pigh. Fast. p. 182.

mittunt, quam Nicias & Nicostratus Praetores ductitabant. Hi Mendam prius adorti, proditione quorundam capiunt. Scionem deinde circumvallant, & obsidionem urgentes continua oppugnatione irrumpere tentabant. At praesidiarii Sciones milites, cum & numero valerent, & telorum frumentique & aliarum rerum apparatu affatim instructi essent, Atheniensibus facile resistebant, & ex eminentiori depugnantes loco, multos hostium sauciabant. Atque haec eo anno sunt gesta.

LXXIII. Post hoc cum Archon Athenis Alcaeus, Consules Romae Opiter Lucretius & L. Sergius Fidenas essent, Athenienses Delios in crimen vocatos, quod clancularium cum Lacedaemoniis societatem iniissent, insulae possessione deiecerunt, urbemque sibi vindicarunt.

ἐκπεσοῦσι Δηλίοις Φαρνάκης ὁ σατράπης ἔδωκεν οἰκεῖν πόλιν [1] Ἀτραμύτιον. οἱ δ' Ἀθηναῖοι προχειρισάμενοι στρατηγὸν Κλέωνα τὸν δημαγωγὸν, καὶ δόντες ἀξιόλογον δύναμιν πεζικὴν, ἐξέπεμψαν εἰς τοὺς ἐπὶ Θράκην τόπους. οὗτος δὲ πλεύσας εἰς Σκιώνην, κἀκεῖθεν προσλαβόμενος στρατιώτας ἐκ τῶν πολιορκούντων τὴν πόλιν, ἀπέπλευσε, καὶ κατῆρεν εἰς Τορώνην. ἐγίνωσκε γὰρ τὸν μὲν Βρασίδαν ἐκ τούτων τῶν τόπων ἀπεληλυθότα, πρὸς δὲ τῇ Τορώνῃ τοὺς ἀπολελειμμένους στρατιώτας οὐκ ὄντας ἀξιομάχους. πλησίον δὲ τῆς Τορώνης καταστρατοπεδεύσας, καὶ [2] πολιορκήσας κατὰ γῆν καὶ κατὰ θάλατταν, εἷλε κατὰ κράτος τὴν πόλιν, καὶ τοὺς μὲν παῖδας καὶ τὰς γυναῖκας ἠνδραποδίσατο, αὐτοὺς δὲ καὶ τοὺς τὴν πόλιν φρουροῦντας αἰχμαλώτους λαβὼν, δήσας ἀπέστειλεν εἰς τὰς Ἀθήνας. τῆς δὲ πόλεως ἀπολιπὼν τὴν ἱκανὴν φρουρὰν, ἐξέπλευσε μετὰ τῆς δυνάμεως, καὶ κατῆρε τῆς Θρᾴκης

Simul Cleonem in Thraciae fines mittunt.

1 Ἀδραμάτιον Coisl. satis bene. Cett. ante κατὰ interponunt τἄλλα.
2 Πολιορκήσας κατὰ γῆν Reg. 2.

Deliis autem patrio solo expulsis Pharnaces Adramyttium incolendam dedit. Tum Athenienses Cleonem (Tribunus is plebis erat) Praetorem creant, & valida peditum manu tradita, in oras Thraciae proficisci iubent. Is ad Scionem appulsus, parte militum ab his, qui urbem circumsederant, accepta, navibus ad Toronen defertur. Per indicia enim cognoverat, Brasida ex locis illis digresso, relictos ibi milites dimicando secum non esse. Castris igitur quam proxime urbem positis, terra marique oppugnationi instans, vi urbem capit, puerisque ac feminis servituti addictis, praesidiarios milites in vincula coniectos Athenas mittit, & valido ad urbis defensionem praesidio relicto, cum eductis inde copiis ad Strymo-

ἐπὶ Στρυμόνα ποταμόν. καταστρατοπεδεύσας δὲ πλησίον πόλεως [1] Ἠϊόνος, ἀπεχούσης δὲ ἀπὸ τῆς Ἀμφιπόλεως σταδίοις ὡς τριάκοντα, προσβολὰς ἐποιεῖτο τῷ πολίσματι.

Cleonis & Brasidae acerrimum proelium apud Amphipolin,

οδ΄. Πυθόμενος δὲ τὸν Βρασίδαν μετὰ δυνάμεως διατρίβειν περὶ πόλιν Ἀμφίπολιν, ἀνέζευξεν ἐπ' αὐτόν. ὁ δὲ Βρασίδας, ὡς ἤκουσε προσιόντας τοὺς πολεμίους, ἐκτάξας τὴν δύναμιν, ἀπήντα τοῖς Ἀθηναίοις. γενομένης δὲ παρατάξεως μεγάλης, καὶ τῶν στρατοπέδων ἀγωνισαμένων ἀμφοτέρων λαμπρῶς, τὸ μὲν πρῶτον ἰσόρροπος ἦν ἡ μάχη, μετὰ δὲ ταῦτα παρ' ἑκατέροις [2] τῶν ἡγεμόνων φιλοτιμουμένων δι' ἑαυτῶν κρῖναι τὴν μάχην, συνέβη πολλοὺς τῶν ἀξιολόγων ἀνδρῶν ἀναιρεθῆναι, τῶν στρατηγῶν αὐτοὺς καταστησάντων εἰς τὴν μάχην, καὶ ὑπὲρ τῆς νίκης [3] ἀνυπέρβλητον φιλοτιμίαν εἰσενεγκαμένων. ὁ μὲν Βρασίδας ἀριστεύσας, καὶ πλείστους ἀνελὼν, ἡρωϊκῶς κατέστρεψε τὸν

quo uterque imperator cadit,

1 Κίονος Coisl. Vat. Reg. 2. non male.
2 Τῶν ἡγουμένων ora Steph. Co. 3 Ἀξιόλογον Reg. 2.

nem Thraciae fluvium proceſſit, & caſtris Eioni urbi, quae XXX circiter ſtadiis Amphipoli diſtat, admotis, magno eam conatu oppugnat.

LXXIV. Hinc explorato, Braſidam cum exercitu ad Amphipolin haerere, expedito in eum agmine contendit. Qui de hoſtium adventu certior factus, bene compoſita acie Athenienſibus obviam procedit. Mox acre proelium committitur. Et dum ſtrenue utrinque ordines decertant, initae neutram in partem momenta pugnae inclinare. At cum ſua imperatores virtute decerni victoriam annituntur, multi praeclari viri cadere, eo quod duces invictam animorum contentionem ſecum circumferentes, in medium pugnae fervorem eos ſecum raperent. Tandem Braſidas fortiſſime pugnans, inter magnas hoſtium a ſe trucidatorum ſtrages, heroico vitam exitu termi-

βίον· ὁμοίως δὲ καὶ τοῦ Κλέωνος ἐν τῇ μάχῃ πεσόντος, ἀμφότεραι μὲν αἱ δυνάμεις διὰ τὴν ἀναρχίαν ἐταράχθησαν, τὸ τέλος δ' ἐνίκησαν οἱ Λακεδαιμόνιοι, καὶ τρόπαιον ἔστησαν. οἱ δ' Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀνελόμενοι καὶ θάψαντες, ἀπέπλευσαν εἰς τὰς Ἀθήνας. [1] εἰς δὲ τὴν Λακεδαίμονα παραγενομένων τινῶν ἐκ τῆς μάχης, καὶ τὴν Βρασίδου νίκην ἅμα καὶ τελευτὴν ἀπαγγειλάντων, ἡ μήτηρ τοῦ Βρασίδου πυνθανομένη περὶ τῶν πραχθέντων κατὰ τὴν μάχην, ἐπηρώτησε ποῖός τις γέγονεν ἐν τῇ παρατάξει Βρασίδας· τῶν δ' [2] ἀποκριναμένων, ὅτι πάντων Λακεδαιμονίων ἄριστος, εἶπεν ἡ μήτηρ τοῦ τετελευτηκότος, ὅτι Βρασίδας ὁ υἱὸς αὐτῆς ἦν ἀγαθὸς ἀνὴρ, πολλῶν μέντοιγε ἑτέρων καταδεέστερος. τῶν δὲ λόγων τούτων διαδοθέντων κατὰ τὴν πόλιν, οἱ Ἔφοροι δημοσίᾳ τὴν γυναῖκα ἐτίμησαν, ὅτι προέκρινε τὸν τῆς πατρίδος ἔπαι-

Lacedaemoniorum vero victoria est.

1 Εἰς Coisl. Clar. quo modo solet auctor. ἐς edd.

2 Ἀποκρινομένων Clar.

navit. Cleon etiam in media dimicantium turba caesus occubuit. Tum consternatae utrinque acies ob amissos duces titubare: Lacedaemonii tamen ad extremum victores tropaeum statuerunt. Athenienses vero, receptis per inducias cadaveribus, terraeque mandatis, domum renavigarunt. Ex hoc conflictu cum quidam Lacedaemonem reversi, victoriam simul & interitum Brasidae nuntiassent, matrem eius, audito pugnae eventu, percontatam ferunt, qualem in acie se praebuisset? Datoque responso, quod omnium Lacedaemoniorum praestantissimus fuerit, matrem defuncti hoc regessisse: Filium suum Brasidam bonum quidem virum extitisse, multis tamen aliis Spartanorum virtute inferiorem. Divulgatis inde per urbem hisce verbis, Ephori publicis matronam honoribus exornarunt, quod patriae laudem nati sui glo-

*Tum induciae L annorum factae. (cf. Ol. XCI, 3.)*

νου τῆς τοῦ τέκνου δόξης. μετὰ δὲ τὴν εἰρημένην μάχην ἔδοξαν οἱ Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις συνθέσθαι σπονδὰς πεντηκονταετεῖς ἐπὶ τοῖσδε, τοὺς μὲν αἰχμαλώτους παρ' ἀμφοτέροις ἀπολυθῆναι, τὰς δὲ πόλεις ἀπολυθῆναι τὰς κατὰ πόλεμον ληφθείσας. ὁ μὲν οὖν Πελοποννησιακὸς πόλεμος, διαμείνας μέχρι τῶν ὑποκειμένων καιρῶν ἔτη δέκα, τὸν εἰρημένον τρόπον κατελύθη.

Olymp. LXXXIX, 4.

οε'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀρίστωνος Ῥωμαῖοι κατέστησαν ὑπάτους Τῖτον [1] Κοίντιον καὶ Αὖλον Κορνήλιον Κόσσον. ἐπὶ δὲ τούτων ἄρτι τοῦ πολέμου τοῦ Πελοποννησιακοῦ καταλελυμένου, πάλιν ταραχαὶ καὶ κινήσεις πολεμικαὶ συνέβησαν, διὰ τοιαύτας τινὰς αἰτίας·

*Reliquae Graeciae civitates, exclusae foedere,*

Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κοινῇ [2] μετὰ τῶν συμμάχων πεποιημένοι σπονδὰς καὶ διαλύσεις, χωρὶς τῶν συμμαχίδων πόλεων συνέθεντο συμμαχίαν. τοῦτο δὲ πράξαντες, εἰς ὑπόνοιαν ἦλθον ὡς ἐπὶ καταδουλώ-

1 Κοΐντιον Coisl. Κοΐγκτιον edd. 2 Κατὰ Reg. 2. Clar.

riae praeferendam sensisset. Post illam, quam memoravimus, pugnam, commodum Atheniensibus visum est, ut inducias L annorum cum Lacedaemoniis sancirent, in has utique conditiones: ut captivi utrinque liberi dimitterentur, utque urbes bello occupatae restituerentur. Peloponnesiacum ergo bellum, quod ad haec usque tempora in annos decem fuerat protractum, illo modo pacatur.

LXXV. Archonte hinc Athenis Aristone, cum Romani consulare imperium tradidissent T. Quinctio & A. Cornelio Cosso, vix dum Peloponnesiaco bello aliquantulum sedato, novi denuo tumultus bellorumque motus huiusmodi ob causas exorti sunt. Athenienses & Spartani communi quidem sociorum consensu induciarum foedus inter se inierant: sed exclusis interim civitatibus, utrique parti addictis, privatam inter se belli societatem pacti erant. Quo facto suspicionem moverunt,

σει τῶν ἄλλων Ἑλλήνων [1] ἰδίαν ποιησάμενοι συμμαχίαν. διόπερ αἱ μέγισται τῶν πόλεων διεπρεσβεύοντο πρὸς ἀλλήλας, καὶ συνδιελέγοντο [2] περὶ ὁμονοίας καὶ συμμαχίας κατὰ τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων. ἦσαν δὲ προεστῶσαι πόλεις ταύτης αἱ [3] δυνατώταται τέσσαρες, Ἄργος, Θῆβαι, Κόρινθος, Ἦλις. εὐλόγως δ' ὑπωπτεύθησαν αἱ πόλεις συμφρονεῖν κατὰ τῆς Ἑλλάδος, διὰ τὸ προσγεγράφθαι ταῖς κοιναῖς συνθήκαις, ἐξεῖναι Ἀθηναίοις καὶ Λακεδαιμονίοις, ὅπερ ἂν δοκῇ ταύταις ταῖς πόλεσι, προσγράφειν ταῖς συνθήκαις, καὶ ἀφαιρεῖν ἀπὸ τῶν συνθηκῶν. χωρὶς δὲ τούτων Ἀθηναῖοι μὲν διὰ ψηφίσματος ἔδωκαν δέκα ἀνδράσιν ἐξουσίαν [4] ἔχειν βουλεύεσθαι περὶ τῶν τῇ πόλει συμφερόντων. τὸ παραπλήσιον δὲ καὶ τῶν Λακεδαιμονίων πεποιηκότων, φανερὰν συνέβη γενέσθαι τῶν δύο πό-

inprimis Argos, Thebae, Corinthus, Elis, de libertate sua anxiae, in Athenienses & Lacedaemonios conspirant.

1 Omittit Reg. 2. & Clar. Tum πεποιημένοι Coisl. Reg. 1.
2 Περὶ συμμ. καὶ ὁμον. Reg. 1.
3 Δυνατώτεραι ora Steph.
4 Ἔχειν τῇ πόλει βουλεύεσθαι Clar. Reg. 2.

quasi ad servitutem Graecis aliis imponendam privata ista armorum coniunctio spectaret. Idcirco maximae in Graecia civitates, per legationes vicissim missitatas, de concordia & societate contra Athenienses & Lacedaemonios inter se iungenda colloqui & tractare coeperunt. Principes eius rei erant potentissimae Graeciae urbes IV, Argos, Thebae, Corinthus, Elis. Nec absque ratione profecto civitates illae duae de conspiratione adversus Graeciam suspectae habebantur: propterea quod in communi foederis tabula adscriptum esset, Atheniensibus & Lacedaemoniis ius ac potestatem esse, quodcunque utrique populo visum foret, adiicere vel detrahere antea sancitis. Praeter haec Athenienses publico decreto Decemviros crearant, quibus integra in commoda reipublicae consulendi potestas esset. Id ipsum cum & Lacedaemonii fecissent, in propatulo iam erat, quorsum in-

λεων τὴν πλεονεξίαν. πολλῶν δὲ πόλεων ὑπακουουσῶν πρὸς τὴν κοινὴν ἐλευθερίαν, καὶ τῶν μὲν Ἀθηναίων καταφρονουμένων διὰ τὴν περὶ τὸ Δήλιον συμφορὰν, τῶν δὲ Λακεδαιμονίων τεταπεινωμένων τῇ δόξῃ, διὰ τὴν ἅλωσιν τῶν ἐν τῇ Σφακτηρίᾳ νήσῳ, πολλαὶ πόλεις συνίσταντο, καὶ προῆγον τὴν τῶν Ἀργείων πόλιν ἐπὶ τὴν ἡγεμονίαν. ἔχει γὰρ ἡ πόλις αὕτη μέγα ἀξίωμα διὰ τὰς παλαιὰς πράξεις. πρὸ γὰρ τῆς Ἡρακλειδῶν καταλύσεως, ἐκ τῆς Ἀργείας ὑπῆρξαν σχεδὸν ἅπαντες οἱ μέγιστοι τῶν βασιλέων. πρός τε τούτοις πολὺν χρόνον εἰρήνην ἔχουσα, προσόδους μεγίστας ἐλάμβανε, καὶ πλῆθος οὐ μόνον χρημάτων εἶχεν, ἀλλὰ καὶ ἀνδρῶν. οἱ δ' Ἀργεῖοι νομίζοντες [1] αὐτοῖς συγχωρηθήσεσθαι τὴν ὅλην ἡγεμονίαν, ἐπέλεξαν τῶν πολιτῶν χιλίους τοὺς μάλιστα νεωτάτους, καὶ τοῖς τε σώμασιν ἰσχύοντας καὶ ταῖς οὐσίαις· ἀπολύσαντες δὲ αὐτοὺς

Argivis summa rei permissa.

1 Αὐτοῖς Reg. ambo.

explebilis utriusque civitatis cupido tenderet. Complures igitur urbes ad communem libertatem tutandam erectae, quod Atheniensium potentia ob acceptam ad Delion cladem contemni, & Lacedaemoniorum gloria, propter captos in Sphacteria viros nobilissimos deminui coepisset, conspiratione inita inter se, summum belli imperium Argivorum civitati deferunt. Magnam enim huic urbi maiestatem & praerogativam antiqua praeclarae virtutis gesta conciliant. Nam usque ad Heraclidarum in Peloponnesum immigrationem maximi quique reges ex Argivorum gente prodierunt. Adde, quod longo tempore pace fruens e vectigalibus magnas sibi opes collegerat, nec pecuniis tantum, sed etiam viris, pollebat. Argivi ergo, sibi omnium rerum summam permissam esse rati, ex civium delectu mille iuvenes corporum robore & opibus valentes segregant, quibus vacatione a pu-

καὶ τῆς ἄλλης λειτουργίας, καὶ τροφὰς δημοσίας χορηγοῦντες, προσέταξαν γυμνάζεσθαι συνεχεῖς μελέτας. οὗτοι μὲν οὖν, διὰ τὴν χορηγίαν καὶ τὴν συνεχῆ μελέτην, ταχὺ τῶν πολεμικῶν ἔργων ἀθληταὶ κατεστάθησαν.

οστ΄. Λακεδαιμόνιοι δὲ ὁρῶντες ἐπ' αὐτοὺς συνισταμένην τὴν Πελοπόννησον, καὶ προορώμενοι τὸ μέγεθος τοῦ πολέμου, [1] τὰ κατὰ τὴν ἡγεμονίαν ὡς ἦν δυνατὸν ἠσφαλίζοντο. καὶ πρῶτον μὲν τοὺς μετὰ Βρασίδα κατὰ τὴν Θρᾴκην ἐστρατευμένους Εἵλωτας ὄντας χιλίους ἠλευθέρωσαν· μετὰ δὲ ταῦτα τοὺς ἐν τῇ Σφακτηρίᾳ νήσῳ ληφθέντας αἰχμαλώτους Σπαρτιάτας ἀτιμίᾳ προβεβληκότες, ὡς τὴν Σπάρτην ἀδοξοτέραν πεποιηκότας, ἀπέλυσαν τῆς ἀτιμίας. ἀκολούθως δὲ τούτοις, τοῖς κατὰ τὸν πόλεμον ἐπαίνοις καὶ τιμαῖς προετρέποντο τὰς προγεγενημένας ἀνδραγαθίας ἐν τοῖς μέλλουσιν

Lacedaemoniorum cautiora,

1 Deſit in Reg. 2.

blicis muneribus conceſſa, & alimentis ex aerario publico ſubminiſtratis, ut aſſidua ſe cura, irremiſſoque labore exerceant, iniungunt. Hos impenſa liberalis, ſtudiumque perpetuum brevi exercitatiſſimos bellatores effecit.

LXXVI. At cum Lacedaemonii totam in ſe Peloponneſum conſpiraſſe viderent, belli iam gliſcentis mole perſpecta, imperii ſui maieſtatem, quibus tum licebat viribus, muniunt. Ante omnia igitur CIↃ Hilotibus, qui ſub Braſidae imperio in Thracia militaverant, libertatem donarunt. Poſtea cives in Sphacteria ſub iugum miſſos, quos ob ignominiae notam patriae inuſtam, omni honore exuerant, in priſtinam dignitatem reſtituerunt. His acceſſit, quod laudum honorumque praemiis, ob rem bello fortiter geſtam, ſuos excitabant, ut priſtinae virtutis facinora in ſequentibus deinceps certaminum pe-

ἀγῶσιν ὑπερβάλλεσθαι· τοῖς τε συμμάχοις ἐπιεικέστερον προσεφέροντο, καὶ ταῖς φιλανθρωπίαις τοὺς ἀλλοτριοῦντας αὐτῶν ἐθεράπευον. Ἀθηναῖοι δὲ τοὐναντίον, τῷ φόβῳ βουλόμενοι καταπλήξασθαι τοὺς ἐν ὑποψίᾳ ἀποστάσεως ὄντας, παράδειγμα πᾶσιν ἀνέδειξαν τὴν ἐκ τῶν Σκιωναίων τιμωρίαν. ἐκπολιορκήσαντες γὰρ αὐτοὺς, καὶ πάντας ἡβηδὸν κατασφάξαντες, παῖδας μὲν καὶ γυναῖκας ἐξηνδραποδίσαντο, τὴν δὲ νῆσον οἰκεῖν παρέδοσαν τοῖς Πλαταιεῦσιν, ἐκπεπτωκόσι δι' ἐκείνους ἐκ τῆς πατρίδος. περὶ δὲ τοὺς αὐτοὺς χρόνους [1] κατὰ τὴν Ἰταλίαν Καμπανοὶ μεγάλῃ δυνάμει στρατεύσαντες ἐπὶ Κύμην, ἐνίκησαν μάχῃ τοὺς Κυμαίους, καὶ πλείους τῶν ἀντιταχθέντων κατέκοψαν. προσκαθεζόμενοι δὲ τῇ πολιορκίᾳ, καὶ πλείους προσβολὰς ποιησάμενοι, κατὰ κράτος εἷλον τὴν πόλιν. διαρπάσαντες δὲ

Athenienſium duriora conſilia.

In Italia Campani contra Cumas arma ferunt.

1 Περὶ in ora Steph. Vat. Coisl. In Clarom. deeſt αὐτοὺς, ſicuti in Reg. 1. περὶ, qui & duas ſequentes voces praeterit.

riculis ſupergredi ſtuderent. Quid? quod maiorem ſociis benignitatem exhibere, ac humanitate conciliare alienatos ab ipſis, non neglexerunt. Athenienſes vero contrariam inibant rationem. Cum enim terrore frangendos illorum animos eſſe cenſerent, quos defectionis ſuſpectos haberent, ultionem de Scionaeis ſumtam illuſtre ſeveritatis exemplum omnibus propoſuerunt. Expugnata enim urbe, quicunque pubertatem attigiſſent, ad unum omnes iugularunt. Imbellem vero puerorum & mulierum turbam in ſervitutem abduxerunt. Inſula Plataeenſibus, qui propter ſe patria expulſi erant, ad inhabitandum conceſſa. Per idem tempus in Italia Campani, magno adverſus Cumam exercitu ducto, oppidanos proelio fundunt, & maximam eorum, quos acies obtulerat, partem concidunt. Hinc ad obſidionem converſi, poſt crebras tandem oppugnationes, vi urbem ceperunt, eaque

αὐτὴν, καὶ τοὺς [1] καταληφθέντας ἐξανδραποδισάμενοι, τοὺς ἱκανοὺς οἰκήτορας ἐξ αὐτῶν ἀπέδειξαν.

Olymp. XC, 1.

οζʹ. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀριστοφύλου Ῥωμαῖοι κατέστησαν ὑπάτους Λεύκιον [2] Κοίντιον καὶ Αὖλον Σεμπρώνιον, Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα ἐνενηκοστὴν, καθ' ἣν ἐνίκα στάδιον Ὑπέρβιος Συρακούσιος. ἐπὶ δὲ τούτων Ἀθηναῖοι μὲν κατά τινα χρησμὸν Δηλίοις ἀπέδοσαν τὴν νῆσον, καὶ κατῆλθον εἰς τὴν πατρίδα οἱ τὸ [3] Ἀτραμύτιον οἰκοῦντες Δήλιοι. τῶν δὲ Ἀθηναίων οὐκ ἀποδιδόντων Λακεδαιμονίοις τὴν [4] Πύλον, πάλιν αἱ πόλεις αὗται πρὸς ἀλλήλας διεφέροντο, καὶ πολεμικῶς εἶχον. ἃ δὴ πυθόμενος ὁ δῆμος τῶν Ἀργείων ἔπεισε τοὺς Ἀθηναίους φιλίαν συνθέσθαι πρὸς τοὺς Ἀργείους. αὐξομένης δὲ τῆς διαφορᾶς, οἱ μὲν Λακεδαιμόνιοι τοὺς Κορινθίους ἔπεισαν ἐγκαταλιπεῖν τὴν

Delum Athenienses reddunt, oraculo admoniti, Pylum reddere recusant; quo nova diffidia orta.

Argivi Athenienfibus accedunt; Corinthios Lacedaemonii ad fuas partes trahunt.

1 Καταλειφθέντας Reg. 1. Coisl.
2 Κοίντιον Coisl. Κοίγκτιον edd. Conf. cap. 75.
3 Ἀδραμύτιον Coislin. Vid. ad cap. 73.
4 Πύλην marg. Steph. ex Clar.

direpta, & incolis, quotquot inibi deprehenderant, fervituti addictis, ex fuae civitatis corpore, quantum fatis effet colonorum, in illam transcripferunt.

LXXVII. Senatus inde princeps Athenis erat Ariftophylus, & Romae Confules L. Quinctius & A. Sempronius, cum Elei nonagefimam Olympiadem agitarunt, in qua ftadii corona infignitus fuit Hyperbius Syracufanus. Et Athenienfes oraculi cuiusdam iuffu Deliis infulam reftituerant. Ergo qui Atramytium incoluerant hactenus, priftinae patriae fedes repetierunt. Cumque Athenienfes Pylum Lacedaemoniis non redderent, rurfus civitates inter fe diffidere, bellique confilia tractare coeperunt. Quo populus Argivorum audito, ad ineundum amicitiae fecum foedus Athenienfes inducunt. Crefcente igitur fimultate ac difcordia, Corinthiis Lacedaemonii perfuadent, ut relicta confoederatarum civitatum

κοινὴν σύνοδον, καὶ συμμαχεῖν τοῖς Λακεδαιμονίοις. τοιαύτης δὲ ταραχῆς γενομένης, καὶ ἀναρχίας οὔσης, τὰ κατὰ τὴν Πελοπόννησον ἐν τούτοις ἦν. ἐν δὲ τοῖς ἐκτὸς τόποις, [1] Αἰνιᾶνες καὶ Δόλοπες καὶ Μηλιεῖς συμφρονήσαντες, δυνάμεσιν ἀξιολόγοις ἐστράτευσαν ἐπὶ τὴν Ἡράκλειαν τὴν ἐν Τραχινίᾳ. ἀντιταχθέντων δὲ τῶν Ἡρακλεωτῶν, καὶ μάχης γενομένης ἰσχυρᾶς, ἡττήθησαν οἱ τὴν Ἡράκλειαν κατοικοῦντες. πολλοὺς δ᾽ ἀποβαλόντες στρατιώτας, καὶ συμφυγόντες ἐντὸς τῶν τειχῶν, μετεπέμψαντο βοήθειαν παρὰ τῶν Βοιωτῶν. ἀποστειλάντων δ᾽ αὐτοῖς τῶν Θηβαίων χιλίους ὁπλίτας ἐπιλέκτους, μετ᾽ αὐτῶν ἠμύνοντο τοὺς [2] ἐπεστρατευκότας. ἅμα δὲ τούτοις πραττομένοις, Ὀλύνθιοι μὲν στρατεύσαντες ἐπὶ πόλιν [3] Μηκύβερναν, φρουρουμένην ὑπ᾽ Ἀθηναίων, τὴν μὲν φρουρὰν ἐξέβαλον, αὐτοὶ δὲ τὴν πόλιν κατέσχον.

Heracleam in Trachinia Aenianes, Dolopes & Melienses vi occupant;

Mecybernam Olynthii.

1 Sic Coisl. Vulgo Αἰνειᾶνες. Ceteri ἐπιστρατευκότας.
2 Ἐπεστρατευκότες Coisl. Clar. 3 Μικύβερναν omnes.

ſocietate, ſecum deinceps arma coniungant. In hoc equidem ſtatu, rebus ſine certo duce tumultuarie huc illuc fluctuantibus, Peloponneſus erat. In locis vero extra Peloponneſum iacentibus, Aenianes, Dolopes & Melienſes, per conſpirationem quandam magnis Heracleam in Trachinia copiis invadunt. Quos cum inſtructa Heraclienſes acie exciperent, proelio fortiter commiſſo, ſuccumbunt, & magna militum parte amiſſa, per fugam intra moenia elapſi, praeſidium a Boeotis arceſſunt. M igitur gravis armaturae delecti mittuntur: qua manu ingruentem hoſtium vim repulerunt. Interea dum haec peraguntur, Olynthii, expeditione in Mecybernam urbem facta, Athenienſium praeſidio hactenus defenſam, praeſidio inde expulſo, urbem ſuae iuriſdictionis faciunt.

οη'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀρχίου Ῥωμαῖοι κατέστησαν ὑπάτους Λεύκιον [1] Παπίριον Μουγιλανὸν καὶ Γάϊον Σερουίλιον Στροῦκτον. ἐπὶ δὲ τούτων Ἀργεῖοι μὲν ἐγκαλέσαντες [2] τοῖς Λακεδαιμονίοις ὅτι τὰ θύματα οὐκ ἀπέδοσαν τῷ Ἀπόλλωνι τῷ Πυθίῳ, πόλεμον αὐτοῖς κατήγγειλαν. καθ' ὃν δὴ χρόνον Ἀλκιβιάδης ὁ στρατηγὸς τῶν Ἀθηναίων εἰσέβαλεν εἰς τὴν Ἀργείαν, ἔχων δύναμιν. τούτους δὲ οἱ Ἀργεῖοι παραλαβόντες, ἐστράτευσαν ἐπὶ Τροιζῆνα πόλιν σύμμαχον Λακεδαιμονίων. καὶ τὴν μὲν χώραν λεηλατήσαντες, τὰς δὲ ἐπαύλεις ἐμπρήσαντες, ἀπηλλάγησαν εἰς τὴν οἰκείαν. οἱ δὲ Λακεδαιμόνιοι παροξυνθέντες ἐπὶ τοῖς εἰς τοὺς Τροιζηνίους [3] παρανομήμασιν, ἔγνωσαν διαπολεμεῖν πρὸς Ἀργείους. διὸ καὶ δύναμιν ἀθροίσαντες, ἐπέστησαν ἡγεμόνα Ἆγιν τὸν βασιλέα. οὗτος δὲ μετὰ τῆς δυνάμεως ἐστράτευσεν ἐπὶ τοὺς Ἀργείους, καὶ τὴν μὲν χώραν ἐδῄωσε, πλησίον δὲ τῆς πόλεως ἀγαγὼν

Olymp. XC, 2.

Argivorum in Lacedaemonios bellum,

1 Παπίριον Coisl. In edd. Παπύριον Μουτιλανόν.

2 Articulus deest Clar. Reg. 2.

3 Παρανομήσασιν Reg. 2.

LXXVIII. Archon tum Athenis erat Archias, & Romae Consules L. Papirius Mugillanus & C. Servilius Structus, cum Argivi Lacedaemoniis, propter sacra ex more Apollini Pythio non reddita, accusatis, bellum indixerunt. Quo tempore Alcibiades, imperator Atheniensium, cum exercitu suo in Argivam regionem traiecit. Hoc confirmati Argivi, Troezenem Spartanis confoederatam invadunt, direptisque agris, & incensis villis, domum regrediuntur. Lacedaemonii vero, iniurias Troezeniis praeter ius & aequum illatas indigne ferentes, bellum in Argivos decernunt. Conscriptis ergo copiis Agin imperatorem praeficiunt, Spartae regem. Hic infesto Argivos exercitu petens, agros hostili immanitate vastat,

τὴν δύναμιν, [1] προεκαλεῖτο τοὺς πολεμίους εἰς τὴν μάχην. οἱ δ' Ἀργεῖοι προσλαβόμενοι στρατιώτας, παρὰ μὲν Ἠλείων τρισχιλίους, παρὰ δὲ Μαντινέων οὐ πολὺ λειπομένους τούτων, προῆγον ἐκ τῆς πόλεως τὸ στρατόπεδον. μελλούσης δὲ παρατάξεως γίνεσθαι, οἱ στρατηγοὶ παρ' ἀμφοτέροις διαπρεσβευσάμενοι, τετραμηνιαίους ἀνοχὰς συνέθεντο. ἐπανελθόντων δὲ τῶν στρατοπέδων ἀπράκτων εἰς τὴν οἰκείαν, δι' ὀργῆς εἶχον αἱ πόλεις ἀμφότεραι τοὺς συνθεμένους τὰς σπονδὰς στρατηγούς. διόπερ οἱ μὲν Ἀργεῖοι τοῖς λίθοις βάλλοντες τοὺς ἡγεμόνας, ἀποκτείνειν ἐπεχείρησαν, καὶ μόλις μετὰ πολλῆς δεήσεως τὸ ζῆν συνεχώρησαν, τὴν δ' οὐσίαν αὐτῶν δημεύσαντες, κατέσκαψαν τὰς οἰκίας. οἱ δὲ Λακεδαιμόνιοι τὸν Ἄγιν [2] ἐπεβάλοντο μὲν κολάζειν, ἐπαγγειλαμένου δ' αὐτοῦ διὰ τῶν καλῶν ἔργων διορθώσασθαι τὴν ἁμαρτίαν, μόγις συνεχώρησαν. εἰς δὲ τὸν λοιπὸν χρόνον ἑλόμενοι δέκα ἄνδρας τοὺς συνετωτάτους,

& utrisque populis invitis a ducibus factae induciae.

1 Προσεκαλεῖτο Clar. Reg. 2.  2 Ἐπεβάλλοντο Reg. 2.

& ipsi tandem urbi imminens, hostes ad pugnam lacessit. Argivi igitur, adiunctis Eleorum ter mille, & Mantineorum haud multo paucioribus, copias ex urbe educunt. Et iam prope erat, ut explicita utrinque acie in proelium ruerent: cum imperatores, missis utrinque legatis, inducias IV mensium pepigerunt. Regressis ita re infecta copiis, ambae civitates induciarum auctoribus irascebantur, usque adeo, ut Argivi lapidibus impetitos duces necare instituerent, nisi multarum precum intercessione vita illis donata, bona tantum in publicum redacta, domusque erutae fuissent. Lacedaemonii etiam Agidi supplicium intendebant. Sed cum honestis se factis peccati huius maculam eluturum sponderet, vix tum veniam impetravit. In reliquum tamen inde tempus X probatae

παρακατέστησαν συμβούλους, καὶ προσέταξαν μηδὲν ἄνευ τῆς τούτων γνώμης πράττειν.

οθʹ. Μετὰ δὲ ταῦτα Ἀθηναίων ἀποστειλάντων κατὰ θάλατταν εἰς αὐτοὺς ὁπλίτας μὲν χιλίους ἐπιλέκτους, ἱππεῖς δὲ διακοσίους, (ὧν ἐστρατήγουν Λάχης καὶ Νικόστρατος· συνῆν δὲ τούτοις καὶ Ἀλκιβιάδης ἰδιώτης ὤν, [1] διὰ τὴν φιλίαν τὴν πρὸς Ἠλείους καὶ Μαντινεῖς) συνεδρευσάντων δὲ πάντων, ἔδοξε τὰς μὲν σπονδὰς ἐᾶν χαίρειν, πρὸς δὲ τὸν πόλεμον ὁρμῆσαι. διὸ καὶ τοὺς ἰδίους ἕκαστος στρατηγὸς παρώρμησε πρὸς τὸν ἀγῶνα, καὶ πάντων προθύμως ὑπακουσάντων, ἐκτὸς τῆς πόλεως κατεστρατοπέδευσαν. ἔδοξεν οὖν αὐτοῖς πάντων πρῶτον στρατεύειν ἐπ' Ὀρχομενὸν τῆς Ἀρκαδίας. διὸ καὶ παρελθόντες εἰς Ἀρκαδίαν, προσκαθεζόμενοι τῇ πόλει, καθ' ἡμέραν ἐποιοῦντο προσβολὰς τοῖς τείχεσι. χειρωσάμενοι δὲ τὴν πόλιν, κατε- Bellum redintegratum in Arcadia.

1 Διὰ δὲ Reg. 2. Clar.

ſapientiae conſiliarios ei adiunxerunt, imperaveruntque, ne quid abſque horum ſententia deinceps ageret.

LXXIX. Poſt haec cum Athenienſes mille gravis armaturae milites apprime delectos & CC equites, ductu Lachetis & Nicoſtrati, (quibus Alcibiades, nihil tunc muneris gerens, propter Mantineorum Eleorumque amicitiam ſeſe aſſociarat) expediiſſent; in communi omnium Argivorum concilio decretum eſt, ut iuſſis valere induciis, omni in bellum contentione incumberent. Ideo ſuos ducum quiſque ad certamen accendit. Quibus non impigre obſequentibus, extra moenia caſtris locum capeſſunt. Ibi conſultiſſimum ipſis viſum, verſus Orchomenum Arcadiae initium expeditionis facere. Promotis ergo in Arcadiam caſtris, circumſeſſae urbis illius moenia quotidiano oppugnationis inſultu fatigant. Et oppido in

στρατοπέδευσαν πλησίον Τεγέας, κεκρικότες καὶ ταύτην πολιορκήσειν. τῶν δὲ Τεγεατῶν ἀξιούντων τοὺς Λακεδαιμονίους βοηθῆσαι κατὰ τάχος, οἱ Σπαρτιάται, παραλαβόντες τοὺς ἰδίους πάντας καὶ συμμάχους, ἧκον ἐπὶ τὴν Μαντίνειαν, νομίζοντες ταύτης πολεμουμένης ἀρθήσεσθαι τὴν τῆς Τεγέας πολιορκίαν. οἱ δὲ Μαντινεῖς τοὺς συμμάχους παραλαβόντες, καὶ αὐτοὶ πανδημεὶ στρατεύσαντες, ἀντετάχθησαν τοῖς Λακεδαιμονίοις. γενομένης δὲ μάχης ἰσχυρᾶς, οἱ μὲν ἐπίλεκτοι τῶν Ἀργείων, χίλιοι τὸν ἀριθμὸν ὄντες, γεγυμνασμένοι δὲ καλῶς τὰ κατὰ τὸν πόλεμον, ἐτρέψαντο τοὺς ἀντιτεταγμένους πρῶτοι, καὶ διώκοντες [1] πολὺν φόνον ἐποίουν. οἱ δὲ Λακεδαιμόνιοι τἄλλα μέρη τοῦ στρατεύματος τρεψάμενοι, καὶ πολλοὺς ἀνελόντες, ὑπέστρεψαν ἐπ' αὐτοὺς ἐκείνους· οἳ καὶ τῷ πλήθει κυκλώσαντες, ἤλπιζον κατακόψειν ἅπαντας. τῶν δὲ λο-

Argivis fusis, Lacedaemonii victores abeunt.

1 Πολὺν ἐποίουν φόνον Reg. 1.

potestatem redacto, Tegeam castra transferunt, etiam illam oppugnare certi. Ibi cum Tegeatae Lacedaemoniorum opem quam maturrimam implorassent, Lacedaemonii, universis tum civium, tum sociorum auxiliis in unum contractis, Mantineam petunt, hac oppugnata facile Tegeae obsessionem in suspenso futuram rati. At Mantineates, sociorum auxiliis confirmati, omni civium iuventute educta, ad resistendum Lacedaemoniis aciem expediunt. Conferta igitur pugna, delecta Argivorum iuventus, quae M viris, in re militari egregie exercitatis, constabat, primi hostem terga dare cogunt, & fugientes insecuti magnam stragem edunt. At Lacedaemonii, hostibus alia parte in fugam disiectis, a prolixa illorum caede reversi illos adoriuntur: & multitudine circumfusa, in medium conclusos ad unum omnes se necaturos sperant. Cumque egregii illi viri, licet numero longe

γάδων τῷ μὲν πλήθει πολὺ λειπομένων, ταῖς δ' ἀνδραγαθίαις [1] προεχόντων, ὁ μὲν βασιλεὺς τῶν Λακεδαιμονίων προαγωνιζόμενος ἐνεκαρτέρησε τοῖς δεινοῖς, καὶ πάντας ἂν [2] ἀνεῖλεν· (ἔσπευδε γὰρ τοῖς πολίταις ἀποδοῦναι τὰς ἐπαγγελίας, καὶ μέγα τι κατεργασάμενος, διορθώσασθαι τὴν γεγενημένην ἀδοξίαν) οὐ μὴν εἰάθη γε τὴν προαίρεσιν ἐπιτελέσαι. Φάραξ γὰρ ὁ Σπαρτιάτης, εἷς ὢν τῶν συμβούλων, ἀξίωμα δὲ μέγιστον ἔχων ἐν τῇ Σπάρτῃ, διεκελεύετο τοῖς Ἀρκάσι δοῦναι δίοδον, καὶ μὴ πρὸς ἀπεγνωκότας τὸ ζῆν διακινδυνεύοντας, πεῖραν λαβεῖν ἀτυχούσης ἀρετῆς. ὅθεν ἠναγκάσθη κατὰ τὴν ἀρτίως ῥηθεῖσαν ἐπιταγὴν [3] δοῦναι διέξοδον, κατὰ τὴν τοῦ Φάρακος γνώμην. οἱ μὲν οὖν χίλιοι τὸν εἰρημένον τρόπον ἀφεθέντες [4] διελθεῖν, διεσώθησαν. οἱ δὲ Λακεδαιμόνιοι, μεγάλῃ μάχῃ νικήσαντες καὶ τρόπαιον στήσαντες, ἀπῆλθον εἰς τὴν οἰκείαν.

1 Προσεχόντων idem. Paullo ante λοχαγῶν omnes.
2 Ἀνεῖλεν Co. solus. cett. ἀνεῖλε.
3 Ἀποδοῦναι Coisl. Reg. 1.
4 Desunt usque ad ἀπῆλθον Reg. 1. Mox οἰκίαν Coisl.

inferiores, virtute tamen hostibus praecellerent, rex Lacedaemoniorum in prima fronte dimicans omnes pugnae difficultates fortiter excepit & evicit, cunctosque occidione occidisset, (nam promissa civibus exsolvere, & magnifico quodam facinore prioris notam ignominiae abolere festinabat) nisi conatus eius inhibitus fuisset. Pharax enim Spartanus, ex consiliariis unus, vir summae in urbe Lacedaemone auctoritatis, suos Arcadibus exitum dare iussit, ne, cum desperatae salutis hominibus decernendo, quid virtus ad extremas angustias redacta posset, experimentum caperent. Nupero igitur edicto coactus, prout censuerat Pharax, hostibus perrumpendi viam patefecit. Mille igitur illi, hoc modo dimissi, incolumes abiere: & Lacedaemonii, insigni proelio victores, erecto tropaeo domum redierunt.

Olymp. XC, 3.

π΄. Τοῦ δ' ἐνιαυσιαίου χρόνου διεληλυθότος, Ἀθήνησι μὲν ἦρχεν Ἀντιφῶν, ἐν Ῥώμῃ δὲ ἀντὶ τῶν ὑπάτων χιλίαρχοι τέτταρες κατεστάθησαν, Γάϊος Φούριος καὶ Τῖτος [1] Κοίντιος, ἔτι δὲ Μάρκος Ποστούμιος καὶ Αὖλος Κορνήλιος. ἐπὶ δὲ τούτων Ἀργεῖοι καὶ Λακεδαιμόνιοι διαπρεσβευσάμενοι πρὸς ἀλλήλους, εἰρήνην ἐποιήσαντο, καὶ συμμαχίαν συνέθεντο. διόπερ οἱ Μαντινεῖς ἀποβαλόντες τὴν ἀπὸ τῶν Ἀργείων βοήθειαν, ἠναγκάσθησαν ὑποταγῆναι τοῖς Λακεδαιμονίοις. περὶ δὲ τοὺς αὐτοὺς χρόνους ἐν τῇ πόλει τῶν Ἀργείων οἱ κατ' ἐκλογὴν κεκριμένοι τῶν πολιτῶν χίλιοι συνεφώνησαν, καὶ τὴν μὲν δημοκρατίαν ἔγνωσαν καταλύειν, ἀριστοκρατίαν δ' ἐξ [2] αὐτῶν καθιστάναι. ἔχοντες δὲ πολλοὺς συνεργοὺς, διὰ τὸ προέχειν τῶν πολιτῶν ταῖς οὐσίαις καὶ ταῖς ἀνδραγαθίαις, τὸ μὲν πρῶτον συλλαβόντες τοὺς δημαγωγεῖν εἰωθότας ἀπέκτειναν, τοὺς

Mantinea, relicta ab Argivis, in ditionem Lacedaemoniorum venit.

Inter Argivos seditio oritur.

1 Κοίγκτιος Clar. Reg. 2. Ven. Ceterum omnia post χιλίαρχοι deficiunt in Coisl. usque in eandem vocem principio capitis 81.
2 Αὐτῶν in utroque Reg.

LXXX. Exacto illo anno, rerum summae Athenis Praetor Antipho, & Romae pro Consulibus IV Tribuni militares, Caius Furius, Titus Quinctius, Marcus Postumius, & Aulus Cornelius, imperium gerebant. Tum Argivi & Lacedaemonii, missis ultro citroque legatis, de pace ac societate inter se colenda convenerunt. Idcirco Mantinenses, Argivorum praesidio destituti, imperium Lacedaemoniorum subire coacti sunt. Circa id ipsum tempus in urbe Argivorum, CIↃ, quos diximus, cives delecti, conspiratione inter se facta de evertendo populari statu, & optimatum imperio ex se constituendo, rationes inierunt. Cuius incepti cum multos haberent fautores atque socios, quod cum opibus tum virtute alios cives antecederent, Tribunos plebis, populi ductores, statim comprehensos necant, ceterisque metu perculsis,

δ' ἄλλους καταπληξάμενοι, κατέλυσαν τοὺς νόμους, καὶ δι' ἑαυτῶν τὰ δημόσια διῴκουν. διακατασχόντες δὲ ταύτην τὴν πολιτείαν μῆνας ὀκτὼ, κατελύθησαν, τοῦ δήμου συστάντος ἐπ' αὐτούς. διὸ καὶ τούτων ἀναιρεθέντων, ὁ δῆμος ἐκομίσατο τὴν δημοκρατίαν. ἐγένετο δὲ καὶ ἑτέρα κίνησις κατὰ τὴν Ἑλλάδα. καὶ Φωκεῖς γὰρ πρὸς Λοκροὺς διενεχθέντες, παρατάξει ἐκρίθησαν διὰ τὴν [1] οἰκείαν ἀνδρίαν. ἐνίκησαν γὰρ Φωκεῖς, ἀνελόντες Λοκρῶν [2] πλείους χιλίων. Ἀθηναῖοι δὲ, Νικίου στρατηγοῦντος, εἷλον δύο πόλεις, Κύθηρα καὶ Νισαίαν. τήν τε Μῆλον πολιορκήσαντες, ἡβηδὸν ἀπέσφαξαν· παῖδας δὲ καὶ γυναῖκας ἐξηνδραποδίσαντο. καὶ τὰ μὲν κατὰ τοὺς Ἕλληνας ἐν τούτοις ἦν. κατὰ δὲ τὴν Ἰταλίαν, [3] Φειδηνάται μὲν, παραγενομένων εἰς τὴν πόλιν αὐτῶν πρέσβεων ἐκ τῆς Ῥώμης, ἐπὶ μικραῖς αἰτίαις ἀνεῖλον τούτους. ἐφ' οἷς οἱ Ῥωμαῖοι παροξυνθέντες ἐψηφί-

Inter Phocenses & Locros bellum.

Phocenses victores.

Athenienses per Niciam Cythera & Nisaeam occupant, in urbe Melo adultos trucidant.

In Italia Romani in Fidenates bellum gerunt.

1 Ἰδίαν ora Steph.
2 Πλείους τῶν χιλίων Reg. 1.
3 Φειδινάται omnes, moxque iterum.

leges pristinas abrogarunt, & pro suo rempublicam arbitrio tractare coeperunt. Quam cum per menses octo sic occupatam tenuissent, a concitato in eos populo deiecti sunt, iisque deletis, Democratiam populus recuperavit. Alius insuper motus in Graecia excitatus est. Nam orta inter Phocenses & Locros controversia, suis ipsi armis rem disceptavere. Phocenses enim, proelio victores, de Locris plus mille trucidarunt. Interim Athenienses, ductore Nicia, duas urbes Cythera & Nisaeam occuparunt, Meloque expugnata, omnes pueritiae limitem egressos iugularunt, teneram vero aetatem, sexumque femineum in servitutem tradiderunt. Graecorum ergo status ita se tum habebat. In Italia vero Fidenates Romanos legatos ad se profectos, levi de causa necarunt. Quam iniuriam Romanorum populus, vehemen-

σαντο πολεμεῖν, καὶ προχειρισάμενοι δύναμιν ἀξιόλογον, εἵλοντο δικτάτωρα Ἄνιον Αἰμίλιον, καὶ μετὰ τούτου, κατὰ τὸ ἔθος, Αὖλον Κορνήλιον ἵππαρχον. ὁ δ' Αἰμίλιος παρασκευασάμενος τὰ πρὸς τὸν πόλεμον, ἀνέζευξε μετὰ τῆς δυνάμεως ἐπὶ τοὺς Φειδηνάτας. ἀντιταξαμένων δὲ τῶν Φειδηνατῶν, ἐγένετο μάχη ἐπὶ πολὺν χρόνον ἰσχυρά. καὶ πολλῶν παρ' ἀμφοτέροις πεσόντων, ἰσόρροπος ὁ ἀγὼν ἐγένετο.

Olymp. XC, 4. πα'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Εὐφήμου, ἐν Ῥώμῃ κατεστάθησαν ἀντὶ τῶν ὑπάτων χιλίαρχοι, Λεύκιος Φούριος, Λεύκιος [1] Κοίντιος, Αὖλος Σεμπρώνιος.

Argivos Lacedaemonii invadunt, ἐπὶ δὲ τούτων Λακεδαιμόνιοι μετὰ τῶν συμμάχων στρατεύσαντες εἰς τὴν Ἀργείαν, [2] Ὑσιὰς χωρίον εἷλον, καὶ τοὺς ἐνοικοῦντας ἀποκτείναντες, τὸ μὲν φρούριον κατέσκαψαν· αὐτοὶ δὲ πυθόμενοι τοὺς Ἀργείους

1 Κορίντιος edd. Κορίνχτιος marg. Steph. & Venet. Clar. Reg. 2. tum καὶ Αὖλος. Κουίντιος codex Cardinalis Granvellani in Fast. Pighii ad ann. CCCXXVIII.

2 Ὑγιὰς Coislin. Reg. 1. Vat. Vet. interp. *Higiae*. Vulgo Ἁγιάς.

ter commotus, bello vindicare decrevit. Dictatorem ergo dicunt Manium Aemilium, eique pro more Magistrum equitum A. Cornelium adiungunt. Is rebus omnibus ad bellum comparatis, Fidenates infesto exercitu petit. Quibus obviam egressis, acerrimo proelio ad tempus bene longum disceptatur, & multis utrinque fortiter oppetentibus, aequo tandem Marte disceßum est.

LXXXI. Iam Athenis magistratuum princeps erat Euphemus, & Romae iterum consulari potestate fungebantur Tribuni militum L. Furius, L. Quinctius & A. Sempronius; cum Lacedaemonii, sociorum auxiliis instructi, expeditione in Argolidem facta, oppidulum, quod Hysias vocant, ceperunt, incolisque obtruncatis, castellum destruxerunt. Tum audito, longum Argivos murum

ᾠκοδομηκέναι τὰ μακρὰ τείχη μέχρι τῆς θαλάττης, ἐπελθόντες τὰ κατεσκευασμένα τείχη κατέσκαψαν, καὶ τὴν [1] εἰς τὴν οἰκείαν ἐπάνοδον ἐποιήσαντο. Ἀθηναῖοι δὲ ἑλόμενοι στρατηγὸν Ἀλκιβιάδην, καὶ δόντες αὐτῷ ναῦς εἴκοσι, προσέταξαν συγκατασκευάσαι τοῖς Ἀργείοις τὰ κατὰ τὴν πολιτείαν. ἔτι γὰρ ἦσαν ἐν ταραχαῖς, διὰ τὸ πολλοὺς ὑπολελεῖφθαι τὴν ἀριστοκρατίαν [2] αἱρουμένους. ὁ δ' οὖν Ἀλκιβιάδης καταντήσας εἰς τὴν τῶν Ἀργείων πόλιν, καὶ συνεδρεύσας μετὰ τῶν τὴν δημοκρατίαν προκρινόντων, ἐπέλεξε τῶν Ἀργείων τοὺς μάλιστα δοκοῦντας τὰ τῶν Λακεδαιμονίων αἱρεῖσθαι, μεταστησάμενος δὲ τούτους ἐκ τῆς πόλεως, καὶ συγκατασκευάσας βεβαίως τὴν δημοκρατίαν, ἀπέπλευσεν εἰς τὰς Ἀθήνας. τούτου δὲ τοῦ ἔτους λήγοντος, Λακεδαιμόνιοι μετὰ πολλῆς δυνάμεως ἐμβαλόντες εἰς τὴν Ἀργείαν, καὶ πολλὴν τῆς χώρας δῃώσαντες, τοὺς φυγάδας τῶν Ἀργείων κατῴκισαν εἰς Ὀρνεάς. ἐπιτει-

Athenienses tutantur.

1 Desunt εἰς τὴν Reg. 1. Tum οἰκίαν in Coisl.

2 Αἱρουμένων ora Steph. Reg. 1. non male.

usque ad mare provexisse, illum ipsum aggressi diruunt, & hinc domum se receperunt. Athenienses vero imperatorem creant Alcibiadem, & traditis XX navibus mandant, ut Argivis in republica instauranda operam navet. Nam adhuc turbulentus eius status erat, quod magna illorum multitudo supererat, qui Aristocratiam praeferebant. Alcibiades igitur, quamprimum Argos pervenit, coacto senatu illorum, quibus popularis reipublicae forma magis placebat, delectum illorum agit, qui maxime Lacedaemoniorum partes sequi videbantur, eosque ex urbe relegat, & Democratia probe stabilita, Athenas retrogressus est. Sub exitum vero anni Lacedaemonii magnis cum copiis Argolidem invadunt, & regionem multis in locis depopulati, exsules Argivorum Orneas

χίσαντες δὲ τοῦτο τὸ χωρίον ἐπὶ τῆς Ἀργείας, καὶ φρουροὺς τοὺς ἱκανοὺς ἀπολιπόντες, προσέταξαν κακοποιεῖν τοὺς Ἀργείους. ἀπελθόντων δὲ τῶν Λακεδαιμονίων ἐκ τῆς Ἀργείας, Ἀθηναῖοι μὲν συμμαχίαν ἐξέπεμψαν τοῖς Ἀργείοις, τριήρεις τεσσαράκοντα, ὁπλίτας δὲ χιλίους καὶ διακοσίους. οἱ δ' Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων στρατεύσαντες ἐπὶ τὰς Ὀρνεὰς, τήν τε πόλιν κατὰ κράτος εἷλον, καὶ τῶν φρουρῶν καὶ φυγάδων οὓς μὲν ἀπέκτειναν, οὓς δὲ ἐξέβαλον [1] ἐκ τῶν Ὀρνεῶν. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τὸ πεντεκαιδέκατον ἔτος τοῦ Πελοποννησιακοῦ πολέμου.

Olymp. XCI, 1.

πβ'. Τῷ δὲ ἑκκαιδεκάτῳ [2] παρ' Ἀθηναίοις μὲν ἦν ἄρχων Ἀριστόμνηστος, ἐν Ῥώμῃ δ' ἀντὶ τῶν ὑπάτων χιλίαρχοι τέσσαρες κατεστάθησαν, Τῖτος Κλαύδιος καὶ Σπόριος Ναύτιος, ἔτι δὲ Λεύκιος Σέντιος καὶ Σέξτος Ἰούλιος. ἐπὶ δὲ τούτων παρὰ μὲν Ἠλείοις ἤχθη Ὀλυμπιὰς πρώτη πρὸς ταῖς ἐνενήκοντα, καθ' ἣν ἐνίκα

1 Praepositionem non legit Cl. 2 Παρὰ καὶ Ἀθηναίοις ἦν Coisl.

in coloniam deducunt, & locum hunc in Argolide situm circummuniunt, ac praesidio satis valido illic relicto mandant, ut terras Argivorum excursionibus infestas reddant. Lacedaemoniis inde digressis, Athenienses triremes XL & M CC milites armis instructos in subsidium mittunt. Cum his Argivi expeditione contra Orneas instituta, vi oppidum capiunt, & praesidiarios cum exsulibus partim trucidant, partim inde expellunt. Et haec XV belli Peloponnesiaci anno gesta sunt.

LXXXII. Decimo hinc sexto, cum Athenis reipublicae princeps esset Aristomnestes, & Romae loco consulum Tribuni militum T. Claudius, Spurius Nautius, & L. Sergius, & Sex. Iulius magistratum gererent, apud Eleos Olympias XCI celebratur, qua stadii victoriam ob-

σττάδιον Ἐξαίνετος [1] Ἀκραγαντῖνος. Βυζάντιοι δὲ καὶ Χαλκηδόνιοι παραλαβόντες Θρᾷκας, ἐστράτευσαν εἰς τὴν Βιθυνίαν πολλοῖς πλήθεσι, καὶ τήν τε χώραν ἐπόρθησαν, καὶ πολλὰ τῶν μικρῶν πολισμάτων ἐκπολιορκήσαντες, ἐπετέλεσαν πράξεις ὠμότητι διαφερούσας. πολλῶν γὰρ αἰχμαλώτων κρατήσαντες, ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων, ἅπαντας ἀπέσφαξαν. περὶ δὲ τοὺς αὐτοὺς χρόνους κατὰ τὴν Σικελίαν [2] Ἐγεσταῖοι πρὸς Σελινουντίους ἐπολέμησαν περὶ χώρας ἀμφισβητησίμου, ποταμοῦ τὴν χώραν τῶν διαφερομένων πόλεων ὁρίζοντος. Σελινούντιοι δὲ διαβάντες τὸ ῥεῖθρον, τὸ μὲν πρῶτον τῆς παραποταμίας βίᾳ κατέσχον· μετὰ δὲ ταῦτα καὶ τῆς [3] προσκειμένης χώρας πολλὴν ἀποτεμόμενοι, κατεφρόνησαν τῶν ἠδικημένων. οἱ δ' [4] Ἐγε-

Byzantini, Chalcedonii & Thraces in Bithyniam incurſiones faciunt.

In Sicilia Egeſtani & Selinuntii de finibus concertant.

1 Vulgo ὁ Ἀκραγαντῖνος· quem articulum non habent Coisl. Clar. Reg. 2. quibus accedo. Vid. lib. XIII, 82.

2 Ἐγεσταῖοι Coislin. ubique & Reg. 1. Edd. Αἰγεσταῖοι. Vid. lib. IV, 23.

3 Προκειμένης Coislin. Clarom. Reg. 2.

4 Αἰγεσταῖοι edd. ſemper.

tinuit Exaenetus Acragantinus. Tum Byzantini & Chalcedonii, adiunctis etiam Thracibus, magno cum exercitu in Bithyniam traiiciunt, agriſque pervaſtatis, multiſque oppidulis per vim expugnatis, facinora ſupra modum crudelia perpetrarunt. Magno enim captivorum agmine ex viris, mulieribus & pueris collecto, ad unum omnes promiſcue iugularunt. Per idem tempus in Sicilia inter Egeſtanos & Selinuntios de controverſis agrorum finibus bello diſceptabatur. Etſi enim fluvius diſſidentium territoria urbium diſcernebat; Selinuntii tamen adverſam amnis ripam tranſgreſſi, ſolum fluvio adiacens per vim occupant. Mox de proximis etiam campis parte non mediocri avulſa, per ludibrium praeterea iniuria affectis inſultant. Qua factorum indignitate provo-

σταῖοι παροξυνθέντες, τὸ μὲν πρῶτον διὰ τῶν λόγων πείθειν ἐπεβάλοντο μὴ ἐπιβαίνειν τῆς ἀλλοτρίας γῆς· ὡς δὲ οὐδεὶς αὐτοῖς προσεῖχεν, ἐστράτευσαν ἐπὶ τοὺς κατέχοντας τὴν χώραν, καὶ πάντας ἐκβαλόντες ἐκ τῶν ἀγρῶν, αὐτοὶ τὴν χώραν κατέσχον. γενομένης δὲ διαφορᾶς μεγάλης ἀμφοτέραις ταῖς πόλεσι, στρατιώτας ἀθροίσαντες, διὰ τῶν ὅπλων ἐποιοῦντο τὴν κρίσιν. διόπερ ἀμφοτέρων παραταξαμένων, ἐγένετο μάχη καρτερὰ, καθ' ἣν Σελινούντιοι νικήσαντες, ἀπέκτειναν τῶν Ἐγεσταίων οὐκ ὀλίγους. οἱ δ' Ἐγεσταῖοι ταπεινωθέντες, καὶ καθ' ἑαυτοὺς οὐκ ὄντες ἀξιόμαχοι, τὸ μὲν πρῶτον Ἀκραγαντίνους καὶ Συρακουσίους ἔπειθον συμμαχῆσαι· ἀποτυχόντες δὲ τούτων, ἐξέπεμψαν πρεσβευτὰς [1] εἰς τὴν Καρχηδόνα, δεόμενοι βοηθῆσαι. οὐ προσεχόντων δ' αὐτῶν, ἐζήτουν τινὰ διαπόντιον συμμαχίαν· οἷς συνήργησε [2] ταυτόματον.

Egestani proelio victi.

1 Omittit Clar.
2 Ταυτόματον ora Steph. Vat. Reg. 1. Coislin. Vulgo τὸ αὐτόματον.

cati Egestani, verbis primum dehortari illos, ne fundos alienos invaderent, conantur. Sed cum nemo aequas ipsis aures accommodat, armata possessores manu, quotquot erant, agris depellunt, & in pristinum eos ius vindicant. Quae res cum in magnum discordiae incendium erupisset, militibus utraque civitas conscriptis, rem ferro decernere constituit. Eductis igitur in aciem copiis, atrox pugna committitur, qua Selinuntii victores haud exiguum Egestani militis numerum occidunt. Qua clade viribus Egestanorum valde deminutis, cum per se hosti resistere non possent, Agrigentinorum primo & Syracusanorum conciliare sibi auxilia conantur. Quibus frustra tentatis, a Carthagine per legatos subsidia expetunt. Detrectantibus etiam his, transmarinam inde societatem armorum quaerunt. Nec fortuna consiliis hisce defuit.

πγ'. Λεοντίνων γὰρ ὑπὸ Συρακουσίων ἐκ τῆς πόλεως [1] μετῳκισμένων, καὶ τὴν πόλιν καὶ τὴν χώραν ἀποβεβληκότων, οἱ φυγάδες αὐτῶν συστραφέντες, ἔκριναν πάλιν αὐτοὺς Ἀθηναίους προσλαβέσθαι συμμάχους, ὄντας συγγενεῖς. περὶ δὲ τούτων κοινολογησάμενοι τοῖς ἔθνεσιν, οἷς συνεφρόνησαν, κοινῇ πρέσβεις ἐξέπεμψαν πρὸς Ἀθηναίους, ἀξιοῦντες μὲν βοηθῆσαι ταῖς πόλεσιν αὐτῶν ἀδικουμέναις, ἐπαγγειλάμενοι δὲ συγκατασκευάσειν αὐτοῖς τὰ κατὰ τὴν Σικελίαν πράγματα. παραγενομένων οὖν εἰς τὰς Ἀθήνας τῶν πρέσβεων, καὶ τῶν μὲν Λεοντίνων τὴν συγγένειαν προφερομένων καὶ τὴν προϋπάρχουσαν συμμαχίαν, τῶν δ' Ἐγεσταίων [2] ἐπαγγελλομένων χρημάτων τε πλῆθος δώσειν εἰς τὸν πόλεμον καὶ συμμαχήσειν κατὰ τῶν Συρακουσίων· ἔδοξε τοῖς Ἀθηναίοις ἐκπέμψαι τινὰς τῶν ἀρίστων ἀνδρῶν, καὶ διασκέψασθαι τὰ κα-

Hi Athenienſium implorant auxilium.

1 Μετῳκισαμένων Coisl. Reg. 1. 2 Ἐπαγγελομένων Reg. 2.

LXXXIII. Cum enim Leontini ex urbe ſua alio tranſlati ſimul & civitatem & agros amiſiſſent, quotquot ſolo patrio extorres ſupererant, coniunctis opibus & conſiliis, eorundem Athenienſium denuo, propter neceſſitudinem gentilitiam, ſocietatem adiungere decreverunt. Re itaque in publico gentium, quibuſcum convenerant, ſenatu diſceptata, communi legatos decreto Athenas mittunt, qui urbibus iniuria oppreſſis auxilia petant, & operam ad res in Sicilia ex commodo illorum conſtituendas polliceantur. Cumque legati Athenas veniſſent, Leontinis cognationem & priſtinam belli ſocietatem praeferentibus, Egeſtanis vero magnam pecuniae vim ad belli ſumtus, & ſtrenuam contra Syracuſanos operam pollicentibus, populo Athenienſi placuit, quoſdam eximiae prudentiae & virtutis cives illuc mittere, qui & inſulae

τὰ τὴν νῆσον καὶ τοὺς Ἐγεσταίους. παραγενομένων οὖν τούτων εἰς τὴν Ἔγεσταν, οἱ μὲν Ἐγεσταῖοι χρημάτων πλῆθος ἐπέδειξαν, τὰ μὲν οἴκοθεν, τὰ δὲ παρὰ τῶν ἀστυγειτόνων χρησάμενοι, φαντασίας [1] ἕνεκεν. ἀπελθόντων δὲ τῶν πρέσβεων, καὶ τὴν εὐπορίαν τῶν Ἐγεσταίων ἀπαγγειλάντων, συνῆλθεν ὁ δῆμος περὶ τούτων. προτεθείσης δὲ τῆς βουλῆς περὶ τοῦ στρατεύειν ἐπὶ Σικελίαν, Νικίας μὲν ὁ Νικηράτου, θαυμαζόμενος ἐπ' ἀρετῇ παρὰ τοῖς πολίταις, συνεβούλευε μὴ στρατεύειν ἐπὶ Σικελίαν. μὴ γὰρ δυνατὸν ὑπάρχειν ἅμα τε Λακεδαιμονίοις διαπολεμεῖν, καὶ δυνάμεις μεγάλας ἐκπέμπειν διαποντίους· καὶ τῶν Ἑλλήνων μὴ δυναμένους κτήσασθαι τὴν ἡγεμονίαν, ἐλπίζειν τὴν μεγίστην τῶν κατὰ τὴν οἰκουμένην νήσων περιποιήσασθαι; καὶ Καρχηδονίους μὲν ἔχοντας μεγίστην ἡγεμονίαν, καὶ πολλάκις ὑπὲρ τῆς Σικελίας πεπολεμη-

Nicias quidem bellum in Sicilia suscipere dissuadet.

1 Ἕνεκα Coisl.

& Egestanorum conditionem explorarent. His Egestam profectis, Egestani grandem pecuniae summam, cum ex aerario depromtam, tum a vicinis mutuo acceptam, inani ostentationis specie exhibent. Reversis inde legatis, & opulentiam Egestanae urbis renuntiantibus, populus idcirco in concionem evocatur. Propositoque tum in medium consilio de armis in Siciliam expediundis, Nicias, Nicerati filius, cui virtus magnam inter cives admirationem pepererat, de Sicilia bello nequaquam tentanda prudenter disseruit. Fieri enim non posse, ut cum Lacedaemoniis simul bellum gererent, & magnas trans mare copias emitterent. Deinde cum Graecorum hactenus principatum consequi nequierint, vana illos spe duci maximam toto orbe insulam sub iurisdictionem redigendi. His adiecit, Carthaginienses, magni imperii opibus instructos, Siciliam, creberrimis hactenus expeditionibus

κότας, μὴ [1] δεδυνῆσθαι κρατῆσαι τῆς νήσου, τοὺς δὲ Ἀθηναίους πολὺ λειπομένους τῇ δυνάμει τῶν Καρχηδονίων, [2] δορύκτητον ποιήσασθαι τὴν κρατίστην τῶν νήσων;

πδ'. Πολλὰ δὲ καὶ ἄλλα διαλεχθέντος αὐτοῦ περὶ τῆς προκειμένης ὑποθέσεως οἰκεῖα, τῆς ἐναντίας γνώμης προεστηκὼς Ἀλκιβιάδης, ἐπιφανέστατος Ἀθηναίων, ἔπεισε τὸν δῆμον ἐπανελέσθαι τὸν πόλεμον. ἦν γὰρ ὁ ἀνὴρ οὗτος δεινότατος μὲν εἰπεῖν τῶν πολιτῶν, εὐγενείᾳ δὲ καὶ πλούτῳ καὶ στρατηγίᾳ διωνομασμένος. εὐθὺς οὖν ὁ δῆμος στόλον ἀξιόχρεων κατεσκεύασε, τριάκοντα μὲν τριήρεις παρὰ τῶν συμμάχων λαβὼν, ἰδίας δ' ἑκατὸν καταρτίσας· [3] ταύτας τε κοσμήσας πᾶσι τοῖς εἰς πόλεμον χρησίμοις, [4] κατέλεξεν ὁπλίτας εἰς πεντακισχιλίους, στρατηγοὺς δὲ τρεῖς ἐχειροτόνησεν ἐπὶ ταύτην τὴν στρατηγίαν, Ἀλκιβιάδην καὶ Νικίαν

Sed auctore Alcibiade Athenienses nihilominus bellum ibi gerere decernunt.

1 Δύνασθαι Reg. 1.
2 Δορίκτητον Reg. 2. Coisl. δορήκτητον Clar.
3 Ταύτας ἐκόσμησε Reg. 2. Clar.
4 Καὶ κατέλεξεν iidem.

tentatam, subigere non valuisse; num Athenienses, viribus Carthaginiensibus longe inferiores, insulam potentissimam armis se domituros existiment?

LXXXIV. Postquam haec & multa alia praesenti argumento accommodata perorasset, Alcibiades, Atheniensium illustrissimus, contrariae sententiae patronus, suadendo populum ad bellum istud suscipiendum permovit. Vir enim hic summa inter cives dicendi facultate praeditus, natalium praeterea splendore, opumque amplitudine, ac rei militaris peritia percelebris erat. Confestim igitur populus classem incepto dignam, nempe triginta triremes a sociis acceptas, & C e suo navali depromtas, instruxit. Hisque omni ad bellum conducibili apparatu exornatis, V armatorum M. habito delectu imposuit, & tres ad hanc provinciam duces, Alcibiadem, Niciam &

*καὶ Λάμαχον. Ἀθηναῖοι μὲν οὖν περὶ ταῦτα ἦσαν. ἡμεῖς δὲ παρόντες ἐπὶ τὴν ἀρχὴν τοῦ πολέμου τοῦ συστάντος Ἀθηναίοις καὶ Συρακουσίοις, κατὰ τὴν ἐν ἀρχῇ πρόθεσιν, τὰς ἑπομένας πράξεις εἰς τὴν ἐχομένην βίβλον κατατάξομεν.*

Lamachum defignavit. Et his tum Athenienfes negotiis occupati erant. Nos igitur ad bellum inter Athenienfes & Syracufanos excitatum progreffi, pro inftituti noftri ab initio ratione, res, quae fequuntur, in proximum inde librum digeftas profequemur.

# ΔΙΟΔΩΡΟΥ

## ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

## ΒΙΒΛΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΗ

# ΤΑΔΕ ΕΝΕΣΤΙΝ
## ΕΝ ΤΗ ΤΡΙΣΚΑΙΔΕΚΑΤΗ
## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

Στρατεια Ἀθηναίων ἐπὶ Συρακουσίους μεγάλαις δυνάμεσι πεζικαῖς τε καὶ ναυτικαῖς.

Κατάπλους Ἀθηναίων εἰς Σικελίαν.

Κατάκλησις Ἀλκιβιάδου τοῦ στρατηγοῦ, καὶ φυγὴ εἰς Λακεδαίμονα.

Ὡς Ἀθηναῖοι διαπλεύσαντες εἰς τὸν μέγαν λιμένα τῶν Συρακουσίων, κατελάβοντο τοὺς περὶ τὸ Ὀλύμπιον τόπους.

1 Desunt omnia huius tituli Reg. ambob. credo etiam Vat. & Venet. ex utroque nihil certe quidem excerptum. Διοδώρου Σικελιώτου ἱστοριῶν τρισκαιδεκάτη τάδε περιέχει Coisl.

# HAEC IN DECIMO TERTIO
## DIODORI LIBRO
## CONTINENTUR.

*Athenienses magnis copiis, tam terrestribus, quam nauticis, in Syracusanos expeditionem faciunt.*

*Profectio Atheniensium in Siciliam.*

*Alcibiades, exercitus ductor, revocatus ad Lacedaemonios profugit.*

*Ut Athenienses in magnum Syracusiorum portum invecti, circumiecta Olympio loca occuparint.*

Ὡς Ἀθηναῖοι τὰς [1] Ἐπιπολὰς καταλαβόμενοι, καὶ μάχῃ νικήσαντες, ἐξ ἀμφοτέρων τῶν μερῶν ἐπολιόρκησαν τὰς Συρακούσας.

Ὡς Λακεδαιμονίων καὶ Κορινθίων πεμψάντων βοήθειαν, ἐθάῤῥησαν οἱ Συρακούσιοι.

Μάχη Συρακουσίων καὶ Ἀθηναίων, καὶ νίκη Ἀθηναίων μεγάλη.

Μάχη τοῖς αὐτοῖς, καὶ Συρακουσίων.

Ὡς Συρακούσιοι τῶν Ἐπιπολῶν κρατήσαντες, ἠνάγκασαν τοὺς Ἀθηναίους εἰς μίαν ἐλθεῖν παρεμβολὴν τὴν πρὸς τῷ Ὀλυμπίῳ.

Ὡς ναυτικὴν δύναμιν οἱ Συρακούσιοι κατασκευάσαντες, ναυμαχεῖν διέγνωσαν.

Ὡς Ἀθηναῖοι Λαμάχου τοῦ στρατηγοῦ τελευτήσαντος, καὶ Ἀλκιβιάδου μετακληθέντος, ἀντὶ τούτων στρατηγοὺς ἔπεμψαν Εὐρυμέδοντα καὶ Δημοσθένην, ἔχοντας δύναμιν καὶ χρήματα.

1 Ἐπιστολὰς Coisl. perperam.

*Ut Athenienſes, occupatis Epipolis, proelio victores ex utraque Syracuſas parte obſederint.*

*Ut Syracuſani, Lacedaemoniorum & Corinthiorum auxiliis confirmati, animum receperint.*

*Pugna Syracuſanorum cum Athenienſibus, horumque ingens victoria.*

*Conflictus inter eoſdem, & victoria Syracuſanorum.*

*Quomodo Syracuſani, Epipolis in poteſtatem redactis, unis Athenienſes caſtris ad Olympium incluſerint.*

*Ut nauticis Syracuſani copiis inſtructi, proelio navali decernere conſtituerint.*

*Athenienſes, Lamacho praetore defuncto, & revocato Alcibiade, Eurymedontem & Demoſthenem cum ſupplemento militum & pecuniis in locum illorum ſubmittunt.*

Διάλυσις σπονδῶν ὑπὸ Λακεδαιμονίων, καὶ πόλεμος πρὸς Ἀθηναίους ὁ Πελοποννησιακὸς λεγόμενος.

Ναυμαχία Συρακουσίων καὶ Ἀθηναίων, καὶ νίκη Ἀθηναίων, καὶ ἅλωσις Φρουρίων ὑπὸ Συρακουσίων, καὶ κατὰ γῆν νίκη.

Ναυμαχία πάσαις ταῖς ναυσὶν ἐν τῷ μεγάλῳ λιμένι, καὶ νίκη Συρακουσίων.

Κατάπλους ἐξ Ἀθηνῶν Δημοσθένους καὶ Εὐρυμέδοντος μετὰ δυνάμεως ἀξιολόγου.

Μάχη μεγάλη περὶ τὰς Ἐπιπολὰς, καὶ νίκη Συρακουσίων.

Δρασμὸς τῶν Ἀθηναίων, καὶ ἅλωσις τῆς πάσης δυνάμεως.

Ὡς Συρακούσιοι συνελθόντες εἰς ἐκκλησίαν, προέθηκαν βουλὴν, πῶς χρηστέον τοῖς αἰχμαλώτοις.

Οἱ ῥηθέντες λόγοι πρὸς ἑκάτερον [1] μέρος τῆς ὑποθέσεως.

1 Deſit Reg. 1.

*Induciae a Lacedaemoniis ſolvuntur, bellumque, quod Peloponneſiacum vocatur, contra Athenienſes renovatur.*

*Navalis pugna inter Syracuſanos & Athenienſes, qua vicerunt Athenienſes. Caſtella quaedam a Syracuſanis expugnantur, & ſecundo Marte ab iiſdem in terra dimicatur.*

*De pugna cunctis navibus in magno portu commiſſa, victore Syracuſano.*

*Adnavigatio Demoſthenis & Eurymedontis inſigni cum claſſe ex Athenis.*

*Ingens proelium ad Epipolas, & victoria Syracuſanorum.*

*Fuga Athenienſium, & totus horum exercitus in poteſtatem redactus.*

*Syracuſani, advocata concione, quid de captivis ſtatuendum ſit, inter ſe conſultant.*

*Orationes in utramque argumenti propoſiti partem dictae.*

Τὰ ψηφισθέντα τοῖς Συρακουσίοις περὶ τῶν αἰχμαλώτων.

Ὡς Ἀθηναίων πταισάντων περὶ Σικελίαν, πολλοὶ τῶν συμμάχων ἀπέστησαν.

Ὡς ὁ δῆμος τῶν Ἀθηναίων ἀθυμήσας παρεχώρησε τῆς δημοκρατίας, καὶ τετρακοσίοις ἀνδράσι τὴν πολιτείαν ἐπέτρεψαν.

Ὡς Λακεδαιμόνιοι ταῖς ναυμαχίαις τοὺς Ἀθηναίους ἐνίκησαν.

Ὡς Συρακούσιοι τοὺς ἀνδραγαθήσαντας κατὰ τὸν πόλεμον [1] ἀξιολόγοις δωρεαῖς ἐτίμησαν.

Ὡς Διοκλῆς, νομοθέτης αἱρεθεὶς, ἔγραψε τοὺς νόμους Συρακουσίοις.

Ὡς Συρακούσιοι τοῖς Λακεδαιμονίοις δύναμιν ἀξιόλογον ἔπεμψαν.

[2] Ὡς Ἀθηναῖοι τὸν τῶν Λακεδαιμονίων ναύαρχον καταναυμαχήσαντες, Κύζικον ἐξεπολιόρκησαν.

Ὡς Λακεδαιμονίων ἐξ Εὐβοίας πεντήκοντα ναῦς ἀπο-

1 Δωρεαῖς μεγάλαις Reg. 1. 2 Καὶ ὡς idem & Coisl.

*Populi Syracuſani decretum de captivis.*

*Ut ſocii, poſt rem infeliciter in Sicilia geſtam, ab Athenienſibus deſciverint.*

*Ut populus Athenienſis, animos deſpondens, abdicata Democratia, CCCC viris reipublicae adminiſtrationem permiſerit.*

*Lacedaemonii navalibus aliquot proeliis fundunt Athenienſes.*

*Syracuſani ſuos, qui fortiter in bello ſe geſſerant, magnificis muneribus cohoneſtant.*

*Diocles legumlator creatus, nova Syracuſanis iura conſcripſit.*

*Syracuſii non contemnendas Lacedaemoniis copias ſubmittunt.*

*Athenienſes, Lacedaemoniorum navarcho claſſe victo, Cyzicum expugnant.*

*Lacedaemonii L naves ex Euboea in ſubſidium victis expediunt,*

στειλάντων ἐπὶ βοήθειαν τοῖς ἡττημένοις, [1] ἅπασαι περὶ τὸν Ἄθω μετὰ τῶν ἀνδρῶν διεφθάρησαν ὑπὸ τοῦ χειμῶνος.

Ἀλκιβιάδου κάθοδος καὶ στρατηγία.

Πόλεμος [2] Ἐγεσταίοις καὶ Σελινουντίοις περὶ τῆς ἀμφισβητουμένης χώρας.

Ναυμαχία Ἀθηναίων καὶ Λακεδαιμονίων περὶ τὸ Σίγειον, καὶ νίκη Ἀθηναίων.

Ὡς Λακεδαιμόνιοι τὸν Εὔριπον χώσαντες, τὴν Εὔβοιαν ἤπειρον ἐποίησαν.

Περὶ τῆς ἐν [3] Κερκύρᾳ γενομένης στάσεως καὶ σφαγῆς.

Ὡς Ἀλκιβιάδης καὶ Θηραμένης ἐνίκησαν Λακεδαιμονίους ἅμα πεζῇ καὶ κατὰ θάλατταν ἐπιφανέστατα.

Ὡς Καρχηδόνιοι μεγάλας δυνάμεις διαβιβάσαντες ἐν Σικελίᾳ, Σελινοῦντα καὶ Ἱμέραν κατὰ κράτος εἷλον.

1 Ἅπασι Coislin.
2 Ἐγεστ. Reg. 1. Αἰγεστέοις Co.
3 Κορκύρᾳ Coislin. Paullo ante χώσαντες deest Reg. 1.

*quae omnes una cum viris circa Atho montem adverſa tempeſtate interierunt.*

*Alcibiadis in patriam reditus & Praetura.*

*Bellum inter Egeſtanos & Selinuntios de agris controverſis.*

*Athenienſium cum Spartanis pugna ad Sigeum navalis, & victoria.*

*Ut Lacedaemonii, obſtructo aggeribus Euripo, ex Euboea continentem fecerunt.*

*De ſeditione in Corcyra & laniena.*

*Quomodo Alcibiades & Theramenes de Lacedaemoniis terra marique inſignem victoriam retulerint.*

*Ut Carthaginienſes, magnis in Siciliam copiis tranſmiſſis, Selinuntem & Himeram vi expugnarint.*

Ὡς εἰς τὸν Πειραιᾶ καταπλεύσας μετὰ πολλῶν λαφύρων μεγάλης ἔτυχεν ἀποδοχῆς Ἀλκιβιάδης.

Ὡς Ἆγις ὁ βασιλεὺς, μεγάλῃ δυνάμει τὰς Ἀθήνας πολιορκεῖν ἐπιβαλόμενος, ἐξέπεσεν.

Ἀλκιβιάδου φυγὴ, καὶ κτίσις Θέρμων ἐν Σικελίᾳ.

Ναυμαχία Συρακουσίων πρὸς Καρχηδονίους, καὶ νίκη Συρακουσίων.

Περὶ τῆς ἐν Ἀκράγαντι εὐδαιμονίας, καὶ τῶν ἐν αὐτῇ [1] κατασκευασμάτων.

Ὡς Καρχηδόνιοι τριάκοντα μυριάσι στρατεύσαντες εἰς Σικελίαν, ἐπολιόρκησαν Ἀκράγαντα.

Ὡς Συρακούσιοι παραλαβόντες τοὺς συμμάχους, μυρίοις στρατιώταις ἐβοήθουν τοῖς Ἀκραγαντίνοις.

Ὡς τετρακισμυρίων Καρχηδονίων ἀπαντησάντων ἐνίκησαν οἱ Συρακούσιοι, καὶ πλείους τῶν ἑξακισχιλίων κατέκοψαν.

1 Κατεσκευασμένων ora Steph.

*Ut Alcibiades, cum magna ſpoliorum vi Piraeeum ingreſſus, magno (populi) favore & applauſu fuerit exceptus.*

*Quomodo Agis, inſtructiſſimo exercitu Athenas obſidere aggreſſus, incepto exciderit.*

*Alcibiadis exſilium, & Thermorum in Sicilia exſtructio.*

*Syracuſani, navali cum Carthaginienſibus proelio congreſſi, victoria potiuntur.*

*De felici rerum omnium copia Agrigenti, & magnificis ibidem ſtructuris.*

*Ut Carthaginienſes* CCC M. *armatorum Siciliam ingreſſi Acragantem obſidione preſſerint.*

*Ut Syracuſani, adiunctis ſibi armorum ſociis, militum* CCIↃↃ *adduxerint Agrigentinis.*

*Ut Carthaginienſes, cum* CCCC M. *obviam progreſſos, vicerint Syracuſani, & de illis plus ſexies mille trucidarint.*

Ὡς Καρχηδονίων τὰς ἀγορὰς παραιρουμένων, οἱ Ἀκραγαντῖνοι διὰ τὴν σπάνιν τῆς τροφῆς ἠναγκάσθησαν ἐκλιπεῖν τὴν πατρίδα.

Ὡς Διονύσιος, στρατηγὸς αἱρεθεὶς, ἐτυράννησε τῶν Συρακουσίων.

Ὡς Ἀθηναῖοι ἐν Ἀργινούσαις ἐπιφανεστάτῃ [1] ναυμαχίᾳ νικήσαντες, τοὺς στρατηγοὺς ἀδίκως ἐθανάτωσαν.

Ὡς Ἀθηναῖοι μεγάλῃ ναυμαχίᾳ λειφθέντες, ἠναγκάσθησαν, ἐφ' οἷς δυνατὸν ἦν, συνθέσθαι τὴν εἰρήνην, καὶ οὕτως ὁ Πελοποννησιακὸς πόλεμος κατελύθη.

Ὡς Καρχηδόνιοι λοιμικῇ νόσῳ περιπεσόντες, ἠναγκάσθησαν συνθέσθαι τὴν εἰρήνην πρὸς Διονύσιον τὸν τύραννον.

1 Μάχῃ in Steph. ora & Coisl. Reg. 1.

*Ut Agrigentini, intercepto a Carthaginienſibus undique commeatu, per alimoniae inopiam, ad relinquendam patriam fuerint adacti.*

*Ut Dionyſius imperator electus, tyrannidem Syracuſis arripuerit.*

*Athenienſes, inſigni proelio ad Arginuſas victores, duces iniuſte necant.*

*Athenienſes, ingenti fuſi proelio navali, quibus tunc fieri potuit conditionibus, pacem inire coguntur. Et ſic bello Peloponneſiaco finis tandem impoſitus eſt.*

*Ut Carthaginienſes, morbo peſtilentiali vexati, pacem cum Dionyſio tyranno facere ſint coacti.*

# [1] ΔΙΟΔΩΡΟΥ
## ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ
## ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ
### ΒΙΒΛΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΗ.

---

A bello Syracuſano, uſque ad belli Carthaginienſium in Sicilia in Dionyſium geſti, & belli Peloponneſiaci exitum.

Ει μὲν [2] ὅμοια τοῖς ἄλλοις ἱστορίαν ἐπραγματευόμεθα, [3] σχεδὸν δ᾽ ἦν ἐν τῷ προοιμίῳ περί τινων [4] διαλεχθέντας, ἐφ᾽ ὅσον ἦν εὔκαιρον, οὕτως ἐπὶ τὰς συνεχεῖς πράξεις μεταβιβάζειν τὸν λόγον· ( ὀλίγον γὰρ χρόνον ἀπολαβόντες τῇ γραφῇ, τὴν ἀναστροφὴν ἂν εἴχομεν τὸν ἀπὸ τῶν προοιμίων καρπὸν προσλαμβάνε-

Prooemio declarat hiſtoricus, operi ſubtrahenda eſſe inpoſterum prooemia, utpote quae rerum annorumque tanta ſeries, paucis li-

1 Titulus deſit Reg. amb.
2 Ὅμοια iid. & Co. Vulg. ὁμοίαν.
3 Σχεδὸν δ᾽ Coisl. Reg. 1. Ceteris coniunctio deeſt.
4 Διαλεχθέντες Reg. 1. Clar. & mox μεταβιβάζομεν Reg. 1.

# DIODORI SICULI
## BIBLIOTHECAE HISTORICAE
### LIBER DECIMUS TERTIUS.

---

Si hiſtoriam noſtram ad aliorum inſtitutum conformaremus, proximum erat, in libri cuiuſque praefatione de nonnullis, quoad opportunum illud eſſet, diſſerere, ac tum demum ad ſequentium negotiorum ſeriem integrandam orationem transferre. Exiguum enim ſcriptioni tempus ſubtrahendo, reſpirationem aliquam ex prooemiis,

bris comprehendenda, non amplius admittat.

σθαι ) ἐπεὶ δὲ ἐν [1] ὀλίγαις βίβλοις ἐπηγγειλάμεθα μὴ μόνον τὰς πράξεις ἐφ' ὅσον ἂν δυνώμεθα γράψειν, ἀλλὰ καὶ περιλήψεσθαι χρόνον πλείονα τῶν χιλίων καὶ ἑκατὸν ἐτῶν, ἀναγκαῖόν ἐστι, τὸν πολὺν λόγον τῶν προοιμίων παραπέμψαντας, ἐπ' αὐτὰς ἔρχεσθαι τὰς πράξεις· τοῦτο μόνον προειπόντας, ὅτι κατὰ μὲν τὰς προειρημένας ἓξ βίβλους ἀνεγράψαμεν τὰς ἀπὸ τῶν Τρωϊκῶν πράξεις, ἕως εἰς [2] τὸν ὑπὸ τῶν Ἀθηναίων ψηφισθέντα πόλεμον ἐπὶ Συρακουσίους, εἰς ὃν ἀπὸ Τροίας ἁλώσεως ἔστιν ἔτη ἑπτακόσια ἑξήκοντα. ἐν ταύτῃ δὲ προσαναπληροῦντες τὸν συνεχῆ [3] χρόνον, ἀρξόμεθα μὲν ἀπὸ τῆς ἐπὶ Συρακουσίους στρατείας, καταλήξομεν δὲ ἐπὶ τὴν ἀρχὴν τοῦ δευτέρου πολέμου Καρχηδονίοις πρὸς Διονύσιον τὸν Συρακουσίων τύραννον.

Additur annorum ratio.

Olymp. XCI, 2.

β'. Ἐπ' ἄρχοντος γὰρ Ἀθήνῃσι Χαβρίου Ῥωμαῖοι

1 Ὀλίγοις Clar. Reg. 1.
2 Τὸν ὑπὲρ idem Reg.
3 Πόλεμον Coisl. tum στρατίας, quo etiam modo Reg. 1. qui praeterea ἀρξώμεθα & καταλήξωμεν.

ceu fructum, caperemus. Sed quoniam paucis libris non tantum res gestas pro virili nos descripturos, verum & tempus ultra M & C annos simul comprehensuros, polliciti sumus, amandatis praefationum excursibus, ad res ipsas nos statim accedere necessum est; hoc tantum praemisso, quod superioribus sex voluminibus rerum ubique gestarum recensio ad hoc usque tempus deducta sit, quo de bello Syracusanis inferendo Athenienses suffragia tulerunt, ad quod a Troiae captivitate anni IↃCCLX effluxerunt: & quod in praesenti libro proximi temporis continuationem ab expeditione in Syracusanos exorsi, in secundi Carthaginiensis belli, contra Dionysium Syracusanorum tyrannum suscepti, primordiis terminare velimus.

II. Archontis enim officium gerente Athenis Chabria,

μὲν ἀντὶ τῶν ὑπάτων κατέστησαν χιλιάρχους τρεῖς, [1] Λεύκιον Σέργιον, Μάρκον Σερουίλιον, καὶ Μαρκον Παπίριον. ἐπὶ δὲ τούτων Ἀθηναῖοι ψηφισάμενοι τὸν πρὸς Συρακουσίους πόλεμον, τάς τε ναῦς [2] ἐπεσκεύασαν, καὶ χρήματα συναγαγόντες, μετὰ πολλῆς σπουδῆς ἅπαντα τὰ πρὸς τὴν στρατείαν παρεσκευάζοντο. ᾑρημένοι δὲ τρεῖς στρατηγοὺς, Ἀλκιβιάδην, Νικίαν καὶ Λάμαχον, αὐτοκράτορας αὐτοὺς κατέστησαν ἁπάντων τῶν [3] κατὰ τὸν πόλεμον. τῶν δὲ ἰδιωτῶν οἱ ταῖς οὐσίαις εὐποροῦντες, τῇ προθυμίᾳ τοῦ δήμου χαρίζεσθαι βουλόμενοι, τινὲς μὲν [4] ἰδίας τριήρεις κατεσκεύασαν, τινὲς δὲ χρήματα δώσειν εἰς τὰς τροφὰς τῆς δυνάμεως [5] ἐπηγγέλλοντο· πολλοὶ δὲ καὶ τῶν δημοτικῶν πολιτῶν καὶ ξένων, ἔτι δὲ συμμάχων, ἑκουσίως προσιόντες τοῖς στρατηγοῖς, [6] διεκελεύοντο καταγράφειν ἑαυτοὺς εἰς τοὺς στρατιώτας. οὕτως ἅπαντες μεμετεωρισμένοι

Decreto in Syracusanos bello, Athenienses classem expediunt, tribus ducibus, Alcibiadi, Niciae & Lamacho traditam.

1 Σέργιον Λεύκιον, Μάρκον Παπίριον, Μάρκον Σερουΐλιον Coislin. Reg. 1. Vat. vet. interpr. In marg. Steph. Μάρκον Παπύριον &c.
2 Κατεσκεύασαν Reg. 1. non male.
3 Πρὸς ora Steph. Ven. Reg. 2.
4 Ἰδίων Reg. 1.
5 Ἐπηγγέλοντο idem cum altero Reg.
6 Διεκέλευον Coisl.

& Romae tribus iterum Trib. Militaribus consulari potestate creatis, L. Sergio, M. Papirio, & M. Servilio, Athenienses bello iam contra Syracusanos decreto, naves instaurant, pecunias cogunt enixo studio, quidquid ad expeditionem maturandam faceret, comparant. Tres igitur duces creant, Alcibiadem, Niciam, & Lamachum, quibus plenariam totius belli potestatem tradunt. Ex privatis autem opulentissimus quisque, ut populi studio gratificarentur, alii suis triremes opibus armarunt, alii pecunias in stipendia & commeatum se erogaturos, promiserunt. Multi etiam de plebe exterisque ac sociis, ad Praetores ultro confluentes, nomina sua inter milites conscriptos referri iusserunt. Adeo cuncti, in spem ere-

ταῖς ἐλπίσιν, ἐξ ἑτοίμου κατακληροῦν ἤλπιζον τὴν Σικελίαν. ἤδη δὲ τοῦ στόλου παρεσκευασμένου, τοὺς Ἑρμᾶς [1] τοὺς κατὰ τὴν πόλιν παμπληθεῖς ὄντας συνέβη ἐν μιᾷ νυκτὶ περικοπῆναι. ὁ μὲν οὖν δῆμος, οὐχ ὑπὸ τῶν τυχόντων νομίσας γεγενῆσθαι τὴν πρᾶξιν, ἀλλ' ἀπὸ τῶν προεχόντων ταῖς δόξαις, ἐπὶ τῇ καταλύσει τῆς δημοκρατίας, ἐμισοπονήρει, καὶ τοὺς πράξαντας ἐζήτει, μεγάλας δωρεὰς [2] προθεὶς τῷ μηνύσαντι. προσελθὼν δέ τις τῶν ἰδιωτῶν τῇ βουλῇ, ἔφησεν εἰς οἰκίαν μετοίκου [3] τινὰς ἑωρακέναι τῇ νουμηνίᾳ περὶ μέσας νύκτας εἰσιόντας, ἐν οἷς [4] καὶ τὸν Ἀλκιβιάδην. ἀνακρινόμενος δ' ὑπὸ τῆς βουλῆς, πῶς νυκτὸς οὔσης ἐπεγίνωσκε τὰς ὄψεις, ἔφησε πρὸς τὸ τῆς σελήνης φῶς ἑωρακέναι. οὗτος μὲν οὖν [5] αὐτὸν ἐξελέγξας, κατεψευσμέ-

Antequam proficiscerentur, ecce una nocte Hermae omnes mutilati;

cuius facinoris suspicio in Alcibiadem movetur.

1 Omittit Reg. 2.
2 Προσθεὶς Coisl. Reg. 1.
3 Τινὸς marg. Steph. Clar. Ven. Reg. 2. quo utere, si allubescit.
4 Desit Coisl. Reg. 2.
5 Nec hoc legunt iidem. Tum κατεψευσμένον ἐπιστεύθη Coisl.

cti, paratissimam sibi fore Siciliae per sortem distribuendae possessionem, festinabant. Iamque classis ad navigandum expedita erat, cum derepente omnes per urbem Hermae (statuae Mercuriales), quorum ingens erat numerus, foede truncati sunt. Quod facinus non ab infimae sortis hominibus, sed quibusdam auctoritate eminentibus, dissolvendi popularis status causa, perpetratum ratus, magna in improbitatem eius facti ira exarsit populus, amplisque indici muneribus propositis, obnixe auctores investigavit. Quidam interim privatus Senatum accedens refert, se circa noctis medium nonnullos in domum cuiusdam inquilini ingredientes vidisse: inter quos Alcibiades etiam fuerit. Percontante autem Senatu, quomodo nocte intempesta facies dignoscere potuerit; ad Lunae radios se id cognovisse, respondet. Verum hic, dum semet ipse redarguit, in mendacio tunc

νος εὑρέθη· τῶν δ' ἄλλων οὐδ' ἴχνος τῆς πράξεως οὐδεὶς εὑρεῖν ἠδυνήθη. τριήρων μὲν ἑκατὸν τεσσαράκοντα [1] ἑτοιμασμένων, ὁλκάδων δὲ καὶ τῶν ἱππαγωγῶν, ἔτι δὲ καὶ τῶν τὸν σῖτον καὶ τὴν ἄλλην παρασκευὴν κομιζόντων πολύς τις ἀριθμὸς ἦν. ὁπλῖται δὲ καὶ σφενδονῆται, πρὸς δὲ τούτοις ἱππεῖς, καὶ τῶν συμμάχων πλείους τῶν ἑπτακισχιλίων, ἐκτὸς τῶν ἐν τοῖς πληρώμασι. τότε μὲν οὖν οἱ στρατηγοὶ μετὰ τῆς βουλῆς ἐν ἀπορρήτῳ συνεδρεύοντες, ἐβουλεύοντο πῶς χρὴ διοικῆσαι τὰ κατὰ τὴν Σικελίαν, [2] ἐὰν τῆς νήσου κρατήσωσιν· ἔδοξεν οὖν αὐτοῖς, Σελινουντίους μὲν καὶ Συρακουσίους ἀνδραποδίσασθαι, τοῖς δ' ἄλλοις ἁπλῶς τάξαι [3] φόρους, οὓς κατ' ἐνιαυτὸν οἴσουσιν Ἀθηναίοις.

Navium militumque numerus.

Ineunda consilia tum, cum Sicilia expugnata fuerit, produntur.

γ'. Τῇ δ' ὑστεραίᾳ κατέβαινον οἱ στρατηγοὶ μετὰ τῶν στρατιωτῶν εἰς τὸν [4] Πειραιᾶ, καὶ συνηκολούθει πᾶς ὁ κατὰ τὴν πόλιν ὄχλος, ἀναμὶξ ἀστῶν τε καὶ

Sacris in portu factis, classis iter ingreditur.

1 Notam defectus habet in edd. nec invenitur in Reg. 1. Coisl.
2 Εἰ Coisl.
3 Φόρον ὃν Clar. Venet.
4 Πειραιέα Clar. Reg. 2.

deprehensus fuit, nec ullum facinoris vestigium a quoquam alio deinceps inveniri potuit. Ceterum triremes Atheniensibus armatae fuerant CXL. Onerariarum praeterea Hippaginumque, & earum, quibus frumenta & reliquus necessariorum apparatus transveheretur, ingens erat numerus. Armati & funditores, praeterque hos equites, & a sociis acciti VII M. praeter socios navales, excedebant. Tum duces cum Senatu in arcano consessu de administrandis in Sicilia rebus, si insula potirentur, consilia tractarunt. Visum tandem fuit, ut, Selinuntiis & Syracusanis servituti mancipatis, ceteris stipendia quolibet anno solvenda Atheniensibus imperarent.

III. Postridie eius diei praefecti cum militibus in Piraeeum descendunt: sequitur promiscua ex Astu multitudo civium simul & peregrinorum, dum unusquisque

ξένων, ἑκάστου τοὺς ἰδίους συγγενεῖς τε καὶ φίλους προπέμποντος. αἱ μὲν οὖν τριήρεις παρ' ὅλον τὸν λιμένα παρώρμουν, κεκοσμημέναι τοῖς ἐπὶ ταῖς πρώραις ἐπιστήμασι καὶ τῇ λαμπρότητι τῶν ὅπλων· ὁ δὲ κύκλος ἅπας τοῦ λιμένος ἔγεμε θυμιατηρίων καὶ κρατήρων ἀργυρῶν, ἐξ ὧν ἐκπώμασι χρυσοῖς ἔσπενδον οἱ τιμῶντες τὸ θεῖον, καὶ προσευχόμενοι κατατυχεῖν τῆς στρατείας. ἀναχθέντες οὖν ἐκ τοῦ [1] Πειραιῶς, περιέπλευσαν τὴν Πελοπόννησον, καὶ κατηνέχθησαν εἰς Κέρκυραν. ἐνταῦθα γὰρ παραμένειν [2] παρήγγελτο, καὶ προσαναλαμβάνειν τοὺς παροίκους τῶν συμμάχων. ἐπεὶ δ' ἅπαντες ἠθροίσθησαν, διαπλεύσαντες τὸν Ἰόνιον πόρον, πρὸς ἄκραν Ἰαπυγίαν κατηνέχθησαν. κἀκεῖθεν ἤδη παρελέγοντο τὴν Ἰταλίαν· ὑπὸ μὲν οὖν Ταραντίνων οὐ προσεδέχθησαν, Μεταποντίνους δὲ καὶ Ἡρακλειώτας παρέπλευσαν. εἰς δὲ Θουρίους κατενεχθέν-

Itineris descriptio usque ad Rhegium.

1 Πειραιέως Reg. 2. 2 Παρηγγέλλετο Coisl. Clar.

cognatos & neceſſarios aliquouſque comitari gaudet. Triremes autem ſtatione ſua totum undique portum obtexerant, proraeque epiſtematis (erectis pluteis) & armorum ſplendore exornatae erant: univerſus vero in circuitu portus margo in orbem acerris & crateris argenteis refertus conſpiciebatur: ex his aureis hauſta ſcyphis libamenta Diis offerebant, numen venerantes, orantesque ſuppliciter, ut felix eſſet expeditionis ſucceſſus. E Piraeeo tandem evecti, circumnavigatis Peloponneſi oris, ad Corcyram deferuntur. Hic enim ut ſubſiſterent, quoad ſubſidia a ſociis in vicinia accepiſſent, imperatum illis fuerat. Coactis iam omnibus, Ionii maris tractum emenſi, ad Iapygiae promontorium appellunt. Hinc iam Italiam praeterlegentes, a Tarentinis non accipiuntur. Metapontinis etiam & Heraclienſibus praeternavigatis, ad Thurios provecti, ſummam illic humanita-

τες, πάντων ἔτυχον τῶν φιλανθρώπων. ἐκεῖθεν δὲ καταπλεύσαντες εἰς Κρότωνα, καὶ λαβόντες ἀγορὰν παρὰ τῶν Κροτωνιατῶν, τῆς τε Λακινίας Ἥρας τὸ ἱερὸν παρέπλευσαν, καὶ τὴν Διοσκουριάδα καλουμένην ἄκραν ὑπερέθεντο. μετὰ δὲ ταῦτα τὸ [1] καλούμενόν τε Σκυλλήτιον καὶ Λοκροὺς παρήλλαξαν· καὶ τοῦ Ῥηγίου καθορμισθέντες ἐγγὺς, ἔπεισαν τοὺς [2] Ῥηγίνους συμμαχεῖν. οἱ δὲ ἀπεκρίναντο [3] βουλεύσεσθαι μετὰ τῶν ἄλλων Ἰταλιωτῶν.

Tres Syracusanorum duces, Hermocrates, Sicanus & Heraclides, Siciliae civitates ad societatem invitant,

δ'. Συρακούσιοι δ' ἀκούσαντες ἐπὶ τοῦ πορθμοῦ τὰς δυνάμεις εἶναι τῶν Ἀθηναίων, στρατηγοὺς κατέστησαν αὐτοκράτορας τρεῖς, [4] Ἑρμοκράτην, Σικανὸν, καὶ Ἡρακλείδην, οἳ τοὺς στρατιώτας κατέγραφον, καὶ πρέσβεις ἐπὶ τὰς κατὰ τὴν Σικελίαν πόλεις ἀπέστελλον, δεόμενοι τῆς κοινῆς σωτηρίας ἀντιλαμβάνεσθαι. τοὺς γὰρ Ἀθηναίους τῷ μὲν λόγῳ πρὸς Συρακουσίους

1 Καλούμενόν τε Σκυλ. Reg. 2. optime. Vulgo Τεσκυλλήτιον.
2 Ῥηγίους Clar.
3 Βουλεύεσθαι Coisl. βουλεύσασθαι Reg. 2.
4 Ἑρμοκράτη Coisl. tum Σικάλιον ora Steph. Reg. 1. Coisl. vet. interpr. Vat.

tem experiuntur. Inde ſolventes Crotonem petunt: & rerum venalium foro illic praebito, Laciniae Iunonis fanum praetervecti, promontorium, Dioſcuriadis nomine inſignitum, tranſeunt. Poſt haec Scylletio, quod vocant, & Locris a tergo relictis, prope Rhegium ancoras iaciunt, & Rheginos ad iungendam armorum ſocietatem invitant. A quibus, conſilia prius cum aliis Italis capienda eſſe, reſponſum fuit.

IV. Syracuſani quamprimum, intra fretum eſſe claſſem Athenienſium, cognoverunt, tres ſumma poteſtate duces creant, Hermocratem, Sicanum & Heracliden: qui, conſcriptis militibus, per legatos Siciliae urbes ſollicitant atque rogant, ut pro communi omnium ſalute arma ſecum capeſſant. Athenienſes enim praetextu belli Syra-

quarum magna est discordia.

ἐνίστασθαι τὸν πόλεμον, τῇ δ' ἀληθείᾳ καταστρέψασθαι βουλομένους ὅλην τὴν νῆσον. Ἀκραγαντῖνοι μὲν οὖν καὶ Νάξιοι συμμαχήσειν ἔφησαν Ἀθηναίοις· Καμαριναῖοι δὲ καὶ Μεσσήνιοι τὴν μὲν εἰρήνην [1] ἄξειν ὡμολόγησαν, τὰς δ' ὑπὲρ τῆς συμμαχίας ἀποκρίσεις ἀνεβάλοντο. Ἱμεραῖοι δὲ καὶ Σελινούντιοι, πρὸς δὲ τούτοις Γελῷοι καὶ Καταναῖοι, συναγωνιεῖσθαι τοῖς Συρακουσίοις ἐπηγγείλαντο. αἱ δὲ τῶν Σικελῶν πόλεις τῇ μὲν εὐνοίᾳ πρὸς Συρακουσίους ἔρρεπον, ὅμως ἐν ἡσυχίᾳ μένουσαι, τὸ συμβησόμενον ἐκαραδόκουν. τῶν δ' [2] Ἐγεσταίων οὐχ ὁμολογούντων δώσειν πλέον τῶν τριάκοντα ταλάντων, οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἐγκαλέσαντες αὐτοῖς, ἀνήχθησαν ἐκ Ῥηγίου μετὰ τῆς δυνάμεως, καὶ κατέπλευσαν τῆς Σικελίας εἰς Νάξον. δεξαμένων δ' αὐτοὺς τῶν ἐν τῇ πόλει φιλοφρόνως, παρέπλευσαν ἐκεῖθεν εἰς Κατάνην. τῶν δὲ Καταναίων εἰς μὲν

Athenienses Naxum & Catanam in Sicilia adeunt.

1 Ἕξειν Coislin. Αἰγεσταίων edd.
2 Ἐγεσταίων Coislin. Reg. 1.

cusanis inferendi nihil aliud constitutum habere, quam ut totam suae potestati insulam subiiciant. Ad quod Acragantini & Naxii, se in Atheniensium societate permansuros, respondent. Camarinaei & Messenii, se a bello vacaturos, protestantur, responso de socialibus armis in aliud tempus reiecto. Himeraei & Selinuntii, cumque his Geloi & Catanaei, auxilia promittunt. Siculorum equidem urbes, etsi benevolentia quadam ad Syracusanorum partes inclinabant, quietem tamen amplexae, quo tanta belli moles recasura esset, dubiis animis praestolabantur. Ceterum cum Egestani, non plus triginta talentis se contributuros, aperte faterentur; Praetores Atheniensium fraudis eos incusant, & cum tota classe Rhegio digressi, Naxum Siciliae appellunt. Et amice benigneque a civibus accepti, Catanam deinde contendunt. Sed Ca-

πόλιν οὐ δεχομένων τοὺς στρατιώτας, τοὺς δὲ στρατηγοὺς ἐασάντων εἰσελθεῖν, καὶ παρασχομένων ἐκκλησίαν, οἱ στρατηγοὶ τῶν Ἀθηναίων περὶ συμμαχίας διελέγοντο. δημηγοροῦντος δὲ τοῦ Ἀλκιβιάδου, τῶν στρατιωτῶν τινες, διελόντες πυλίδα, παρεισέπεσον εἰς τὴν πόλιν. δι' ἣν αἰτίαν ἠναγκάσθησαν οἱ Καταναῖοι κοινωνεῖν τοῦ κατὰ τῶν Συρακουσίων πολέμου.

ε'. Τούτων δὲ πραττομένων, οἱ κατὰ τὴν ἰδίαν ἔχθραν μισοῦντες τὸν Ἀλκιβιάδην ἐν Ἀθήναις, πρόφασιν ἔχοντες τὴν τῶν ἀγαλμάτων περικοπὴν, διέβαλον αὐτὸν ἐν ταῖς δημηγορίαις, ὡς συνωμοσίαν κατὰ τοῦ δήμου πεποιημένον. συνελάβετο δ' αὐτῶν ταῖς διαβολαῖς τὸ πραχθὲν παρὰ τοῖς Ἀργείοις. οἱ γὰρ ἰδιόξενοι συνθέμενοι καταλῦσαι τὴν ἐν Ἄργει δημοκρατίαν, πάντες ὑπὸ τῶν πολιτῶν ἀνῃρέθησαν. πιστεύσας οὖν ὁ δή- Interea Athenis odium ingens in Alcibiadem ob Hermas deiectos exarsit:

tanenses, militibus urbis ingressu prohibitis, duces tantum intromittunt, & convocatis ad concionem civibus, duces Atheniensium de sociali foedere differere coeperunt. Interea vero dum Alcibiades concionatur, milites portula quadam evulsa in urbem irruperant. Quo facto ad commune cum Atheniensibus contra Syracusanos gerendum bellum Catanaei adiguntur.

V. Inter haec externa belli negotia, qui propter simultates privatas odio Alcibiadis inflammati erant Athenis, occasione de laceratis imaginibus arrepta, calumniis inter conciones illum insectantur, quasi conspirationem adversus populum, ad innovandum reipublicae statum, iniisset. Criminationem hanc adiuvit, quod recens in Argivorum urbe acciderat. Quidam enim, privata hospitum necessitudine potentes, quod de evertenda populi iurisdictione coniurassent, omnes civium armis oppressi trucidatique fuerant. Quo factum, ut populus Atticus tan-

μος ταῖς κατηγορίαις, καὶ δεινῶς ὑπὸ τῶν δημαγωγῶν παροξυνθεὶς, ἀπέστειλε τὴν Σαλαμινίαν ναῦν εἰς Σικελίαν, κελεύων τὴν ταχίστην [1] ἥκειν Ἀλκιβιάδην ἐπὶ τὴν κρίσιν. παραγενομένης οὖν τῆς νεὼς εἰς τὴν Κατάνην, Ἀλκιβιάδης ἀκούσας τῶν πρέσβεων τὰ δόξαντα τῷ δήμῳ, τοὺς συνδιαβεβλημένους ἀναλαβὼν εἰς τὴν ἰδίαν τριήρη, μετὰ τῆς [2] Σαλαμινίας ἐξέπλευσεν. ἐπεὶ δ' εἰς Θουρίους κατέπλευσεν, εἴτε καὶ συνειδὼς [3] ἑαυτῷ τὴν ἀσέβειαν ὁ Ἀλκιβιάδης, εἴτε καὶ φοβηθεὶς τὸ μέγεθος τοῦ κινδύνου, μετὰ τῶν συνδιαβεβλημένων διαδρὰς ἐκποδὼν ἐχωρίσθη. οἱ δ' ἐν τῇ Σαλαμινίᾳ νηῒ παραγενόμενοι, τὸ μὲν πρῶτον ἐζήτουν τοὺς περὶ τὸν Ἀλκιβιάδην· ὡς δ' οὐχ εὕρισκον, ἀποπλεύσαντες εἰς Ἀθήνας, ἀπήγγειλαν τῷ δήμῳ τὰ πεπραγμένα. οἱ μὲν οὖν Ἀθηναῖοι παραδόντες δικαστηρίῳ τοῦ τε Ἀλκιβιάδου καὶ τῶν ἄλλων τῶν συμφυγόντων τὰ ὀνόμα-

qui, cum primum ad causam dicendam revocaretur, aufugit Lacedaemonem.

1 Ἀφικέσθαι Ven. Alterutrum ex glossa venit.

2 Σαλαμῖνος Coisl.

3 Αὐτῷ Reg. 1. Coisl.

to facilius accusationi fidem haberet. A concionatoribus ergo vehementer stimulati, navem Salaminiam in Siciliam, ad dicendum causam revocatum Alcibiadem mittunt. Quae Catanam ubi pervenit, Alcibiades, de populi iussu a legatis certior factus, assumtis, qui una cum ipso delati fuerant, propria triremi cum Salaminia inde avehitur. Ubi vero Thurios perventum, cum sociis pariter reis Alcibiades, vel quod violatae religionis sibi conscius esset, vel quod magnitudinem periculi reformidaret, fugam arripiens e medio se subduxit. At qui in Salaminia vehebantur, cum elapsos aliquamdiu investigassent, nec tamen invenirent, repetito Athenas cursu, quid gestum sit, populo renuntiant. Tum Athenienses, exhibitis iudicio Alcibiadis, aliorumque, qui simul au-

τα, δίκην ἐρήμην κατεδίκασαν θανάτου. ὁ δὲ Ἀλκιβιάδης ἐκ τῆς Ἰταλίας διαπλεύσας ἐπὶ Πελοπόννησον, ἔφυγεν εἰς Σπάρτην καὶ τοὺς Λακεδαιμονίους παρώξυνεν ἐπιθέσθαι τοῖς Ἀθηναίοις.

στ'. Οἱ δ' ἐν Σικελίᾳ στρατηγοὶ μετὰ τῆς τῶν Ἀθηναίων δυνάμεως παραπλεύσαντες εἰς [1] Ἔγεσταν, Ὕκκαρα μὲν Σικελικὸν πολισμάτιον ἑλόντες, ἐκ τῶν λαφύρων συνήγαγον ἑκατὸν τάλαντα· κομισάμενοι δὲ καὶ τριάκοντα τάλαντα παρὰ τῶν Ἐγεσταίων, κατέπλευσαν εἰς Κατάνην. βουλόμενοι δὲ τὸν πρὸς τῷ μεγάλῳ λιμένι τόπον Συρακουσίων ἀκινδύνως καταλαβέσθαι, πέμπουσιν ἄνδρα Καταναῖον, ἑαυτοῖς μὲν πιστὸν, [2] τοῖς δὲ τῶν Συρακουσίων στρατηγοῖς πιθανὸν, διακελευσάμενοι λέγειν τοῖς ἡγεμόσι τῶν Συρακουσίων, ὅτι τινὲς Καταναίων συστάντες βούλονται συχνοὺς τῶν

Athenienses, exacto ab Egestanis tributo, ad Catanam subsistunt,

& inde per insidias magnum Syracusanorum portum, Olympium vicinaque loca occupant.

1 Ἔγεσταν Coisl. Αἴγεσταν edd. Mox Ὕχαρα Reg. 2. Μύκαρα Reg. 1. Vat. Μυκαρα Coisl. *Mycuram* vet. interpr.

2 Τοῖς δὲ τῶν Συρακουσίων solus Venet. quod placet. Cett. deest articulus. Τοῖς δὲ Συρακοσίοις marg. Steph. Coisl. Reg. 1. Σιρακοσίοις Vat.

fugerant, nominibus, indicta illos causa capite damnarunt. Alcibiades vero, ex Italia traiiciens in Peloponnesum, Spartam profugit, ibique Lacedaemonios ad denuo invadendum Athenienses instigavit.

VI. At qui remanserant in Sicilia Praetores, promotis ad Egestam copiis, Hyccara Siculorum oppidulum capiunt, e cuius spoliis C talenta confecere. Exactis praeterea XXX talentis ab Egestanorum civitate, Catanam repetiere. Cum autem loca magno Syracusanorum portui vicina, citra dimicationis periculum occupare in animo haberent; quendam ex Catanensium numero, sibi fidum, & Syracusanis ducibus non suspectum, eo mittunt, cum his mandatis, ut ducibus Syracusiorum nuntiet, nonnullos Catanaeorum ita inter se convenisse, ut numerosa

'Αθηναίων, αὐλιζομένους ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει νυκτὸς, ἄφνω συλλαβόντες, τὰς ἐν τῷ λιμένι ναῦς ἐμπρῆσαι. πρὸς δὲ τὴν τούτων συντέλειαν, ἠξίουν τοὺς στρατηγοὺς ἐπιφανῆναι μετὰ δυνάμεως, μή ποτε τῆς ἐπιβολῆς ἀποτύχωσιν. ἐλθόντος δὲ τοῦ Καταναίου πρὸς τοὺς ἡγεμόνας τῶν Συρακουσίων, καὶ δηλώσαντος τὰ προειρημένα, πιστεύσαντες περὶ τούτων οἱ στρατηγοὶ, συνετάξαντο [1] νύκτα καθ' ἣν ἐκτάξουσι τὴν δύναμιν, καὶ τὸν ἄνθρωπον ἐξαπέστειλαν εἰς τὴν Κατάνην. οἱ μὲν οὖν Συρακούσιοι κατὰ τὴν τεταγμένην νύκτα ἦγον τὸ στρατόπεδον ἐπὶ τὴν Κατάνην· οἱ δὲ 'Αθηναῖοι παραπλεύσαντες εἰς τὸν μέγαν λιμένα τῶν Συρακουσίων μετὰ πολλῆς ἡσυχίας, τοῦ τε 'Ολυμπίου κύριοι κατέστησαν, καὶ πάντα τὸν περικείμενον τόπον καταλαβόμενοι, παρεμβολὴν ἐποιήσαντο. οἱ δὲ στρατηγοὶ τῶν Συρακουσίων ὡς ᾔσθοντο τὴν ἀπάτην, ταχέως ἀναστρέψαντες, [2] προσέβαλον τῇ παρεμβολῇ τῶν 'Αθη-

1 Deest Reg. 2. & Venet. 2 Προσέμβαλον Clar.

Athenienſium manu, quae ſine armis noctu in urbe diverſaretur, repentino incurſu oppreſſa, naves in portu ſubſiſtentes incenderent. Quae ut expeditius peragantur, rogant militiae praefectos, ut cum exercitu ſe oſtendant, ne coeptorum ſucceſſus propoſitum ipſorum fruſtraretur. Catanaeus ergo cum ad Syracuſiorum duces profectus, mandata expoſuiſſet, illi verum hoc eſſe rati, noctem, qua copias educerent, conſtituunt, hominemque Catanam remittunt. Tum nocte, qua convenerat, exercitum Catanam verſus ducunt. Interea Athenienſes ſummo claſſem ſilentio in magnum Syracuſanorum portum appellunt, & Olympio in poteſtatem redacto, tota circum vicinia potiti, caſtra ibi communiunt. At Syracuſanorum praefecti, intellecta fraude ocius reverſi, ca-

ναίων. ἐπεξελθόντων οὖν τῶν πολεμίων, συνέστη μάχη, καθ' ἣν οἱ Ἀθηναῖοι τετρακοσίους τῶν ἐναντίων ἀνελόντες, Φυγεῖν ἠνάγκασαν τοὺς Συρακουσίους. οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ, θεωροῦντες τοὺς πολεμίους ἱπποκρατοῦντας, καὶ βουλόμενοι βέλτιον τὰ πρὸς τὴν [1] πολιορκίαν κατασκευάσασθαι, πάλιν ἀπέπλευσαν εἰς τὴν Κατάνην. πέμψαντες δ' εἰς Ἀθήνας τινὰς, ἔγραψαν [2] πρὸς τὸν δῆμον ἐπιστολὰς, ἐν αἷς ἠξίουν ἱππεῖς ἀποστεῖλαι καὶ χρήματα· πολυχρόνιον γὰρ ἔσεσθαι [3] τὴν πολιορκίαν. οἱ δ' Ἀθηναῖοι τριακόσια τάλαντα καὶ τῶν ἱππέων τινὰς ἐψηφίσαντο πέμπειν εἰς [4] τὴν Σικελίαν. τούτων δὲ πραττομένων, Διαγόρας ὁ κληθεὶς ἄθεος διαβολῆς τυχὼν ἐπ' ἀσεβείᾳ, καὶ Φοβηθεὶς τὸν δῆμον, ἔφυγεν ἐκ τῆς Ἀττικῆς· οἱ δ' Ἀθηναῖοι [5] τῷ ἀνελόντι Διαγόραν ἀργυρίου τάλαντον ἐπε-

Tum Diagoras Atheus Athenis aufugit.

1 Δημοκρατίαν Coisl. 1. & vet. interpr. quos sequor.
2 Ἐπὶ τὸν Clar. Reg. 2.
3 Τὴν πολιορκίαν ὑπελάμβανον edd. sed deest ultimum Coisl. Reg.
4 Τὴν Ἰταλίαν Vat.
5 Τῷ μὴ ἀνελόντι Coisl.

ſtra hoſtium invadunt. Quibus contra in aciem progreſſis, res ad pugnam venit, in qua caeſis ex adverſa parte CCCC, reliquos in fugam Athenienſes convertunt. Sed cum duces Athenienſium hoſtem equitatu praevalere cernerent, ut ſe ad obſidionem melius praemunirent, Catanam retro vehuntur, miſſiſque Athenas nuntiis, per literas a populo contendunt, ut equitatu & pecuniis inſtruantur, quod diuturnam fore obſidionem perſuaſum haberent. Trecenta igitur talenta & aliquot equitum turmae a populo ſubſidii in Siciliam loco decernuntur. Dum haec vero geruntur, Diagoras cognomento Atheus, ob intentatam ſibi impietatis actionem, metu populi, ex Attica profugit: quem qui occidiſſet, ei talentum argenti praeconis voce Athenienſes, praemii loco, obtulerunt.

Romani cum Aequis bella habuerunt.

κήρυξαν. κατὰ δὲ τὴν Ἰταλίαν Ῥωμαῖοι πρὸς Αἴκους πόλεμον ἔχοντες, [1] Λαβίκους ἐξεπολιόρκησαν. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

Olymp. XCI, 3.

ζ΄. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Πεισάνδρου Ῥωμαῖοι μὲν ἀντὶ τῶν ὑπάτων χιλιάρχους κατέστησαν τέτταρας, Πόπλιον Λουκρήτιον, Γάϊον Σερουίλιον, [2] Ἀγρίππαν Μενήνιον, [3] Σπούριον Οὐετούριον. ἐπὶ δὲ τούτων Συρακούσιοι πρέσβεις ἀποστείλαντες εἴς τε Κόρινθον καὶ Λακεδαίμονα, παρεκάλουν βοηθῆσαι, καὶ μὴ περιορᾶν αὐτοὺς περὶ τῶν ὅλων κινδυνεύοντας. συνηγορήσαντος δ᾽ αὐτοῖς Ἀλκιβιάδου, Λακεδαιμόνιοι μὲν ψηφισάμενοι βοηθεῖν τοῖς Συρακουσίοις, στρατηγὸν εἵλοντο Γύλιππον· Κορίνθιοι δὲ πλείονας μὲν τριήρεις παρεσκευάζοντο πέμπειν, τότε δὲ μετὰ Γυλίππου Πύθην μετὰ δύο τριήρων προαπέστειλαν [4] εἰς Σικελίαν. ἐν δὲ τῇ Κατάνῃ Νικίας καὶ Λάμαχος οἱ τῶν Ἀθη-

Syracusani, missa legatione, a Laced. & Corinthiis auxilia impetrant, adiuti Alcibiadis precibus.

Interea Nicias & Lamachus

1 Λαβινίους Ven. Edd. Λαβίνους.
2 Ἀγρίπαν Coisl.
3 Καὶ Σπούριον Reg. 2. mallem Σπόριον, ut solet.
4 Εἰς Σικελίαν Reg. 1. Cett. ἐν Σικελίᾳ.

In Italia Romani, cum Aequis bellum gerentes, Lavicos expugnarunt. Et has iste annus res gestas habuit.

VII. Cum Archontis deinde munere fungeretur Athenis Pisander, Romani IV Tribunos militares consulari potestate crearunt, P. Lucretium, C. Servilium, Agrippam Menenium, & Spurium Veturium. Quo tempore Syracusani, missis Corinthum & Lacedaemonem legatis, auxilia petunt, &, ne in extremum fortunas suas discrimen adduci patiantur, orant. Lacedaemonii quidem, patrocinante Syracusanis Alcibiade, statim auxilia decernunt, quorum dux Gylippus creatur. Corinthii vero, maiorem adornaturi classem, cum duabus dumtaxat triremibus Pythem Gylippo adiunctum in Siciliam praemittunt. Ad Catanam vero Nicias & Lamachus, Athe-

ναίων στρατηγοὶ, παραγενομένων αὐτοῖς ἐξ Ἀθηνῶν ἱππέων μὲν [1] διακοσίων πεντήκοντα, ἀργυρίου δὲ [2] ταλάντων τριακοσίων, ἀναλαβόντες τὴν δύναμιν, ἔπλευσαν εἰς Συρακούσας· καὶ προσενεχθέντες τῇ πόλει νυκτὸς, ἔλαθον τοὺς Συρακουσίους καταλαβόμενοι τὰς Ἐπιπολάς. αἰσθόμενοι δ' οἱ Συρακούσιοι, κατὰ τάχος ἐβοήθουν, καὶ ἀποβαλόντες τῶν στρατιωτῶν τριακοσίους, εἰς τὴν πόλιν συνεδιώχθησαν. μετὰ δὲ ταῦτα παραγενομένων [3] τοῖς Ἀθηναίοις ἐξ Ἐγέστης τριακοσίων μὲν ἱππέων, παρὰ δὲ τῶν Σικελῶν ἱππέων διακοσίων [4] πεντήκοντα, συνήγαγον ἱππεῖς τοὺς πάντας [5] ὀκτακοσίους. κατασκευάσαντες δὲ περὶ τὸ Λάβδαλον ὀχύρωμα, τὴν πόλιν τῶν Συρακουσίων ἀπετείχιζον, καὶ πολὺν φόβον τοῖς Συρακουσίοις ἐπέστησαν. διόπερ ἐπεξελθόντες ἐκ τῆς πόλεως, ἐπεχείρησαν διακωλύειν τοὺς οἰκοδομοῦντας τὸ τεῖχος. γενομένης δ' ἱπ-

Syracusas classe obsident;

1 Διακ. καὶ πεντήκοντα idem. 2. vet. interpr. In edd. Αἰγίνης.
2 Τάλαντα τριακόσια Clar.
3 Τῶν Ἀθηναίων Reg. 1. tum Αἰγέστης idem, Coisl. Ven. Reg.
4 Ὀκτὼ Coisl.
5 Πεντακοσίους idem, Reg. 1. Vat. & ora Steph.

nienfium praefecti, CC & L equitibus cum CCC talentûm fumma ex Attica advectis, cum claffe Syracufas verfus movent, & noctu ad urbem appulfi non advertentibus Syracufanis Epipolas occupant. Quod fentientes tandem Syracufani, propere ad propulfandum eos erumpunt. Sed CCC militum fuorum amiffis, intra moenia compelluntur. Poft haec cum CCC ex Egefta, & CCL ex Siculis equites Athenienfibus miffi veniffent, horumque fumma iam IↃ CCC aequaret, ducta circa Labdalum munitione, & interclufa urbe, in magnum Syracufanos pavorem coniecerunt. Moenibus proinde effufi, exftructionem muri urgentes prohibere conabantur. Sed eque-

πομαχίας, [1] συχνοὺς ἀποβαλόντες ἐτράπησαν. οἱ δ' Ἀθηναῖοι τῷ μέρει τῆς δυνάμεως τὸν ὑπερκείμενον τοῦ λιμένος τόπον κατελάβοντο, καὶ τὴν καλουμένην Πολίχνην τειχίσαντες, τό, τε τοῦ Διὸς ἱερὸν περιεβάλοντο, καὶ ἐξ ἀμφοτέρων τῶν μερῶν τὰς Συρακούσας ἐπολιόρκουν. τοιούτων δὲ ἐλαττωμάτων περὶ τοὺς Συρακουσίους γενομένων, ἠθύμουν οἱ κατὰ τὴν πόλιν. ὡς δ' ἤκουσαν Γύλιππον εἰς Ἱμέραν καταπεπλευκέναι, καὶ στρατιώτας ἀθροίζειν, πάλιν ἐθάῤῥησαν. ὁ γὰρ Γύλιππος μετὰ τεττάρων τριήρων καταπλεύσας εἰς Ἱμέραν, τὰς μὲν ναῦς ἐνεώλκησε, τοὺς δ' Ἱμεραίους πείσας συμμαχεῖν τοῖς Συρακουσίοις, παρά τε τούτων καὶ Γελώων, ἔτι δὲ Σελινουντίων καὶ Σικανῶν ἤθροιζε στρατιώτας. συναγαγὼν δὲ τοὺς ἅπαντας, τρισχιλίους μὲν πεζοὺς, διακοσίους δ' ἱππεῖς, διὰ τῆς μεσογείου παρῆγεν εἰς Συρακούσας.

quibus a mediterranea parte Gylippus, Laced. dux, auxilio venit.

1 Πολλοὺς Reg. 1. ex gloſſa.

ſtri certamine conferto, multis ſuorum deſideratis, terga verterunt. Tum Athenienſes cum parte quadam copiarum locum portui imminentem occupant, & Polichna, quam vocant, communita, Iovis etiam templum eidem muro includunt, ita ut ex utraque Syracuſas parte iam obſiderent. Tot igitur adverſis caſibus animi Syracuſanorum non parum debilitati ſunt. Sed poſteaquam renuntiatum fuit, Gylippum, Himerae appulſum, militem contrahere, fiducia in pectora ipſis rediit. Gylippus enim ubi cum IV triremibus Himeram attigerat, ſubductis navibus, Himeraeos ad ſocietatem Syracuſanorum adduxit, & ab his Geloiſque, Selinuntiis praeterea & Sicanis, militem conſcripſit. Omnibuſque in unum coactis, (erant autem III M. pedites, & equites CC) per mediterranea movens Syracuſas ingreditur.

η'. Καὶ μετ' ὀλίγας ἡμέρας μετὰ τῶν Συρακουσίων ἐξήγαγε τὴν δύναμιν ἐπὶ τοὺς Ἀθηναίους. γενομένης δὲ μάχης ἰσχυρᾶς, Λάμαχος ὁ τῶν Ἀθηναίων στρατηγὸς μαχόμενος ἐτελεύτησε. πολλῶν δὲ παρ' ἀμφοτέρων ἀναιρεθέντων, [1] ἐνίκησαν οἱ Ἀθηναῖοι. μετὰ δὲ τὴν μάχην παραγενομένων τριήρων τρισκαίδεκα ἐκ Κορίνθου, τοὺς ἐκ τῶν πληρωμάτων ἀναλαβὼν ὁ Γύλιππος μετὰ τῶν Συρακουσίων, προσέβαλε τῇ παρεμβολῇ τῶν πολεμίων, καὶ τὰς Ἐπιπολὰς ἐπολιόρκει. ἐξελθόντων δὲ τῶν Ἀθηναίων, συνῆψαν μάχην οἱ Συρακούσιοι, καὶ πολλοὺς τῶν Ἀθηναίων ἀποκτείναντες ἐνίκησαν, καὶ δι' ὅλης τῆς Ἐπιπολῆς τὸ τεῖχος κατέσκαψαν. οἱ δ' Ἀθηναῖοι καταλιπόντες τὸν πρὸς ταῖς Ἐπιπολαῖς τόπον, πᾶσαν τὴν δύναμιν εἰς τὴν ἄλλην παρεμβολὴν μετήγαγον. τούτων δὲ πραχθέντων, οἱ Συρακούσιοι μὲν πρέσβεις ἀπέστειλαν εἰς Κόρινθον καὶ Λακεδαίμονα περὶ βοηθείας. οἷς ἀπέστειλαν Κορίνθιοι μετὰ Βοιωτῶν μὲν καὶ Σικυωνίων χιλίους, Σπαρτιά-

Proelio utrinque commisso, Athenienses vincunt; sed Lamachus, eorum dux, perit.

Adveniunt Corinthiorum auxilia & nova Lacedaemoniorum.

1 Ἐνίκησαν οἱ Ἀθηναῖοι Coisl. solus, cui adstipulor.

VIII. Nec multos post dies copias una cum Syracusiis in hostem educit. Initoque conflictu tum acerrimo, Lamachus Atheniensium imperator pugnando cadit. Multis tandem ultro citroque caesis, Athenienses vincunt. Post hoc vero proelium XIII ex Corintho triremes advenerunt. Quarum classiariis Gylippus adscitis, horum Syracusanorumque opera hostium castra adortus, Epipolas oppugnat. Et licet erumperent Athenienses, commisso tamen proelio, multis suorum trucidatis, a Syracusiis vincuntur: qui per totas inde Epipolas murum destruunt. Hoc ergo loco Athenienses deiecti, in alteram stationem copias deducunt. Hisque ita gestis, legatos Syracusani denuo Corinthum & Lacedaemonem suppetias accitum mittunt. Corinthii ergo cum Boeotis & Sicyo-

ται δ' ἑξακοσίους. Γύλιππος δὲ περιπορευόμενος τὰς κατὰ [1] τὴν Σικελίαν πόλεις, πολλοὺς προετρέπετο συμμαχεῖν, καὶ λαβὼν στρατιώτας παρά τε τῶν Ἱμεραίων καὶ Σικανῶν τρισχιλίους, ἦγε διὰ τῆς μεσογείου. πυθόμενοι δὲ οἱ [2] Ἀθηναῖοι τὴν παρουσίαν αὐτῶν, ἐπιθέμενοι τοὺς ἡμίσεις ἀνεῖλον. οἱ δὲ περιλειφθέντες διεσώθησαν εἰς Συρακούσας. ἐλθόντων δὲ τῶν συμμάχων, οἱ Συρακούσιοι βουλόμενοι καὶ τῶν κατὰ θάλατταν ἀγώνων ἀντιποιεῖσθαι, τάς τε προϋπαρχούσας ναῦς καθείλκυσαν, καὶ ἄλλας [3] προσπαρασκευάσαντες, ἐν τῷ μικρῷ λιμένι τὰς [4] ἀναπείρας ἐποιοῦντο. Νικίας δὲ ὁ τῶν Ἀθηναίων στρατηγὸς ἀπέστειλεν εἰς Ἀθήνας ἐπιστολὰς, ἐν αἷς ἐδήλου ὅτι πολλοὶ πάρεισι σύμμαχοι τοῖς Συρακουσίοις, καὶ διότι ναῦς οὐκ ὀλίγας πληρώσαντες ναυμαχεῖν διέγνωσαν·

1 Deſit articulus Coisl.

2 Σικελοὶ Coislin. Reg. 1. Vat. ora Steph. & vet. interpr.

3 Προσπαρακατασκευάσ. Reg. 1. παρακατασκευάσαντες Coisl.

4 Ἀναπείρας Coislin. ἀναπείρους Reg. 1. Vulgo τὰς δ' ἀναπήρους.

niis CIↃ, Spartiatae autem IↃC expediunt. Interim Gylippus per Siciliae paſſim oppida circumvagatus, multos in ſocietatem huius belli pertraxit, & tribus militum millibus ab Himerenſibus & Sicanis auctus, per mediterranea agmen promovit. Quorum adventu cognito, Athenienſes dimidium eorum, inſidiis exceptum, trucidarunt: reliqui incolumes Syracuſas pervenere. Iamque novis confirmati auxiliaribus Syracuſani, navalis quoque certaminis fortunam tentare conſtituerunt. Quidquid ergo navium adhuc erat reliquum, deducunt, aliasque de novo conſtruunt, harumque in parvo portu experimenta faciunt. Nicias vero, praetor Athenienſium militaris, per literas populo Athenienſi denuntiat, plurima Syracuſanis auxilia recens acceſſiſſe, magnaque illos claſſe expedita, navali quoque bello animos adieciſſe.

κατὰ τάχος οὖν ἠξίου τριήρεις τε πέμπειν καὶ χρήματα, καὶ στρατηγοὺς τοὺς [1] συνδιοικήσοντας τὸν πόλεμον. Ἀλκιβιάδου μὲν γὰρ πεφευγότος, Λαμάχου δὲ τετελευτηκότος, αὐτὸν μόνον ἀπολελεῖφθαι, καὶ ταῦτ' ἀσθενῶς διακείμενον. οἱ δ' Ἀθηναῖοι μετ' Εὐρυμέδοντος μὲν τοῦ στρατηγοῦ δέκα ναῦς ἀπέστειλαν εἰς Σικελίαν καὶ ἀργυρίου τάλαντα ἑκατὸν τεσσαράκοντα περὶ τὰς θερινὰς τροπάς· περὶ δὲ τὴν ἐαρινὴν ὥραν παρεσκευάζοντο μέγαν στόλον [2] ἀποστέλλειν. διόπερ στρατιώτας τε πανταχόθεν παρὰ τῶν συμμάχων κατέγραφον, καὶ χρήματα συνήθροιζον. κατὰ δὲ τὴν Πελοπόννησον, οἱ Λακεδαιμόνιοι παροξυνθέντες ὑπὸ Ἀλκιβιάδου, τὰς σπονδὰς ἔλυσαν τὰς πρὸς Ἀθηναίους, καὶ ὁ πόλεμος οὗτος διέμεινεν ἔτη δυοκαίδεκα.

Athenienſes quoque pluribus navibus novoque duce, Eurymedonte, Niciam adiuvant.

Alcibiadis impulſu *induciae cum Athenienſ. diremtae.* (Cf. Olymp. LXXXIX, 3.)

θ'. Τοῦ δὲ ἔτους τούτου διελθόντος Κλεόκριτος μὲν ἄρχων Ἀθηναίων ἦν, ἐν Ῥώμῃ δ' ἀντὶ τῶν ὑπάτων

Olymp. XCI, 4.

1 Διοικήσοντας Reg. 1. συνδιοικήσαντας Coisl. 2 Ἐξαποστέλλειν Venet.

Triremes igitur & pecunias, novoſque collegas, qui belli ſecum munia obeant, ſubſidio mitti, petit. Alcibiade enim per fugam elapſo, & Lamacho interemto, ſe unum ſupereſſe, & valetudine quidem non ſatis firma. Athenienſes igitur X naves, duce Eurymedonte, cum CXL argenti talentis, circa ſolſtitium aeſtivum in Siciliam expediunt; ad proximum ver claſſem inſtructiorem mittere parati. Quocirca militem undique a ſociis conſcribunt, & vim pecuniarum colligunt. In Peloponneſo autem Lacedaemonii, Alcibiadis concitatu, inducias cum Athenienſibus pactas ſolvunt: & incendium huius belli per XII annos flagravit.

IX. Exacto hoc anno, Archontis munus Athenis gerebat Cleocritus, & Romae IV Tribuni militares conſulari

Iam Lacedaemonii, duce Agide & Alcibiade, Atticam de novo invadunt, Deceliamque castello muniunt; unde bello nomen *Decelico.*

χιλίαρχοι τέσσαρες ὑπῆρχον, Αὖλος [1] Σεμπρώνιος καὶ Μάρκος Παπίριος, [2] Κόϊντός τε Φάβιος καὶ Σπόριος Ναύτιος. ἐπὶ δὲ τούτων Λακεδαιμόνιοι μετὰ τῶν συμμάχων ἐνέβαλον εἰς τὴν Ἀττικήν, Ἄγιδος ἡγουμένου, καὶ Ἀλκιβιάδου τοῦ Ἀθηναίου. καταλαβόμενοι δὲ χωρίον ὀχυρὸν Δεκέλειαν, φρούριον ἐποίησαν κατὰ τῆς Ἀττικῆς. διὸ καὶ συνέβη τὸν πόλεμον τοῦτον Δεκελεικὸν προσαγορευθῆναι. Ἀθηναῖοι δὲ περὶ [3] μὲν τὴν Λακωνικὴν τριάκοντα τριήρεις ἀπέστειλαν, καὶ Χαρικλέα στρατηγόν. εἰς δὲ τὴν Σικελίαν ἐψηφίσαντο πέμπειν ὀγδοήκοντα μὲν τριήρεις, ὁπλίτας δὲ πεντακισχιλίους. οἱ δὲ Συρακούσιοι κρίναντες ναυμαχεῖν, καὶ πληρώσαντες ὀγδοήκοντα τριήρεις, ἐπέπλεον τοῖς πολεμίοις. τῶν δὲ Ἀθηναίων ἑξήκοντα ναυσὶν ἀνταναχθέντων, καὶ τῆς ναυμαχίας ἐνεργοῦ γενομένης, ἤδη πάντες οἱ ἀπὸ τῶν φρουρίων Ἀθηναῖοι κατέβησαν ἐπὶ τὴν θάλατταν. οἱ μὲν γὰρ θεάσασθαι τὴν μάχην ἐπε-

Vicissim Athenienses classem in Laconiam expediunt.

In Sicilia terra marique pugnatur:

1 Πετρώνιος ora St. Reg. 2. Ven. aberat τε. Tum Παπύριος omnes.
2 Κόϊντός τε Reg. 2. Clar. Cett. 3 Non est in Clar.

imperio fungebantur, A. Sempronius, M. Papirius, Q. Fabius, & Sporius Nautius. Tum Lacedaemonii cum sociis in Atticam invadunt, Agide ductore, & Alcibiade Atheniensi, Deceliamque, locum munitum, occupant, eamque castello contra Atticam muniunt. Unde evenit, ut bellum hoc Decelicum nuncupetur. Ab Atheniensibus contra XXX triremes, duce Charicle, in Laconiam mittuntur. In Siciliam praeterea LXXX triremes & V M. armatorum decernuntur. Interea Syracusii, pugnae navalis decretum exsecuturi, triremibus LXXX, armis & milite instructis, hosti obviam tendunt. Quibus Athenienses cum LX navium classe occurrunt. Valida tunc oritur concertatio. Iamque undique ex castellis & stationibus ad mare confluxerant Athenienses: alii quod con-

θύμουν, οἱ δ', εἴ τι [1] πταίσειαν ἐν τῇ ναυμαχίᾳ, βοηθήσειν τοῖς φεύγουσιν ἤλπιζον. οἱ δὲ τῶν Συρακουσίων στρατηγοὶ προϊδόμενοι τὸ γινόμενον, ἀπεστάλκεισαν τοὺς κατὰ τὴν πόλιν ἐπὶ τὰ τῶν Ἀθηναίων ὀχυρώματα, χρημάτων καὶ ναυτικῶν σκευῶν, ἔτι δὲ τῆς ἄλλης παρασκευῆς ὑπάρχοντα πλήρη. ἃ δὴ καταλαβόντες οἱ Συρακούσιοι παντελῶς ὑπ' ὀλίγων τηρούμενα, καὶ τῶν [2] ἀπὸ τῆς θαλάττης προσβοηθούντων πολλοὺς ἀπέκτειναν. κραυγῆς δὲ πολλῆς γενομένης περὶ τὰ φρούρια καὶ τὴν παρεμβολήν, οἱ ναυμαχοῦντες Ἀθηναῖοι καταπλαγέντες ἐτράπησαν, καὶ πρὸς τὸ λειπόμενον τῶν φρουρίων ἔφυγον. τῶν δὲ Συρακουσίων ἀτάκτως διωκόντων, οἱ Ἀθηναῖοι πρὸς τὴν γῆν καταφεύγειν οὐ δυνάμενοι, διὰ τὸ τοὺς Συρακουσίους [3] δυοῖν φρουρίων κυριεύειν, ἠναγκάσθησαν ἐξ ὑποστροφῆς πάλιν ναυμαχῆσαι. τῶν δὲ Συρακουσίων λελυκότων τὰς

terra Syracufani,

mari Athenienfes vincunt.

1 Πταίσειεν Reg. 2. λαμβάνοντες Reg. ambo.
2 Ἀπὸ Coisl. Paullo ante κατα- 3 Δυεῖν Reg. 1.

flictus fpectandi cupidi effent; alii quod fuis, fi quid in pugna navali adverfi contingeret, fugientibus opem fe laturos fperarent. Quod ita futurum ratiocinati Syracufani, fuos ad praefidium urbis relictos tacite Athenienfium munitiones invadere iubent, pecuniis, inftrumentoque nautico, & cetero apparatu refertas. Eafque facile a paucis cuftoditas occupant, magnamque eorum, qui a mari auxilium ferebant, caedem faciunt. Tum ingenti circa caftella & in caftris clamore fublato, acies quoque Athenienfium iam confligens trepidare, inque fugam verti, feque ad reliquias ftativorum defendendas recipere. Infectantibus vero abfque ordine Syracufanis, Athenienfes, quibus nulla in terram evadendi facultas daretur, quod duo iam caftella Syracufani tenerent, retro converfi pugnam redintegrare coguntur, confertaque claffe in Syracufanos, qui ordinibus iam folutis in-

*τάξεις, καὶ κατὰ τὸν διωγμὸν ἐῤῥιμμένων, ἀθρόαις ταῖς ναυσὶν ἐπιπλεύσαντες, ἕνδεκα μὲν κατέδυσαν, τὰς δὲ λοιπὰς ἕως τῆς Νήσου κατεδίωξαν. διαλυθείσης δὲ τῆς μάχης, ἑκάτεροι τρόπαιον ἔστησαν, οἱ μὲν Ἀθηναῖοι τῆς ναυμαχίας, οἱ δὲ Συρακούσιοι τῶν ἐπὶ τῆς γῆς [1] κατορθωμάτων.*

Syracusani cum Demosthenem Athenis nova classe adventurum comperissent, priusquam adveniret, Athenienses ad proelium cogunt,

ί. *Τῆς δὲ ναυμαχίας [2] τοιοῦτο τέλος λαβούσης, οἱ μὲν Ἀθηναῖοι πυνθανόμενοι τὸν μετὰ Δημοσθένους στόλον ἐν ὀλίγαις ἡμέραις ἥξειν, ἔκριναν μηκέτι διακινδυνεύειν ἕως ἂν ἡ δύναμις ἐκείνη παραγένηται. οἱ δὲ Συρακούσιοι τοὐναντίον, βουλόμενοι, πρὶν ἐλθεῖν τὴν μετὰ Δημοσθένους στρατιὰν, περὶ τῶν ὅλων διακριθῆναι, καθ' ἡμέραν εἰσπλέοντες ταῖς τῶν Ἀθηναίων ναυσὶν, ἐξήπτοντο τῆς μάχης. συμβουλεύσαντος δ' αὐτοῖς Ἀρίστωνος τοῦ Κορινθίου κυβερνήτου τὰς πρώρας τῶν νεῶν ποιῆσαι βραχυτέρας καὶ ταπεινοτέρας, πεισθέν-*

1 *Κατωρθωμένων* in ora Steph. 2 *Τοιοῦτον* Clar. Reg. 1. Vat. Coisl. satis bene.

ter persequendum disiecti erant, invehuntur: horumque XI naves illico demergunt; reliquas ad Insulam usque persequendo compellunt. Finita hinc pugna, utrique tropaeum erigunt, Athenienses, quod mari vicissent, Syracusani, quod rem terra feliciter gessissent.

X. Hunc ergo eventum cum navale certamen accepisset, comperto Demosthenis intra paucos dies cum classe adventu, Athenienses fortunam belli, quoad copiae illae praesto essent, non amplius experiri statuerunt. At contrarium Syracusanis consilium placuit, de summa videlicet rerum armis disceptandum esse, priusquam Demosthenis exercitus advenisset. In dies igitur contra naves Atheniensium invecti, pugna ipsos lacessebant. Tum Aristone gubernatore Corinthio suadente, ut proras navium breviores facerent & demissiores,

τες οἱ Συρακούσιοι πολλὰ διὰ ταύτην τὴν αἰτίαν ἐν τοῖς μετὰ ταῦτα κινδύνοις ἐπλεονέκτησαν. αἱ μὲν γὰρ Ἀττικαὶ τριήρεις ἦσαν ἀσθενεστέρας ἔχουσαι πρώρας καὶ μετεώρους, διὸ συνέβαινεν αὐτῶν τὰς ἐμβολὰς τιτρώσκειν τοὺς ὑπερέχοντας τῆς θαλάττης τόπους, ὥστε τοὺς πολεμίους μὴ μεγάλοις ἐλαττώμασι περιπίπτειν· αἱ δὲ τῶν Συρακουσίων τὸν περὶ τὴν πρώραν τόπον ἰσχυρὸν ἔχουσαι καὶ ταπεινὸν, κατὰ τὰς τῶν ἐμβολῶν δόσεις μιᾷ πολλάκις πληγῇ κατέδυον τὰς τῶν [1] Ἀθηναίων τριήρεις. ἐπὶ μὲν οὖν συχνὰς ἡμέρας οἱ Συρακούσιοι τῇ παρεμβολῇ τῶν πολεμίων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν προσβάλλοντες, οὐδὲν ἤνυον, τῶν Ἀθηναίων [2] ἡσυχίαν ἀγόντων. ἐπειδὴ δέ τινες τῶν τριηράρχων, οὐκέτι δυνάμενοι καρτερεῖν τὴν τῶν Συρακουσίων καταφρόνησιν, ἀντανήχθησαν τοῖς πολεμίοις ἐν τῷ μεγάλῳ λιμένι, καὶ συνέστη πασῶν τῶν τριήρων ναυμα-

novoque usi navium mechanemate, ipsos in fugam actos persequuntur.

1 Ἀθηναίων in ora Steph. Coisl. Reg. 1. Venet. Vat. & vet. interpr. quibus, tametsi discrimen haud magnum, non pugno. Edd. ἐναντίων.
2 Ἀγοντ. ἡσυχ. ambo Reg.

Syracusani consilio obtemperant. Quod magno in conflictibus deinceps ad victoriam emolumento ipsis fuit. Atticae enim triremes infirmioribus erant proris & elatis: quo fiebat, ut rostris suis nihil quam eminentia super mare loca vulnerantes, non magnis hostem detrimentis afficerent. At naves Syracusiorum, firmis instructae proris ac depressis, uno saepe rostrorum incurrentium ictu Atticas triremes supprimebant. Ad complures igitur dies Syracusani Atheniensium castra terra marique impetebant; sed absque effectu, quod Athenienses in statione se quiete continentes nullam pugnandi copiam hosti facerent. Verum ubi nonnulli triremium praefecti, Syracusanorum (insolenter quippe illudentium) contemtum amplius ferre non possent, in magno tandem portu contra hostes evehuntur, totaque classe certamen initur.

χία. οἱ μὲν οὖν Ἀθηναῖοι ταχυναυτούσας ἔχοντες τριήρεις, καὶ ταῖς κατὰ θάλατταν ἐμπειρίαις, ἔτι δὲ [1] καὶ ταῖς τῶν κυβερνητῶν τέχναις προτεροῦντες, ἄπρακτον εἶχον τὴν ἐν τούτοις ὑπεροχὴν, [2] ἐν στενῷ τόπῳ τῆς ναυμαχίας γινομένης· οἱ δὲ Συρακούσιοι συμπλεκόμενοι, καὶ τοῖς πολεμίοις οὐδεμίαν διδόντες ἀναστροφὴν, τούς τε ἐπὶ τῶν καταστρωμάτων ἠκόντιζον, καὶ λιθοβολοῦντες λιπεῖν ἠνάγκαζον τὰς πρώρας· ἁπλῶς δὲ πολλαῖς τῶν ἐμπιπτουσῶν νεῶν [3] ἐμβολὰς διδόντες, καὶ εἰς τὰς τῶν ἐναντίων ναῦς εἰσαλλόμενοι, πεζομαχίαν ἐν ταῖς ναυσὶ συνίσταντο. θλιβόμενοι δὲ πανταχόθεν οἱ Ἀθηναῖοι πρὸς φυγὴν ὥρμησαν· οἱ δὲ Συρακούσιοι διώξαντες, ἑπτὰ μὲν τριήρεις κατέδυσαν, πολλὰς δὲ ἀχρήστους ἐποίησαν.

ια΄. Τῶν δὲ Συρακουσίων ἐπηρμένων ταῖς ἐλπίσι,

1 Nota est defectus ornata vox in Steph. edito.

2 Τῆς ναυμαχίας ἐν στενῷ τόπῳ Reg. 1. Coisl.

3 Ἐμβολαῖς Clar. Vat.

Athenienses quidem triremium velocitate, rerumque maritimarum peritia, & gubernatorum sollertia, erant superiores. Sed quia pugna in angusto commissa fuerat loco, nulli haec praerogativa usui illis fuit. Syracusii itaque cum hoste conserti, nulla quietis aut regressus facultate permissa, propugnatores in tabulatis constitutos partim hastis incessunt, partim saxis petitos deturbant, prorasque deserere cogunt. Rostris denique in occursantes sibi naves plurimas inflictis, saltu in eas se transmittunt, atque intra naves terrestris speciem pugnae edunt. Rebus igitur undique afflictis, Athenienses in fugam praecipites aguntur. A tergo vero prementes Syracusii de triremibus VII demergunt, multasque ad belli munia inutiles reddunt.

XI. Iamque elatis in praeclaram rerum suarum spem

διὰ τὸ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν τοὺς πολεμίους νενικηκέναι, παρῆν Εὐρυμέδων καὶ Δημοσθένης, καταπεπλευκότες μὲν ἐξ [1] Ἀθηνῶν μετὰ δυνάμεως πολλῆς, ἐν δὲ τῷ παράπλῳ παρὰ Θουρίων καὶ Μεσσαπίων προσειληφότες συμμαχίαν. ἦγον δὲ τριήρεις πλείους τῶν τριακοσίων [2] δέκα, στρατιωτῶν δὲ, χωρὶς τῶν ἐν τοῖς πληρώμασι, πεντακισχιλίους· ὅπλα [3] τε καὶ χρήματα, πρὸς δὲ τούτοις τὰ πρὸς πολιορκίαν ὄργανα καὶ τὴν ἄλλην παρασκευὴν ἐν στρογγύλοις πλοίοις ἐκόμιζον. δι᾽ ἣν αἰτίαν οἱ Συρακούσιοι πάλιν ἐταπεινοῦντο ταῖς ἐλπίσι, νομίζοντες μηκέτι ῥᾳδίως ἐξισωθῆναι τοῖς πολεμίοις δυνήσεσθαι. Δημοσθένης δὲ πείσας τοὺς συνάρχοντας ἐπιθέσθαι ταῖς Ἐπιπολαῖς, (ἄλλως γὰρ οὐ δυνατὸν ἦν ἀποτειχίσαι τὴν πόλιν) ἀναλαβὼν μυρίους μὲν ὁπλίτας, ἄλλους δὲ τοσούτους ψιλοὺς, νυκτὸς ἐπέθετο τοῖς Συρακουσίοις. ἀπροσδοκήτου δὲ γενομένης τῆς ἐφόδου, φρουρίων τέ τινων ἐκρά-

Demosthenes interea superveniens magna classe,

noctu & ex improviso Syracusas adortus

1 Ἀθηναίων Clar. & Vatic.
2 Deſit Reg. 1. & vet. interpr. 3 Δὲ Reg. 2.

Syracuſanis, quippe qui terra marique hoſtes profligaſſent, ecce, Eurymedon & Demoſthenes cum magna ex Athenis manu ſuperveniunt. In tranſcurſu etiam auxiliares a Thuriis & Meſſapiis copias ſibi adiunxerant. Adducebantque plures, quam CCCX triremes, & militum, praeter remiges, V M. armaque & pecunias, & neceſſaria obſidioni inſtrumenta, ceterumque apparatum, onerariis navibus advehebant. Quo rurſus animi Syracuſanorum fracti, ſpeſque conciderunt, quod non facile tanto ſe hoſti pares deinceps eſſe poſſe iudicarent. Demoſthenes ergo, perſuaſis ad invadendum Epipolas collegis, aliter enim circumvallari urbs non poterat, X millibus gravis, totidemque levis armaturae aſſumtis, noctu Syracuſanos adoritur. Et quia improviſa haec erat impreſſio, caſtella quaedam ſubigunt,

τησαν, καὶ [1] παρεισπεσόντες ἐντὸς τοῦ τειχίσματος τῆς Ἐπιπολῆς, μέρος τι τοῦ τείχους κατέβαλον. τῶν δὲ Συρακουσίων πανταχόθεν συνδραμόντων ἐπὶ τὸν τόπον, ἔτι δὲ Ἑρμοκράτους μετὰ τῶν ἐπιλέκτων [2] ἐπιβοηθήσαντος, ἐξεώσθησαν οἱ Ἀθηναῖοι, καὶ νυκτὸς οὔσης, διὰ τὴν ἀπειρίαν τῶν τόπων, ἄλλοι κατ' ἄλλους τόπους ἐσκεδάσθησαν. οἱ δὲ Συρακούσιοι μετὰ τῶν συμμάχων καταδιώξαντες, δισχιλίους μὲν καὶ πεντακοσίους τῶν πολεμίων ἀποκτείναντες, οὐκ ὀλίγους δὲ τραυματίας ποιήσαντες, πολλῶν ὅπλων ἐκυρίευσαν. μετὰ δὲ τὴν μάχην Συρακούσιοι μὲν [3] Σικανὸν ἕνα τῶν στρατηγῶν μετὰ δώδεκα τριήρων ἀπέστειλαν εἰς τὰς ἄλλας πόλεις, τήν τε νίκην ἀπαγγελοῦντα τοῖς συμμάχοις, καὶ βοηθεῖν ἀξιοῦντα.

*ingenti suorum caede repellitur.*

ιβ'. Ἀθηναῖοι δὲ, τῶν πραγμάτων [4] ἐπὶ τὸ χεῖρον αὐτοῖς ἐκβάντων, καὶ διὰ τὸ τὸν περικείμενον τόπον ὑπάρχειν ἑλώδη, λοιμικῆς καταστάσεως εἰς τὸ στρα-

*Tum, ingruente praesertim peste,*

1 Παρεισεπεσόντες Coisl.
2 Ἐπιβοηθήσαντος marg. Steph. Reg. 2. Clar. quod sequor. Βοηθήσαντος edd.
3 Deest Reg. 1.
4 Αὐτοῖς ἐπὶ τὸ χ. idem & Co.

intraque munitionem irruptione facta, muri partem deiiciunt. At concursu Syracusiorum undique ad loca illa facto, & Hermocrate cum electa iuvenum manu propere auxilium ferente, expelluntur illinc Athenienses, & per noctis tenebras ob locorum imperitiam alii alio dissipati feruntur. Syracusani vero, cum auxiliariis insecuti, CIↃ CIↃ & D trucidant, nec exiguam fugientium partem sauciant, multisque armorum spoliis inde potiuntur. Post eam pugnam, Sicanum ex ducibus unum cum triremibus XII ad ceteras urbes mittunt Syracusani, qui & victoriam sociis annuntiet, & auxilia nova postulet.

XII. Athenienses vero, cum res in peius ruerent, & pestis exercitum, ob circumiacentis paludis exhalatio-

τόπεδον ἐμπεσούσης, ἐβουλεύοντο πῶς δεῖ χρῆσθαι τοῖς πράγμασι. Δημοσθένης μὲν οὖν ᾤετο δεῖν ἀποπλεῖν τὴν ταχίστην εἰς Ἀθήνας, φάσκων αἱρετώτερον εἶναι πρὸς Λακεδαιμονίους ὑπὲρ τῆς πατρίδος κινδυνεύειν, ἢ καθημένους εἰς Σικελίαν, μηδὲν τῶν χρησίμων [1] ἐπιτελεῖν. ὁ δὲ Νικίας οὐκ ἔφη δεῖν αἰσχρῶς οὕτως ἐγκαταλιπεῖν τὴν πολιορκίαν, καὶ τριήρων καὶ στρατιωτῶν, ἔτι δὲ χρημάτων εὐποροῦντας. πρὸς δὲ τούτοις, ἐὰν ἄνευ τῆς τοῦ δήμου γνώμης εἰρήνην ποιησάμενοι πρὸς τοὺς Συρακουσίους ἀποπλεύσωσιν εἰς τὴν πατρίδα, κίνδυνον [2] αὐτοῖς ἐπακολουθήσειν ἀπὸ τῶν εἰωθότων τοὺς στρατηγοὺς συκοφαντεῖν. τῶν δὲ εἰς τὸ συμβούλιον παρειλημμένων οἱ μὲν τῷ Δημοσθένει συγκατέθεντο περὶ τῆς ἀναγωγῆς, οἱ δὲ τῷ Νικίᾳ τὴν αὐτὴν γνώμην ἀπεφαίνοντο. διόπερ οὐδὲν σαφὲς ἐπικρίναντες, ἐφ' ἡσυχίας ἔμενον. τοῖς δὲ Συρακουσίοις παραγενομένης συμ-

& Syracusanorum exercitu multis auxiliis aucto, Athenienses de reditu deliberant.

1 Ἐπιτελοῦντας Coisl. Reg. 1. 2 Αὐτοὺς Reg. 1.

nem, corripuisset, quid facto opus esset, inter se deliberabant. Demosthenis igitur sententia erat, quam celerrime Athenas redeundum esse. Nam praestabilius est, inquit, pro patriae incolumitate ac gloria contra Lacedaemonios periculum adire, quam in Sicilia residendo nullum operae pretium facere. At Nicias turpe fore contendit, si in hac triremium, militumque & pecuniarum, abundantia obsidionem destituerent. Ad haec non mediocre sibi periculum ab his ingruiturum, qui calumniis duces premere soleant, si iniussu populi facta cum Syracusanis pace, in patriam renavigarent. Tum, qui in consilium adhibiti fuerant, alii Demosthenis consilium de reductione exercitus domum probare; alii in Niciae sententiam concedere. Cumque nihil certi fuisset decretum, quiete tum persistere. Interim non exigua Syra-

μαχίας παρά τε Σικελιωτῶν καὶ Σελινουντίων, ἔτι δὲ Γελώων, πρὸς δὲ τούτοις Ἱμεραίων καὶ Καμαριναίων, οἱ μὲν Συρακούσιοι μᾶλλον ἐθάῤῥουν, οἱ δ' Ἀθηναῖοι περιδεεῖς ἐγένοντο. τῆς δὲ νόσου μεγάλην ἐπίτασιν [1] λαμβανούσης πολλοὶ τῶν στρατιωτῶν ἀπέθνησκον, καὶ πάντες μετεμέλοντο διὰ τὸ μὴ [2] πάλαι τὸν ἀπόπλουν πεποιῆσθαι. διὸ καὶ τοῦ πλήθους θορυβοῦντος, καὶ τῶν ἄλλων πάντων ἐπὶ τὰς ναῦς ὁρμώντων, ὁ Νικίας ἠναγκάσθη συγχωρῆσαι περὶ τῆς εἰς οἶκον ἀναγωγῆς. ὁμογνωμόνων δὲ ὄντων τῶν στρατηγῶν, οἱ στρατιῶται τὰ σκεύη ἐνετίθεντο, καὶ τὰς τριήρεις πληρώσαντες, ἦρον τὰς κεραίας· καὶ παρήγγειλαν οἱ στρατηγοὶ τοῖς πλήθεσιν, ὅταν σημήνῃ, μηδένα τῶν κατὰ [3] τὸ στρατόπεδον ὑστερεῖν, ὡς ἀπολειφθησόμενον τὸν βραδύνοντα. μελλόντων δ' αὐτῶν τῇ ὑστεραίᾳ πλεῖν, ἐξέλιπεν ἡ σελήνη τῆς ἐπιούσης νυκτός. διόπερ ὁ Νικίας, καὶ φύ-

1 Λαβούσης ora Steph.
2 Πάλιν Coisl. Reg. 1.
3 Omittit Coisl.

cusanis auxilia a Siculis & Selinuntiis, itemque Gelois & Himerensibus, nec non Camarinaeis, accedunt. Quae res fiduciam Syracusanis auxit, magnumque Atheniensibus metum incussit. Morbo praeterea subinde magis saeviente, magna pars militum interibat. Unde cunctos poenitentia incessit, quod non pridem reditum in patriam instituissent. Multitudine igitur tumultuante, ceterisque omnibus ad naves properantibus, Nicias etiam in reditum consentire tandem coactus est. Iamque eandem ducibus sententiam amplexis, milites impedimenta in naves congerunt, & triremibus completis antennas extollunt, praetores quoque multitudini edicunt, ut dato signo nemo cunctetur. Relictum enim iri, si moras quis nexuerit. Verum cum postridie soluturi erant, interveniente nocte Luna defecit. Quocirca Nicias, & natura

σει δεισιδαίμων ὑπάρχων, καὶ διὰ τὴν ἐν τῷ στρατοπέδῳ νόσον εὐλαβῶς διακείμενος, συνεκάλεσε τοὺς μάντεις. τούτων δ' ἀποφηναμένων ἀναγκαῖον εἶναι τὰς εἰθισμένας τρεῖς ἡμέρας ἀναβαλλεσθαι τὸν ἔκπλουν, ἠναγκάσθησαν [1] καὶ οἱ περὶ τὸν Δημοσθένην συγκαταθέσθαι, διὰ τὴν πρὸς τὸ θεῖον εὐλάβειαν.

ιγ'. Οἱ δὲ Συρακούσιοι παρά τινων αὐτομόλων πυθόμενοι τὴν αἰτίαν ὑπερτεθεῖσθαι τὸν ἀπόπλουν, τάς [2] τε τριήρεις πάσας ἐπλήρωσαν, οὔσας [3] τὸν ἀριθμὸν ἑβδομήκοντα καὶ τέσσαρας, καὶ τὰς πεζὰς δυνάμεις ἐξαγαγόντες, προσέβαλον τοῖς πολεμίοις καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. οἱ δ' Ἀθηναῖοι τριήρεις πληρώσαντες ἓξ πρὸς ταῖς ὀγδοήκοντα, τὸ μὲν δεξιὸν κέρας παρέδωκαν Εὐρυμέδοντι τῷ στρατηγῷ, καθ' ὃ ἐτάχθη ὁ τῶν Συρακουσίων στρατηγὸς Ἀγάθαρχος, ἐπὶ δὲ θατέρου μέρους Εὐθύδημος ἐτέτακτο. καθ' ὃν ἀντετάξατο Σικανὸς, τῶν Συρακουσίων ἡγούμενος. τῆς δὲ μέ-

Iidem ob lunae defectum moram facientes novo proelio funduntur.

1 Δὲ καὶ Clar.
2 Non eſt in Reg. 2.
3 Steph. his duobus notam defectus adſtruxit, deſuntque Co. Cl.

ſuperſtitionibus obnoxius, & tum ob luem in exercitu anxius, haruſpices accivit. A quibus reſponſum, per tres adhuc dies (pro more alias ſollemni) abnavigationem differendam eſſe. In quam ſententiam Demoſthenes etiam cum ſuis ire, numinis metu, perpulſus eſt.

XIII. Syracuſani autem, de cauſa dilationis eius per transfugas edocti, quidquid habebant triremium, (erant autem LXXIV) eas militibus complent. Pedeſtribus etiam copiis eductis, terra marique hoſtem invadunt. Athenienſes contra VI & LXXX triremibus completis, dextrum cornu Eurymedoni Praetori tradunt, cui obiectus erat Agatharchus, Syracuſiorum Praetor. In altera vero parte Euthydemum conſtituunt, cui Sicanus, ductor Syracuſanorum, oppoſitus erat. Mediam vero aciem ob-

σης τάξεως εἶχε τὴν ἡγεμονίαν παρὰ μὲν τοῖς Ἀθηναίοις Μένανδρος, παρὰ δὲ τοῖς Συρακουσίοις Πύθης ὁ Κορίνθιος. ὑπερτεινούσης δὲ τῆς τῶν Ἀθηναίων φάλαγγος, διὰ τὸ πλείοσιν αὐτοὺς ἀγωνίζεσθαι τριήρεσιν, οὐχ ἥκιστα [1] καθ' ὃ πλεονεκτεῖν ἐδόκουν, κατὰ τοῦτο ἠλαττώθησαν. ὁ γὰρ Εὐρυμέδων ἐπιχειρήσας περιπλεῖν τὸ κέρας τῶν ἐναντίων, ὡς ἀπεσπάσθη τῆς τάξεως, ἐπιστρεψάντων ἐπ' αὐτὸν τῶν Συρακουσίων, ἀπελήφθη πρὸς τὸν κόλπον τὸν Δάσκωνα μὲν καλούμενον, ὑπὸ δὲ [2] τῶν Συρακουσίων κατεχόμενον, κατακλεισθεὶς δ' εἰς στενὸν τόπον, καὶ βιασθεὶς εἰς τὴν γῆν ἐκπεσεῖν, αὐτὸς μὲν ὑπό τινος τρωθεὶς [3] καιρίᾳ πληγῇ τὸν βίον μετήλλαξεν· ἑπτὰ δὲ ναῦς ἐν τούτῳ τῷ τόπῳ διεφθάρησαν. τῆς δὲ ναυμαχίας ἤδη [4] γινομένης ὅλοις τοῖς στόλοις, ὡς διεδόθη λόγος τόν τε στρατηγὸν ἀνῃρῆσθαι, καί τινας ναῦς ἀπολωλέναι, τὸ μὲν πρῶτον αἱ μάλι-

1 Καθ' οὗ Venet.
2 Negligitur articulus in Clar.
3 Καιρίῳ Reg. 1. Coisl. καὶ ῥίᾳ Clar. Vide not. in lib. IV, 16.
4 Γιγνομένης Reg. 1.

tinet apud Athenienſes Menander, a Syracuſiorum autem parte Pythes Corinthius. Etſi autem longius extenta erat Athenienſium phalanx, quod maiore triremium numero ad certamen venerant, tamen eo ipſo, quo ſuperiores eſſe videbantur, ſuccubuerunt. Nam Eurymedon, cornu adverſum circumvenire properans, dum a reliquo ſe agmine avellit, a Syracuſanis in eum converſis in ſinum, quem Daſconem vocitant, a Syracuſanis occupatum, interceptus compellitur. In anguſtias ergo concluſus, dum terrae navigia appellere cogitur, a quodam letali vulnere confoſſus occumbit, ſeptemque eius naves illic loci peſſumdantur. Iamque pugna per totas undique claſſes fervente, rumor de interfecto duce, & nonnullis cum eo navibus perditis, divulgatur. Ibi primae omnium triremes, quae proximum navibus amiſſis

στα συνεγγίζουσαι ταῖς διεφθαρμέναις ναυσὶν [1] ἐνέκλιναν, μετὰ δὲ ταῦτα τῶν Συρακουσίων ἐπικειμένων, καὶ διὰ τὸ γεγονὸς εὐημέρημα θρασέως ἀγωνιζομένων, βιασθέντες οἱ Ἀθηναῖοι πάντες φυγεῖν ἠναγκάσθησαν. γενομένου δὲ τοῦ διωγμοῦ πρὸς [2] τὸ τεναγῶδες μέρος τοῦ λιμένος, οὐκ ὀλίγαι τῶν τριήρων ἐν τοῖς βράχεσιν ἐπώκειλαν. ὧν συμβαινόντων, Σικανὸς ὁ τῶν Συρακουσίων στρατηγὸς ταχέως ὁλκάδα κληματίδων καὶ δάδων, ἔτι δὲ πίττης πληρώσας, ἐνέπρησε τὰς ἐν τοῖς βράχεσι ναῦς κυλινδουμένας. ὧν ἀναφθεισῶν οἱ μὲν Ἀθηναῖοι ταχέως τήν τε φλόγα κατέσβεσαν, καὶ ἀπὸ τῶν νεῶν ἐῤῥωμένως [3] ἠμύνοντο τοὺς ἐπιφερομένους, ἄλλην οὐδεμίαν εὑρίσκοντες σωτηρίαν· τὰ δὲ πεζὰ στρατόπεδα παρεβοήθει παρὰ τὸν αἰγιαλὸν, ἐφ' ὃν αἱ ναῦς ἐξεπεπτώκεισαν. ἁπάντων δὲ καρτερῶς ὑπομενόντων τὸν κίνδυνον, ἐπὶ μὲν τῆς γῆς ἐτράπησαν οἱ

1 Ἀνέκλιναν Coisl.
2 Non legitur in Clar. & Reg. 2.
3 Ἠμύναντο Reg. 1.

locum tenebant, inclinare coeperunt. Mox, urgentibus Syracuſanis, & ob novum ſucceſſum ferocius pugnam capeſſentibus, ſumma vi adacti Athenienſes fugam arripiunt; cumque hoſtis ad vadoſa uſque portus ſtagna tergis fugientium inſtaret, non paucae intra brevia triremes compulſae ſubſtiterunt. Quo facto Sicanus Praetor Syracuſiorum navem confeſtim onerariam ſarmentis, taedis & pice complet, naveſque intra vada fluctuantes incendit: ardentium contra flammam Athenienſes reſtinguunt, & cum nullum praeterea ſalutis praeſidium invenirent, fortiter e navibus irruentem in ſe hoſtem depellunt. Pedeſtres interim copiae ad eas litoris partes, quo naves ſuorum ex fuga appuliſſent, ad opem ferendam praeſto adſunt, cumque ſtrenue periculis ſeſe obiicerent, terra quidem Syracuſani funduntur; ſed mari

Συρακούσιοι, κατὰ θάλατταν δὲ προτερήσαντες, ἀπέπλευσαν εἰς τὴν πόλιν. ἀπώλοντο δὲ τῶν [1] μὲν Συρακουσίων ὀλίγοι, τῶν δ' Ἀθηναίων ἄνδρες μὲν οὐκ ἐλάττους [2] τῶν δισχιλίων, τριήρεις δ' ὀκτωκαίδεκα.

Nunc itaque Syracusani hostem ad internecionem persequi, & copiis navibusque dispositis undique constrictum tenere statuunt.

ιδʹ. Οἱ δὲ Συρακούσιοι νομίζοντες μηκέτι τὸν κίνδυνον εἶναι περὶ τῆς πόλεως, ἀλλὰ πολὺ μᾶλλον ἐνεστηκέναι τὸν ἀγῶνα περὶ τοῦ λαβεῖν τὸ στρατόπεδον μετὰ τῶν πολεμίων αἰχμάλωτον, ἀπέφραττον τὸ στόμα τοῦ λιμένος, ζεῦγμα κατασκευάζοντες. ἀκάτους τε γὰρ καὶ τριήρεις, ἔτι δὲ στρογγύλας ναῦς ἐπ' ἀγκυρῶν ὁρμίσαντες, καὶ σιδηραῖς ἁλύσεσι διαλαμβάνοντες, ἐπὶ τὰ σκάφη γεφύρας ἐκ σανίδων κατεσκεύασαν· καὶ πέρας ἐν ἡμέραις τρισὶ τοῖς ἔργοις ἐπέθηκαν [3] συντέλειαν. οἱ δ' Ἀθηναῖοι θεωροῦντες αὐτοῖς πάντοθεν τὴν σωτηρίαν ἀποκεκλεισμένην, ἔκριναν ἁπάσας τὰς τριήρεις πληροῦν, καὶ τῶν πεζῶν τοὺς κρατίστους

1 Abest a Coisl.
2 Τῶν δισχιλίων Reg. 1. cui accedo. Alii articulum omittunt.
3 Abest Reg. 1. & Venet. Mox αὐτοῖς Reg. 2.

victoriam adepti, in urbem revertuntur. Quorum illo conflictu non admodum multi ceciderunt. Athenienses vero militum haud minus duo millia, & triremes XIIX amiserunt.

XIV. Iamque Syracusani, non amplius pro urbe dimicandum esse, sed potius de eo certamen instare sibi arbitrati, ut castris hostium cum ipso exercitu captis potirentur, navium coniugatione portus ostia obstruxerunt. Scaphas enim triremesque & onerarias ancoris firmatas, & catenis ferreis constrictas, tabulatis pontibus insternunt, opusque intra triduum absolvunt. Athenienses igitur, salutis viam undique interclusam sibi cernentes, de complendis, quotquot restabant, triremibus, fortissimisque peditum in eas collocandis, consilia tractarunt, ut &

ἐμβιβάσαι, τῷ τε πλήθει τῶν νεῶν καὶ τῇ τῶν ἀγωνιζομένων ὑπὲρ τῆς σωτηρίας ἀπονοίᾳ καταπλήξειν τοὺς Συρακουσίους. διόπερ τοὺς ἐπὶ ταῖς ἡγεμονίαις τεταγμένους καὶ τοὺς ἀρίστους ἐξ ὅλου τοῦ στρατεύματος [1] ἐμβιβάσαντες, τριήρεις μὲν ἐπλήρωσαν πέντε λειπούσας τῶν ἑκατὸν εἴκοσι· τοὺς δὲ λοιποὺς [2] ἐπὶ τῆς γῆς ἔταξαν παρὰ τὸν αἰγιαλόν. οἱ δὲ Συρακούσιοι τὸ μὲν πεζὸν στράτευμα πρὸ τῆς πόλεως ἔστησαν, τριήρεις δὲ συνεπλήρωσαν ἑβδομηκοντατέσσαρας. συμπαρείποντό τε τὰς ὑπηρετικὰς ἔχοντες ναῦς παῖδες ἐλεύθεροι, τοῖς τε ἔτεσιν ὄντες ὑπὸ τὴν τῶν νεανίσκων ἡλικίαν, καὶ συναγωνιζόμενοι μετὰ τῶν πατέρων. τὰ δὲ περὶ τὸν λιμένα τείχη καὶ πᾶς ὁ τῆς πόλεως ὑπερκείμενος τόπος ἔγεμε σωμάτων. γυναῖκές τε γὰρ καὶ παρθένοι καὶ οἱ ἐν ταῖς ἡλικίαις τὴν ἐν τῷ πολέμῳ χρείαν παρέχεσθαι μὴ δυνάμενοι, τοῦ παντὸς πολέ-

1 Ἐμβιβάσαντες Reg. 1. Vatic. vet. interpr. Vulgo ἐκβιβάσαντες.
2 Non inveniuntur tria haec in Ven. Reg. 1. Coisl. vet. interpr. notanturque a Stephan. asterisco. Dele ergo, si placet.

navium multitudine, & audacia militum, pro salute sua ex desperatione propugnantium, Syracusanis terrorem iniicerent. Praefectos idcirco, ordinumque principes, & e toto exercitu praestantissimos quosque triremibus imponentes, CXX demtis V triremes complent. Reliquam copiarum partem in litore disponunt. At Syracusani, pedestri contra acie pro urbis moenibus instructa, LXXIV triremes milite referciunt, quas ingenua pubes in navigiis actuariis comitatur, adolescentulorum aetatem nondum supergressi, ut parentibus in hoc certamine praesto forent. Muri etiam portum excipientes, & tota urbis regio eminentior, innumeris spectantium corporibus oppleta erant. Nam matronae, virginesque, quique per aetatem belli muniis idonei nondum essent, ut de extre-

μου τὴν κρίσιν λαμβάνοντες, μετὰ πολλῆς ἀγωνίας ἐπεθεώρουν τὴν μάχην.

Nicias & pedestres & navales copias ab hoste circumventas ad ineundum summum periculum & certamen de salute exhortatur.

ιε΄. Καθ' ὃν δὴ χρόνον Νικίας ὁ τῶν Ἀθηναίων στρατηγὸς ἐπιβλέψας τὰς ναῦς, καὶ τὸ μέγεθος τοῦ κινδύνου [1] λογισάμενος, οὐκ ἐπέμεινεν ἐπὶ τῆς ἐν τῇ γῇ τάξεως, ἀλλὰ καταλιπὼν τοὺς πεζοὺς ἐπί τινα ναῦν ἀνέβη, καὶ παρέπλει τὰς τριήρεις τῶν Ἀθηναίων. ἕκαστον δὲ τῶν τριηράρχων ἐξ ὀνόματος προσφωνῶν καὶ τὰς χεῖρας ἐκτείνων, ἐδεῖτο πάντων εἶναι πρότερον, ἢ τὸ νῦν ἀντιλαβέσθαι τῆς μόνης καταλελειμμένης ἐλπίδος. ἐν γὰρ ταῖς τῶν ναυμαχεῖν μελλόντων ἀρεταῖς καὶ ἑαυτῶν ἁπάντων καὶ τῆς πατρίδος κεῖσθαι τὴν σωτηρίαν. καὶ τοὺς μὲν τέκνων ὄντας πατέρας τῶν υἱῶν [2] ὑπομιμνήσκων, τοὺς δ' ἐνδόξων γεγονότας πατέρων παρακαλῶν τὰς τῶν προγόνων ἀρετὰς μὴ καταισχῦναι, τοὺς δὲ ὑπὸ τοῦ δήμου τετιμημένους προτρεπόμε-

1 Omittit Reg. 1. Vat. quod praefero. In edd. ὑπεμίμνησκε.
2 Ὑπομιμνήσκων Reg. 1. Coisl.

mo totius belli discrimine iudicium caperent, non absque multa trepidatione pugnam contuebantur.

XV. Quo rerum momento Nicias, Atheniensium imperator, videns classem in procinctu iam stantem, & periculi magnitudinem considerans, suam in terra stationem tueri non contentus, sed relicto peditatu navem conscendit, & triremes Atheniensium circumvehitur, unumquemque trierarchorum nominatim compellans, manibusque protensis obsecrans, ut quisque omnes alios praecellere studeat, eamque spem, quae sola adhuc superfit, summis viribus tueatur. Nam in virtute iam proelio navali sese defensurorum suam & ipsius patriae salutem repositam esse. Quibus sua domi proles erat, hos pietatis liberis debitae commonefacit. Claris parentibus ortos, ne maiorum virtutes dedecorent, exhortatur. A populo ob merita honoribus affectos, ut se coronis ac-

νος ἀξίους φανῆναι τῶν στεφάνων. [1] πάντας δ' ἀναμνησθέντας τῶν ἐν Σαλαμῖνι τροπαίων, ἠξίου μὴ καταῤῥίψαι τῆς πατρίδος τὴν περιβόητον δόξαν, μηδὲ αὐτοὺς ἀνδραπόδων τρόπον παραδοῦναι τοῖς Συρακουσίοις. ὁ μὲν οὖν Νικίας τοιούτοις χρησάμενος λόγοις, πάλιν ἐπὶ τὴν ἰδίαν τάξιν ἐπανῆλθεν. οἱ δ' ἐν ταῖς ναυσὶ παιανίσαντες ἔπλεον, καὶ φθάσαντες τοὺς πολεμίους, διέλυον τὸ ζεῦγμα. οἱ δὲ Συρακούσιοι ταχέως ἐπαναχθέντες συνετάττοντο ταῖς τριήρεσι, καὶ συμπλεκόμενοι τοῖς ἐναντίοις, ἠνάγκασαν αὐτοὺς ἐπιστρέφειν ἀπὸ τοῦ ζεύγματος, καὶ διαμάχεσθαι. ποιουμένων δὲ τὰς ἀνακρούσεις τῶν μὲν ἐπὶ τὸν αἰγιαλὸν, τῶν δ' εἰς μέσον [2] τοῦ λιμένος, τινῶν δὲ πρὸς τὰ τείχη, [3] ταχέως ἀπ' ἀλλήλων διεσπάσθησαν αἱ τριήρεις ἅπασαι, καὶ χωρισθέντων ἀπὸ τῶν κλείθρων, πλήρης ἦν ὁ λιμὴν τῶν κατ' ὀλίγους ναυμαχούντων. ἔνθα δὴ παραβόλως ἀμφοτέ-

Tum pugnam ineunt.

1 Ἅπαντας Reg. 1. Reg. 1.
2 Τὸν λιμένα Steph. marg. Vat. 3 Ταχέως ἀπεσπάσθησαν Reg. 1.

ceptis nunc dignos praeſtent, invitat. Univerſos denique, tropaeis ad Salaminem in memoriam revocatis, orat & obteſtatur, ne tam inſignem patriae gloriam proſtituant, neque ſe mancipiorum ritu Syracuſiis dedant. Hac oratione confirmatis utrinque militibus, Nicias ad ſuum in acie pedeſtri munus retrocedit. Tum claſſiarii, paeane decantato, hoſte citius ad clauſtra navium conſtipatarum provecti, diſſolvere ea properant. Sed repente Syracuſani triremibus ordine diſpoſitis adnavigant, conſertiſque manibus, hoſtes a iugatis navibus averſos ad dimicandum compellunt. Cum igitur alii verſus litus, alii medium in portum, nonnulli etiam ad moenia, retro naves impellerent, ſubito factum eſt, ut laxatis ordinibus claſſis divelleretur, ſubmotiſque a ſepto Athenienſibus, exiguo naves agmine per totum huc illuc portum diſperſae confligebant. Ibi pertinax utriſque de victoria certa-

ρων περὶ τῆς νίκης ἀγωνιζομένων, οἱ μὲν Ἀθηναῖοι τῷ τε πλήθει τῶν νεῶν θαῤῥοῦντες, καὶ σωτηρίαν ἄλλην οὐχ ὁρῶντες, θρασέως ἐκινδύνευον, [1] καὶ τὸν ἐν τῇ μάχῃ θάνατον εὐγενῶς ὑπομένοντες· οἱ δὲ Συρακούσιοι θεατὰς τῶν ἀγώνων ἔχοντες γονεῖς καὶ παῖδας, ἐφιλοτιμοῦντο πρὸς ἀλλήλους, ἑκάστου βουλομένου δι' ἑαυτοῦ τὴν νίκην περιγενέσθαι τῇ πατρίδι.

Pugnae atrocissimae descriptio.

ιστ'. Διὸ καὶ πολλοὶ ταῖς τῶν ἐναντίων πρώραις ἐπιβάντες, τῆς οἰκείας νεὼς ὑφ' ἑτέρας τρωθείσης, ἐν μέσοις τοῖς πολεμίοις ἀπελαμβάνοντο. ἔνιοι δὲ σιδηρᾶς χεῖρας ἐπιβάλλοντες ἠνάγκαζον τοὺς [2] ἀντιτεταγμένους ἐπὶ τῶν νεῶν πεζομαχεῖν. πολλάκις δὲ τὰς ἰδίας ἔχοντες ναῦς συντετριμμένας, εἰς τὰς τῶν ἐναντίων [3] μεθαλλόμενοι, καὶ τοὺς μὲν ἀποκτείνοντες, τοὺς δ' εἰς τὴν θάλατταν προσωθοῦντες, ἐκυρίευον τῶν τριήρων. ὅλως δὲ καθ' [4] ὅλον τὸν λιμένα τῶν τ' ἐμβολῶν ψόφος ἐγίνετο,

1 Mallem copula hinc abeſſet.
2 Ἀντιταττομένους in ora Steph. Coislin. Reg. 1. Vatic.
3 Μεταβαλλόμενοι Clar. Reg. 2.
4 Ὅλου Clar.

men incubuit. Athenienſes, multitudine navium freti, quod nullum ſalutis aliud refugium viderent, pericula intrepide ſubire, mortemque pugnando fortiter oppetere. Syracuſani ex adverſo, quod parentes & liberos certaminis ſpectatores haberent, omni conatu inter ſe contendere, & quiſque pro virili ſua eniti, ut virtute ſua patriae victoriam compararet.

XVI. Complures igitur fuere, qui navi ſua hoſtium incurſu transfixa, in proras hoſtiles inſilirent, & inter medios hoſtium cuneos excepti dimicarent. Ferrearum nonnulli manuum iniectu pugnam pedeſtri ſimilem facere ſecum congreſſos adigebant. Nec pauci, quibus propriae iam naves attritae eſſent, in adverſarias tranſilientes, aliis interemtis, aliis in mare depulſis, triremes occupabant. Poſtremo per totum undique portum ro-

καὶ βοὴ τῶν ἀγωνιζομένων, ἐναλλὰξ ἀπολλυμένων. ὅτε γὰρ [1] ἀποληφθείη ναῦς ὑπὸ πλειόνων τριήρων, πανταχόθεν τυπτομένη τοῖς χαλκώμασι, τοῦ ῥεύματος εἰσπίπτοντος αὔτανδρος ὑπὸ τῆς θαλάττης κατεπίνετο. ἔνιοι δὲ, καταδυομένων τῶν νεῶν ἀποκολυμβῶντες, τοῖς τε τόξοις κατετιτρώσκοντο, καὶ τοῖς δόρασι τυπτόμενοι διεφθείροντο. οἱ δὲ κυβερνῆται θεωροῦντες τεταραγμένην τὴν μάχην, καὶ πάντα τόπον ὄντα πλήρη θορύβου, καὶ πολλάκις ἐπὶ μίαν ναῦν πλείους ἐπιφερομένας, οὐθ' [2] ὅ, τι σημαίνοιεν εἶχον, μὴ τῶν αὐτῶν πρὸς [3] ἅπαντας συμφερόντων, οὔτε πρὸς τοὺς κελεύοντας τοὺς ἑτέρους ἐνεδέχετο βλέπειν, διὰ τὸ πλῆθος τῶν βελῶν. ἁπλῶς δὲ τῶν παραγγελλομένων οὐδεὶς οὐδὲν ἤκουε, τῶν σκαφῶν θραυομένων, καὶ παρασυρομένων τῶν ταρ-

1 Ἀπολειφθείη ναῦς, ὑπὸ πλειόνων &c. Steph. marg. Reg. 1. ſententia non mala. Melior tamen recepta ſcriptura.

2 Ὅτι Coislin.

3 Ἅπαντα Vat. & Steph. ora.

ſtrorum inter ſe colliſorum fragor, & conflictantium vociferatus, dum ultro citroque occumbunt, exaudiebatur. Nec raro accidit, ut navis aliqua intercepta, cum a plurium undique triremium roſtris verberaretur, irrumpente per rimas fluctu, una cum viris a gurgitis profundo hauriretur. Nonnulli, cum e depreſſis navibus enatando ſalutem quaererent, ſagittis traiecti, haſtarumque inflictu ſaucii, miſere interibant. Navium interim magiſtri, tam perturbatam confuſamque pugnae faciem, omniaque circa ſe tumultus & conſternationis plena conſpicati, & quod una perſaepe navis a complurium agmine impeteretur; nec quod praeciperent, aut ſignificarent, habere, cum non eadem omnibus tum conducerent, nec ad aliorum exhortationes propter iaculorum frequentiam reſpicere poterant. Et quid multa? Nemo de imperatis quidquam exaudivit, dum navigia confringuntur, remi detergentur, clamor undique proe-

σῶν· ἅμα δὲ καὶ τῆς κραυγῆς τῶν ναυμαχούντων καὶ τῶν ἀπὸ τῆς γῆς συμφιλοτιμουμένων. τοῦ γὰρ αἰγιαλοῦ παντὸς τὸ μὲν ὑπὸ τῶν πεζῶν τῶν Ἀθηναίων κατείχετο, τὸ δ' ὑπὸ τῶν Συρακουσίων· ὥστ' ἐνίοτε τοὺς παρὰ τὴν γῆν ναυμαχοῦντας συμμάχους ἔχειν τοὺς ἐπὶ τῆς χέρσου στρατοπεδεύοντας. οἱ δ' ἐπὶ τῶν τειχῶν, ὅτε μὲν ἴδοιεν τοὺς ἰδίους εὐημεροῦντας, [1] ἐπαιάνιζον· ὅτε δ' ἐλαττουμένους, ἔστενον, καὶ μετὰ δακρύων τοῖς θεοῖς προσηύχοντο. ἐνίοτε γὰρ, εἰ [2] τύχοι, τῶν Συρακουσίων τριήρων παρὰ τὰ τείχη διαφθείρεσθαι τινὰς συνέβαινε, καὶ τοὺς ἰδίους ἐν ὀφθαλμοῖς τῶν συγγενῶν ἀναιρεῖσθαι, καὶ θεωρεῖν γονεῖς μὲν τέκνων ἀπώλειαν, ἀδελφὰς δὲ καὶ γυναῖκας ἀνδρῶν καὶ ἀδελφῶν οἰκτρὰν καταστροφήν.

ιζ'. Ἐπὶ πολὺν δὲ χρόνον πολλῶν ἀπολλυμένων, ἡ

1 Ἐπαιάνιζον Coisl. 2 Τύχῃ Clar. Reg. 2.

liantium ingravefcit, explicataeque in litore acies crebris hortatibus fuos excitant. Totum enim litus hic Athenienfium, illic Syracufanorum copiis pedeftribus occupatum erat. Quo factum, ut, quos pugnae navalis fervor propius ad terram provexiffet, interdum a fociorum in litore difpofitorum manu adiuvarentur. Qui vero de muris pugnae fpectatores erant, quoties rem a fuis profpere geri vidiffent, laeto rumore acclamare; ubi vero periclitari ac premi cernerent, gemitus edere, Deofque profufis cum lacrimis precando obteftari. Quandoque accidit, ut afflictis forte Syracufanorum triremibus prope moenia nonnullis, cognatos ante ora fuos obtruncari viderent; atque ita parentes liberorum interitum, uxores & germanae coniugum fratrumque miferabilem exitum contuerentur.

XVII. Et quamvis ad longum tempus cum vafta plu-

μάχη [1] τέλος οὐκ ἐλάμβανεν. οὐδὲ γὰρ οἱ θλιβόμενοι πρὸς τὴν γῆν φεύγειν ἐτόλμων. οἱ μὲν γὰρ Ἀθηναῖοι τοὺς ἀφισταμένους τῆς μάχης καὶ τῇ γῇ προσπλέοντας ἠρώτων, εἰ διὰ τῆς γῆς εἰς Ἀθήνας πλεῦσαι νομίζουσιν; οἱ δὲ πεζοὶ τῶν Συρακουσίων τοὺς προσπλέοντας ἀνέκρινον, διὰ τί, βουλομένων αὐτῶν εἰς τὰς τριήρεις ἐμβαίνειν, κωλύσαντες αὐτοὺς μάχεσθαι, νῦν προδιδόασι τὴν πατρίδα; καὶ εἰ διὰ τοῦτο ἔφραξαν τὸ στόμα τοῦ λιμένος, ὅπως κωλύσαντες τοὺς πολεμίους, αὐτοὶ φεύγωσιν ἐπὶ τὸν αἰγιαλόν; καὶ, τοῦ τελευτᾷν ὀφειλομένου πᾶσιν ἀνθρώποις, ποῖον ζητοῦσι καλλίω θάνατον ἢ τὸν ὑπὲρ τῆς πατρίδος; ἣν ἔχοντες μάρτυρα τῶν ἀγώνων, αἰσχρῶς ἐγκαταλείπουσι. τοιαῦτα δὲ τῶν ἀπὸ τῆς γῆς στρατιωτῶν ὀνειδιζόντων τοῖς προσπλέουσιν, οἱ πρὸς τοὺς αἰγιαλοὺς ἀποφεύγοντες πάλιν ἀνέστρεφον, καίπερ συντετριμμένας ἔχοντες τὰς

1 Τέλιος Clar.

rimorum caede difceptatum effet, pugnae tamen finis nondum erat. Nemo enim, licet extreme preffus, ad terram refugere audebat. Athenienfes enim e pugna excedentes, terraeque navem admoturos, rogare, num terra Athenas renavigaturos fe exiftiment? Sic peditatus Syracufanorum proram advertentes percontari, quare, cum fe triremes confcendere paratos inhibuiffent, ipfi nunc patriam eant proditum? An ideo occlufo portus oftio, exitum hoftibus negarent, ut ipfi ad litus refugerent? & cum ex aequo cunctis moriendi neceffitas incumbat, quam honeftiorem quaerant mortem, quam quae pro patria oppetatur, quam praefentis conflictus teftem foede ac turpiter deftituant? Talibus a terra milites conviciis & probris adnavigantes inceffebant: qui, omiffa ad litus fuga, ad conflictum redibant, tametfi na-

ναῦς, καὶ ὑπὸ τῶν τραυμάτων καταβαρούμενοι. τῶν δὲ παρὰ τὴν πόλιν κινδυνευόντων [1] Ἀθηναίων ἐκβιασθέντων, καὶ πρὸς φυγὴν ὁρμησάντων, οἱ προσεχεῖς ἀεὶ τῶν Ἀθηναίων ἐνέκλινον, καὶ κατ' ὀλίγον ἅπαντες ἐτράπησαν. οἱ μὲν οὖν Συρακούσιοι μετὰ πολλῆς κραυγῆς [2] ἐδίωκον τὰς ναῦς ἐπὶ τὴν γῆν· τῶν δὲ Ἀθηναίων ὅσοι μὴ μετέωροι διεφθάρησαν, ἐπεὶ πρὸς τὰ βράχη προσηνέχθησαν, ἐκπηδῶντες ἐκ τῶν νεῶν ἀπολομένων, εἰς τὸ πεζὸν στρατόπεδον [3] ἔφευγον. ὁ δὲ λιμὴν πλήρης ἦν ὅπλων τε καὶ ναυαγίων, ὡς ἂν Ἀττικῶν μὲν νεῶν ἀπολομένων ἑξήκοντα, παρὰ δὲ τῶν Συρακουσίων [4] ὀκτὼ μὲν τελέως διεφθαρμένων, ἑκκαίδεκα δὲ συντετριμμένων. οἱ δὲ Συρακούσιοι τῶν τε τριήρων ὅσας δυνατὸν ἦν εἵλκον ἐπὶ τὴν γῆν, καὶ τοὺς τετελευτηκότας πολίτας τε καὶ συμμάχους ἀνελόμενοι, δημοσίας ταφῆς ἠξίωσαν.

Athenienfium tota claffis fufa & attrita.

1 Non eft in Ven. Clar. Reg. 2. notaturque afterifco in Steph. ed.
2 Κατεδίωκον in ora Stephaniana, Coislin. Vatic. Reg. 1.
3 Ἔφυγον Reg. 2.
4 *Viginti* vet. interpr.

vibus laceratis, & corpore vulneribus confecto, aegre vitam tuerentur. Ad extremum Athenienfes, qui propius urbem dimicabant, vi compulfi fugam arripiunt: mox proximi quique inclinata acie cedunt, donec tota claffis brevi in fugam fe effundit. Ibi Syracufani magno clamore fugientibus inftant. Athenienfium vero quotquot in alto non perierant, cum ad brevia & vadofa compulfi effent, e navigiis iam peffum euntibus faltu fe demittentes ad pedeftrem exercitum evadere properant. Refertum undique armis & disiectis naufragiorum tabulis cernere tunc portum erat. De claffe enim Attica naves LX perierant, de Syracufana VIII penitus corruptae, & XI convulfae attritaeque fuerant. Syracufani igitur, quot potuere, triremes ad litus pertrahunt, & fublata civium fociorumque, hac pugna caeforum, cadavera publico fepulturae honore dignantur.

ιή. Οἱ δ' Ἀθηναῖοι συνδραμόντες ἐπὶ τὰς τῶν ἡγεμόνων σκηνὰς, ἐδέοντο τῶν στρατιωτῶν, μὴ τῶν νεῶν ἀλλὰ τῆς ἑαυτῶν φροντίζειν σωτηρίας. Δημοσθένης μὲν οὖν ἔφη δεῖν, λελυμένου τοῦ ζεύγματος, κατὰ τάχος πληροῦν τὰς τριήρεις, καὶ ἀπροσδοκήτως [1] ἐπιθεμένους ἐπηγγέλλετο ῥᾳδίως κρατήσειν τῆς ἐπιβολῆς. Νικίας δὲ συνεβούλευσε, καταλιπόντας τὰς ναῦς διὰ τῆς μεσογείου χώρας πρὸς τὰς συμμαχίδας πόλεις ἀναχωρεῖν. ᾧ πάντες ὁμογνώμονες γενόμενοι, τῶν νεῶν τινας ἐνέπρησαν, καὶ τὰ πρὸς τὴν ἀπαλλαγὴν παρεσκευάζοντο. Φανεροῦ δ' ὄντος ὅτι τῆς νυκτὸς ἀναζεύξουσιν, Ἑρμοκράτης συνεβούλευε τοῖς Συρακουσίοις ἐξάγειν τῆς νυκτὸς ἅπαν τὸ στρατόπεδον, καὶ τὰς ὁδοὺς ἁπάσας προκαταλαβέσθαι. οὐ πειθομένων δὲ τῶν στρατηγῶν, διὰ τὸ πολλοὺς μὲν τραυματίας εἶναι τῶν στρατιωτῶν, πάντας δ' ὑπὸ τῆς μάχης κατακόπους ὑπάρχειν τοῖς

Miſſis itaque navibus, copias pedeſtri itinere in ſociorum urbes ducere conſtituunt Nicias & Demoſthenes.

1 Ἐπιθεμένοις Clar. haud abſurde.

XVIII. Athenienſes vero, concurſu ad ducum tentoria facto, orabant, ut militum, non navium, propriaeque ſalutis rationem habere vellent. Demoſthenes igitur triremes illico complendas, naviumque conſertarum vallum perrumpendum eſſe, conſulebat, non difficulter voti compotes evaſuros, ſi ex improviſo rem aggrederentur, confirmans. Niciae e diverſo conſilium fuit, ut poſthabitis navibus per mediterraneas regiones ad urbes ſocietatis foedere coniunctas retrogreſſum facerent. Cuius ſententiae cum omnes adſtipularentur, navibus quibuſdam incenſis ad diſceſſum ſeſe accingunt. Iamque ſatis cognito, noctu hoſtem abiturum, Hermocrates conſilii auctor exſiſtit Syracuſanis, ut, univerſis noctu copiis urbe eductis, omnes paſſim vias inſideant. Sed contra nolentibus praefectis, quod magna pars militum ex vulneribus languida eſſet, omneſque corpora ab eo con-

σώμασιν, ἀπέστειλε τινὰς τῶν ἱππέων ἐπὶ τὴν παρεμβολὴν τῶν Ἀθηναίων, τοὺς ἐροῦντας ὅτι [1] προαπεστάλκασιν οἱ Συρακούσιοι τοὺς τὰς ὁδοὺς καὶ τοὺς [2] ἐπικαιροτάτους τόπους προκαταληψομένους. ποιησάντων δὲ τῶν ἱππέων τὸ προσταχθὲν ἤδη νυκτὸς οὔσης, οἱ μὲν Ἀθηναῖοι νομίσαντες τῶν Λεοντίνων τινὰς εἶναι τοὺς δι' εὔνοιαν [3] ἀπηγγελκότας, ἐταράχθησαν οὐ μικρῶς, καὶ τὴν ἀπαλλαγὴν ὑπερέθεντο. ὅπερ εἰ μὴ παρεκρούσθησαν, ἀσφαλῶς ἂν ἐχωρίσθησαν. οἱ μὲν οὖν Συρακούσιοι τῆς ἡμέρας [4] ὑποφωσκούσης ἀπέστειλαν τοὺς προκαταληψομένους τὰ στενόπορα τῶν ὁδῶν· οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ διελόμενοι τοὺς στρατιώτας εἰς δύο μέρη, καὶ τὰ μὲν σκευοφόρα καὶ τοὺς ἀῤῥώστους εἰς μέσον λαβόντες, τοὺς δὲ δυναμένους μάχεσθαι προηγεῖσθαι καὶ οὐραγεῖν τάξαντες, προῄεσαν [5] ἐπὶ Κατάνης· ὧν μὲν Δημοσθένους, ὧν δὲ Νικίου καθηγουμένων.

*Sed fraude inducti rem propositam differunt.*

1 Προαπεστάλκεισαν Reg. 2. Cl. & ora Steph.
2 Ἐπικαίρους Reg. 1.
3 Ἀπεσταλκότας, διεταράχθησαν Reg. 1. posterius etiam in Co.
4 Ἐπιφωσκούσης Reg. 1.
5 Ἐπὶ Κατάνην Reg. 2. Venet. Clar. Paullo ante λαβόντας Coisl.

flictu lassa & defatigata haberent, ipse certos quosdam equites ad castra hostium mittit, qui Syracusanos iam ad occupandum opportunissima quaeque itineris loca praemissos renuntient. Haec imperata dum equites sera nocte exsequuntur, Athenienses, a Leontinis benevola quadam affectione missos rati, non parum conturbantur: & tum quidem profectione illinc supersederunt. Quam in fraudem nisi illecti fuissent, tuta illinc patuisset abitio. At quamprimum dies illuxit, Syracusani, qui angustias viarum intercipiant, milites expediunt. Atheniensium vero duces, distincto in duas partes exercitu, impedimenta & aegrotos in medio complectuntur, integros vero armisque usurpandis idoneos in fronte & tergo agminis constituunt, Catanamque versus progrediuntur, hos Demosthene, illos Nicia ductante.

ιθ΄. Οἱ δὲ Συρακούσιοι πεντήκοντα μὲν τὰς καταληφθείσας ναῦς ἀναψάμενοι, κατήγαγον εἰς τὴν πόλιν· ἐκβιβάσαντες δὲ ἐκ τῶν τριήρων ἅπαντας καὶ καθοπλίσαντες, μετὰ πάσης τῆς δυνάμεως ἠκολούθουν τοῖς Ἀθηναίοις, ἐξαπτόμενοι, καὶ βαδίζειν εἰς τοὔμπροσθεν διακωλύοντες. ἐπὶ τρεῖς δ' ἡμέρας ἐπακολουθοῦντες καὶ πανταχόθεν προλαμβάνοντες, [1] ἄπειργον εὐθυπορεῖν πρὸς τὴν σύμμαχον Κατάνην· παλινῳδίαν δὲ καταναγκάσαντες ποιήσασθαι διὰ τοῦ Ἑλωρίου πεδίου, πρὸς τῷ Ἀσινάρῳ ποταμῷ περικυκλώσαντες, ἀπέκτειναν μὲν μυρίους ὀκτακισχιλίους, ἐζώγρησαν δὲ ἑπτακισχιλίους· ἐν οἷς καὶ τοὺς στρατηγοὺς Δημοσθένην καὶ Νικίαν. οἱ δὲ λοιποὶ διηρπάσθησαν ὑπὸ τῶν στρατιωτῶν. οἱ γὰρ Ἀθηναῖοι, πάντοθεν ἀποκλειομένης τῆς σωτηρίας, ἠναγκάσθησαν τὰ ὅπλα καὶ ἑαυτοὺς παραδοῦναι τοῖς πολεμίοις. τούτων δὲ πραχθέντων,

Ita interea viis omnibus interceptis, Athenienses, undique clausi, maximam partem caeduntur:

reliqui cum Nicia & Demosthene capiuntur.

1 Haec usque in ἀπέκτειναν exsulant e Coisl. Reg. 1. & vet. interpr.

XIX. Interim Syracusii L triremes ibi relictas funibus alligatas in urbem pertrahunt, eductosque a suis triremibus classiarios armant. Atque ita cum universis copiis hostem insequuntur, & postremum lacessendo agmen ulterius progredi non sinunt. Ad hunc modum per tres dies tergis miserorum inhaerendo, & transitus undique anticipando, recta versus Catanam urbem confoederatam progrediendi facultatem intercludunt. Tandem iter iam confectum relegere, illosque per campum Helorium coactos ad fluvium Asinarum undique velut indagine concludunt, ibique octodecim millia trucidant, & VII M. vivos capiunt, inter quos erant Demosthenes & Nicias imperatores. Reliquum vulgus praedae militum cessit. Athenienses enim, omni salutis via praeclusa, & arma & se ipsos dedere cogebantur. His ita gestis, duo

οἱ Συρακούσιοι στήσαντες δύο τρόπαια, καὶ τὰ τῶν στρατηγῶν ὅπλα πρὸς ἑκάτερον προσηλώσαντες, ἀνέστρεψαν εἰς τὴν πόλιν. τότε μὲν οὖν τοῖς θεοῖς ἔθυσαν πανδημεί· τῇ δ' ὑστεραίᾳ συναχθείσης ἐκκλησίας ἐβουλεύοντο πῶς [1] χρήσονται τοῖς αἰχμαλώτοις. Διοκλῆς δέ τις, τῶν δημαγωγῶν ἐνδοξότατος ὤν, ἀπεφήνατο γνώμην, ὡς δέοι τοὺς μὲν στρατηγοὺς τῶν Ἀθηναίων μετ' αἰκίας ἀνελεῖν, τοὺς δ' ἄλλους αἰχμαλώτους ἐν μὲν τῷ παρόντι τεθῆναι πάντας εἰς τὰς λατομίας, μετὰ δὲ ταῦτα τοὺς μὲν συμμαχήσαντας τοῖς Ἀθηναίοις λαφυροπωλῆσαι, τοὺς δ' Ἀθηναίους ἐργαζομένους ἐν τῷ δεσμωτηρίῳ λαμβάνειν ἀλφίτων δύο χοίνικας. ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, Ἑρμοκράτης παρελθὼν εἰς τὴν ἐκκλησίαν, ἐνεχείρει λέγειν ὡς κάλλιόν ἐστι τοῦ νικᾶν τὸ τὴν νίκην ἐνεγκεῖν ἀνθρωπίνως. θορυβοῦντος δὲ τοῦ δήμου, καὶ τὴν δημηγορίαν οὐχ ὑπομέ-

De captivis quid faciendum diversae sententiae.

Diocles immanissima suadebat;

Hermocrates ad clementiam adhortabatur,

1 Χρήσωνται Reg. 1.

Syracusani tropaea exstruunt, affixisque imperatorum armis, in urbem regrediuntur. Et tunc publicis universa civitas sacris Deos venerata est. Die postero, advocata concione, quid de captivis sit constituendum, publice disquiritur. Ibi Diocles quidam, inter populi ductores clarissimus, sententiam tulit, Atheniensium praefectos verberibus bene mulcatos capitali supplicio afficiendos; reliquam vero captivorum turbam in lapicidinas detrudendam; tum, quicunque sociam Atheniensibus operam navassent, sub hasta vendendos; nec plus quam binas farinae choenices Atheniensibus in ergastulo suppeditandas esse. Quod decretum cum recitatum esset, Hermocrates, in concionem progressus, sermonem instituit, victoriam humaniter ferre longe satius esse, quam adipisci. Obstrepente autem & tumultuante populo, ut cui oratio haec minime ferenda videretur, Nicolaus quis-

νεντος, Νικόλαός τις, ἐστερημένος ἐν τῷ πολέμῳ δυοῖν υἱῶν, ἀνέβαινεν ἐπὶ τὸ βῆμα, [1] κατεχόμενος ὑπὸ τῶν οἰκετῶν, διὰ τὸ γῆρας· ὃν ὡς εἶδεν ὁ δῆμος, ἔληξε τοῦ θορύβου, νομίζων κατηγορήσειν τῶν αἰχμαλώτων. γενομένης οὖν σιωπῆς, ὁ πρεσβύτερος ἐντεῦθεν ἤρξατο τῶν λόγων. praefertim Nicolaus fenex.

κ΄. „Τῶν κατὰ τὸν πόλεμον ἀτυχημάτων, ἄνδρες „Συρακούσιοι, μέρος οὐκ ἐλάχιστον ἐγὼ μετέσχηκα. „δυοῖν [2] γὰρ υἱῶν γενόμενος πατὴρ, ἐξέπεμψα μὲν „αὐτοὺς εἰς τὸν ὑπὲρ πατρίδος κίνδυνον· ὑπεδεξάμην δ' „αὐτῶν ἀγγελίαν, ἣ τὸν ἐκείνων θάνατον ἐμήνυε. διὸ „καὶ [3] καθ' ἡμέραν ἐπιζητῶν τὴν συμβίωσιν, καὶ τὴν „τελευτὴν ἀναλογιζόμενος, ἐκείνους μὲν μακαρίζω, τὸν „ἐμαυτοῦ δὲ βίον ἐλεῶ, πάντων ἡγούμενος εἶναι δυσ„τυχέστατος. ἐκεῖνοι μὲν γὰρ τὸν ὀφειλόμενον τῇ φύ„σει θάνατον [4] εἰς πατρίδος σωτηρίαν ἀναλώσαντες, Nicolai oratio, humanissimi ingenii specimen.

1 Συνεχόμενος idem.
2 Omittunt Coislin. & Reg. 1. sed Steph. margo γοῦν.
3 Καθημέραν Reg. 2.
4 Περὶ τῆς πατρίδος σωτηρίας Venet.

piam, qui duos per hoc bellum natos amiſerat, ſuggeſtum conſcendit, a domeſticis, ob ſenectae imbecillitatem, miniſtris ſuſtentatus. Quo conſpecto, tumultuari populus deſiit, captivos accuſaturum ſperans. Facto igitur ſilentio, huiuſmodi orationem ſenior exorſus eſt.

XX. *Calamitatum, quas hoc bellum inflixit, viri Syracuſani, partem non minimam ipſe expertus fui. Nam cum duorum parens filiorum eſſem, ambos periculis pro patria ſubeundis obiicere non dubitavi. Sed pro illis nuntium, quo interitus utriuſque ſignificabatur, recepi. Nunc, dum maiore in dies convictus ipſorum deſiderio afficior, & qua morte defuncti ſint, expendo, illorum quidem conditionem, ut beatam, praedico; ſed meae contra vitae fortunam miſeror, & calamitoſiſſimam eſſe duco. Illi enim vitam, quam alias naturae neceſſitati debebant,*

„ἀθάνατον ἑαυτῶν δόξαν καταλελοίπασιν· ἐγὼ δὲ ἐπὶ „τῆς ἐσχάτης ἡλικίας ἔρημος ὢν τῶν θεραπευσόντων „τὸ γῆρας, διπλοῦν ἔχω τὸ πένθος, τὴν συγγένειαν „ἅμα καὶ ἀρετὴν ἐπιζητῶν. ὅσῳ γὰρ εὐγενέστερον ἐτε- „λεύτησαν, τοσούτῳ ποθεινοτέραν τὴν ὑπὲρ αὐτῶν μνή- „μην καταλελοίπασιν. εἰκότως οὖν μισῶ τοὺς Ἀθη- „ναίους δι' ἐκείνους, οὐχ ὑπὸ τῶν τέκνων, ἀλλ' ὑπὸ „τῶν οἰκετῶν, ὡς ὁρᾶτε, χειραγωγούμενος. εἰ μὲν οὖν „ἑώρων, ὦ ἄνδρες Συρακούσιοι, τὴν παροῦσαν ἐνεστη- „κέναι βουλὴν ὑπὲρ Ἀθηναίων, εἰκότως ἂν καὶ διὰ „τὰς κοινὰς τῆς πατρίδος συμφορὰς, καὶ διὰ τὰς ἰδίας „ἀτυχίας, πικρῶς ἂν αὐτοῖς προσηνέχθην. ἐπεὶ δ' ἅμα „τῷ πρὸς τοὺς ἠτυχηκότας ἐλέῳ κρίνεται τό, τε κοινῇ „συμφέρον, καὶ ἡ πρὸς ἅπαντας ἀνθρώπους ὑπὲρ τοῦ „δήμου τῶν Συρακουσίων ἐξενεχθησομένη δόξα, ἀκέ- „ραιον [1] ποιήσομαι τὴν τοῦ συμφέροντος συμβουλίαν.

1 Ποιήσομεν Vat.

*patriae saluti impendendo, aeternam virtutis suae gloriam reliquerunt. Ego vero, in hoc extremo aetatis limine senectutis meae praesidio destitutus, luctu conficior duplici; dum & generis mei propagationem, & virtutis deinceps fructum nequidquam in filiis meis requiro. Etenim quanto generosior ipsis vitae exitus fuit, tanto exoptatiorem sui memoriam reliquerunt. Quare non immerito Atheniensium mihi nomen propter illos invisissimum est, quem non liberorum, sed famulorum, uti videtis, manus ducunt atque fulciunt. Atqui si praesens consilium, viri Syracusani, pro incolumitate Atheniensium institutum viderem, non ab re etiam ipse tum ob illatas clades & patriae calamitates publice, tum meas quoque miserias, quam acerbissime in eos inveherer. Sed cum de misericordia erga afflictos exercenda, deque communi bono & populi Syracusani gloria, inter universos mortales pervulganda, hoc iudicio disceptetur, meam absque fuco de commodis reipublicae sententiam in medium afferam.*

κα'. „Ὁ μὲν οὖν δῆμος τῶν Ἀθηναίων τῆς ἰδίας
„ἀνοίας ἀξίαν κεκόμισται [1] τιμωρίαν, πρῶτον μὲν πα-
„ρὰ θεῶν, μετὰ δὲ ταῦτα παρ' ἡμῶν τῶν ἀδικηθέν-
„των. ἀγαθὸν γάρ ἐστι τὸ θεῖον τοὺς ἀδίκου πολέ-
„μου καταρχομένους, καὶ τὴν αὐτὴν ὑπεροχὴν οὐκ
„ἐνεγκόντας ἀνθρωπίνως, ἀνελπίστοις περιβαλεῖν συμ-
„φοραῖς. τίς γὰρ [2] ἂν ἤλπισεν Ἀθηναίους, μύρια μὲν
„εἰληφότας ἐκ Δήλου τάλαντα, τριήρεις δὲ διακοσίας
„εἰς Σικελίαν ἀπεσταλκότας, καὶ τοὺς [3] ἀγωνισομέ-
„νους ἄνδρας πλείους τῶν τετρακισμυρίων, [4] οὕτω με-
„γάλαις συμφοραῖς περιπεσεῖσθαι; ἀπὸ γὰρ τῆς τη-
„λικαύτης παρασκευῆς οὔτε ναῦς, οὔτ' ἀνὴρ [5] οὐθεὶς
„ἐπανῆλθεν, ὥστε μηδὲ τὸν ἀγγελοῦντα αὐτοῖς τὴν
„συμφορὰν περιλειφθῆναι. εἰδότες οὖν, ἄνδρες Συρα-
„κούσιοι, τοὺς ὑπερηφανοῦντας καὶ παρὰ θεοῖς [6] καὶ
„παρ' ἀνθρώποις μισουμένους, προσκυνοῦντες τὴν τύ-
„χην, μηθὲν ὑπὲρ ἄνθρωπον πράξητε. τί γὰρ σεμνὸν

1 Σατηρίαν Coisl.
2 Negligitur in Clar. Reg. 2.
3 Ἀγωνισαμένους Reg. uterque, Vat.
4 Οὕτως Coisl.
5 Οὐδεὶς Venet.
6 Deeſt Coislin.

XXI. *Populus equidem Athenienſis meritas dementiae poenas ante omnia Diis immortalibus, poſtea etiam nobis iniuria tantopere affectis, exſolvit. Bonum profecto numen eſt, quod iniuſta bella inceptantes, & eximiam potentiae ſuae molem ferre neſcientes, calamitatibus obruit. Quis enim ſperare unquam auſus fuiſſet, Athenienſes allatis ex Delo* X *millibus talentûm, & triremibus* CC *in Siciliam expeditis, viriſque plus quam* XL *mille ad bellum gerendum huc miſſis, in tam atroces calamitates demerſum iri? Namque de tam inſigni apparatu neque navis, neque vir ullus rediit, adeo, ut nec cladis nuntius ſuperſtes manſerit. Poſtquam igitur compertum habetis, viri Syracuſani, ſuperbos Diis iuxta hominibuſque odio eſſe, adorantes fortunam, nihil ſupra humanum, quaeſo, modum committatis. Nam quid tantopere*

„φονεῦσαι τὸν ὑποπεπτωκότα; τί δ' ἔνδοξον τιμωρίᾳ „περιβαλεῖν; ὁ γὰρ ἀμετάθετον ἔχων τὴν περὶ τῶν „ἀτυχημάτων ὠμότητα, συναδικεῖ τὴν κοινὴν ἀνθρώ-„πων ἀσθένειαν. οὐθεὶς γάρ ἐστιν οὕτω φρόνιμος, ὥστε „μεῖζον ἰσχύσαι τῆς τύχης, ἣ φύσει ταῖς ἀνθρωπίναις „ἡδομένη συμφοραῖς, ὀξείας τῆς εὐδαιμονίας [1] ποιεῖται „τὰς μεταβολάς. ἐροῦσι τινὲς ἴσως· ἠδίκησαν, καὶ τῆς „κατ' αὐτῶν τιμωρίας ἔχομεν τὴν ἐξουσίαν. οὐκοῦν πα-„ρὰ μὲν τοῦ δήμου πολλαπλασίαν εἰλήφατε τιμωρίαν, „παρὰ δὲ τῶν αἰχμαλώτων ἱκανὴν ἔχετε κόλασιν; „παρέδωκαν γὰρ ἑαυτοὺς μετὰ τῶν ὅπλων, πιστεύσαν-„τες τῇ τῶν κρατούντων εὐγνωμοσύνῃ· διόπερ οὐκ ἄξιον „αὐτοὺς τῆς ἡμετέρας [2] ψευσθῆναι φιλανθρωπίας. οἱ μὲν „οὖν ἀμετάθετον τὴν ἔχθραν φυλάττοντες, μαχόμενοι „τετελευτήκασιν· οἱ δὲ [3] αὐτοὺς ἡμῖν ἐγχειρίσαντες, ἀντὶ „πολεμίων γεγόνασιν ἱκέται. οἱ γὰρ ἐν ταῖς μάχαις

1 Ποιεῖ Reg. 1.

2 Διαψευσθῆναι καὶ διαψεύσασθαι in ora Steph. quorum prius etiam Reg. 1.

3 Αὐτοὺς ambo Reg. tum ὑμῖν ἐγχειρήσαντες Coisl.

*magnificum, profligatum iugulare? quaenam gloria, vindictam acerbius exigere? Nam qui implacabili in fortunam adversam odio saevit, communi hominum imbecillitati vim iniuriamque affert. Nemo tam prudens est, ut plus, quam fortuna, polleat, quae suopte ingenio calamitatibus humanis quasi gaudens, repentinas rebus secundis calamitates inducit. Hic nonnulli fortasse dixerint: Iniuria multis nos cladibus affecerunt; & plenam vindictae de illis sumendae potestatem habemus. An non vero longe graviores populus Atheniensis poenas luit, quam deliquit? An non satis hoc vobis est de captivis supplicii, cum armis se ipsos in manus vestras tradidere, victoris aequitati & clementiae omnia commendantes? Indignum ergo foret, humanitatis vestrae fiducia & spe illos fraudari. Sane qui pertinax odium retinebant, pugnando ad extremum usque spiritum perseverarunt. At hi deditione sui hostium loco supplices vobis se obtulerunt. Enim-*

„τοῖς ἐναντίοις τὰ σώματα ἐγχειρίζοντες, [1] ἐπ' ἐλπίδι „σωτηρίας τοῦτο πράττουσιν. εἰ δὲ πιστεύσαντες τιμω-„ρίας τεύξονται τηλικαύτης, οἱ μὲν παθόντες ἀναδέξον-„ται τὴν συμφορὰν, οἱ δὲ πράξαντες ἀγνώμονες ἂν κλη-„θεῖεν. δεῖ δὲ [2] τοὺς τῆς ἡγεμονίας ἀντιποιουμένους, ὦ ἄν-„δρες Συρακούσιοι, μὴ οὕτω τοῖς ὅπλοις ἑαυτοὺς ἰσχυροὺς „κατασκευάζειν, ὡς τοῖς τρόποις ἐπιεικεῖς παρέχεσθαι.

κβ'. „Οἱ γὰρ ὑποτεταγμένοι τοὺς μὲν φόβῳ κατι-„σχύοντας [3] καιροτηρήσαντες ἀμύνονται διὰ τὸ μῖσος· „τοὺς δὲ φιλανθρώπως ἀφηγουμένους βεβαίως ἀγα-„πῶντες, ἀεὶ συναύξουσι τὴν ἡγεμονίαν. τί καθεῖλε „τὴν Μήδων ἀρχήν; ἡ πρὸς τοὺς ταπεινοτέρους ὠμό-„της. ἀποστάντων γὰρ Περσῶν, καὶ τὰ πλεῖστα τῶν „ἐθνῶν συνεπέθετο. πῶς γὰρ Κῦρος, ἐξ ἰδιώτου „τῆς Ἀσίας ὅλης ἐβασίλευσε; τῇ πρὸς τοὺς κρατηθέν-„τας εὐγνωμοσύνῃ. Κροῖσον [4] γοῦν τὸν βασιλέα λα-

1 Deſit praepoſitio Coisl.
2 Τοὺς ἡγεμόνας idem.
3 Καιρὸν τηρήσαντες Venet.
4 Γὰρ Reg. 2.

*vero, qui in pugna hoſti corpus ſuum dedunt, ſalutis profecto ſpe tuendae id faciunt. Quod ſi contra fiduciae ſuae perſuaſionem ad ſupplicium rapientur, ipſi quidem calamitatem ſuſtinebunt: at qui tam atrociter egerint, vecordes & ab humanitatis ſenſu alieni merito vocentur. Eos vero, qui principes aliorum eſſe volunt, viri Syracuſani, non tam ſe armis confirmare, quam morum humanitate probare decet.*

XXII. *Nam qui metu potentiorum ad imperata faciendum adiguntur, hos obſervata temporis oportunitate odium ad rebellandum ſtimulat. At manſuetos nacti duces, amore illos proſequuntur, ſuiſque imperium ſtudiis opibuſque ſubinde magis amplificant. Quid Medorum imperium evertit? Crudelitas erga inferiores. Quamprimum enim Perſae defecerunt, plurimae ſimul cum ipſis gentes rebellarunt. Nam qui alias fieri potuiſſet, ut Cyrus, privatam antea vitam agens, Aſiae totius imperium occuparet? Benignitate erga ſubditos illud effectum eſt. Croeſum*

„βὼν αἰχμάλωτον, οὐχ ὅπως ἠδίκησεν, ἀλλὰ καὶ „προσευηργέτησε, παραπλησίως δὲ καὶ τοῖς ἄλλοις „βασιλεῦσί τε καὶ δήμοις προσηνέχθη. τοιγαροῦν δια- „δοθείσης εἰς πάντα τόπον τῆς ἡμερότητος, ἅπαντες οἱ „κατὰ τὴν Ἀσίαν ἀλλήλους φθάνοντες εἰς τὴν τοῦ „βασιλέως συμμαχίαν παρεγίνοντο. τί λέγω τὰ μα- „κρὰν καὶ τόποις καὶ χρόνοις ἀφεστηκότα; κατὰ γὰρ „τὴν ἡμετέραν πόλιν οὐ πάλαι Γέλων, ἐξ ἰδιώτου τῆς „Σικελίας ὅλης ἡγεμὼν ἐγένετο, τῶν πόλεων ἑκου- „σίως εἰς τὴν ἐξουσίαν ἐκείνου παραγενομένων. προσε- „καλεῖτο γὰρ ἡ [1] τἀνδρὸς ἐπιείκεια πάντας ἀνθρώ- „πους, τὴν εἰς τοὺς ἠτυχηκότας γνώμην προσβαλοῦ- „σα. ἀπ' ἐκείνων οὖν τῶν χρόνων τῆς κατὰ Σικελίαν „ἡγεμονίας ἀντιποιουμένης τῆς πόλεως, μὴ καταῤῥί- „ψωμεν τὸν ὑπὲρ τῶν προγόνων ἔπαινον, μηδὲ ἑαυτοὺς „θηριώδεις καὶ ἀπαραιτήτους πρὸς ἀνθρωπίνην ἀτυχίαν „παράσχωμεν. οὐ γὰρ προσήκει δοῦναι τῷ φθόνῳ καθ' „ἡμῶν ἀφορμὴν εἰπεῖν, ὡς ἀναξίως εὐτυχοῦμεν· κα-

1 Τοῦ ἀνδρὸς Clar. & Reg. 2.

*igitur, bello captum, non modo non incommodo aliquo affecit, ſed multis etiam beneficiis cumulavit. Similique more cum aliis quoque regibus & populis egit. Divulgata igitur per omnia paſſim loca regis manſuetudine & benignitate, omnes Aſiae incolae mutuis certatim ſtudiis ad ſocietatem illius ſeſe aggregarunt. At quid tam longe & locis & temporibus remota commemoro? cum noſtra in civitate non ita pridem Gelon ex homine plebeio Siciliae totius princeps evaſerit, ſponte in ditionem eius concedentibus oppidis. Comitas enim viri cunctos alliciebat, benignam praecipue afflictis mentem declarans. Ex illo itaque tempore cum Siciliae principatum civitas noſtra iuri ſuo vindicarit, ne maiorum, quaeſo, laudem abiiciamus, nec belluarum more truces & inexorabiles erga miſerias humanas nos exhibeamus. Nequaquam enim invidiae traducendi nos anſam, quod rebus ſecundis indi-*

„λὸν γὰρ καὶ τὸ τῆς τύχης ἀντιπραττούσης ἔχειν τοὺς „συναλγήσοντας, καὶ πάλιν ἐν τοῖς κατορθώμασι τοὺς „ἡδομένους. τὰ μὲν οὖν [1] ἐν τοῖς ὅπλοις πλεονεκτήματα τύχῃ καὶ καιρῷ κρίνεται πολλάκις, ἡ δ' ἐν ταῖς „εὐπραξίαις ἡμερότης ἴδιόν ἐστι σημεῖον τῆς τῶν εὐτυ„χούντων ἀρετῆς. διὸ μὴ φθονήσητε τῇ πατρίδι, περι„βόητον γενέσθαι παρὰ πᾶσιν ἀνθρώποις, ὅτι τοὺς „Ἀθηναίους ἐνίκησεν οὐ μόνον τοῖς ὅπλοις, ἀλλὰ καὶ τῇ „φιλανθρωπίᾳ. φανήσονται γὰρ, τῶν ἄλλων ὑπερέ„χειν ἡμερότητι σεμνυνόμενοι, τῇ παρ' ἡμῶν εὐγνω„μοσύνῃ πολυωρούμενοι, καὶ οἱ πρῶτοι βωμὸν ἐλέου „καθιδρυσάμενοι, τοῦτον ἐν τῇ πόλει τῶν Συρακουσίων „[2] εὑρήσουσιν. ἐξ ὧν πᾶσιν ἔσται φανερὸν, ὡς ἐκεῖνοι „μὲν δικαίως ἐσφάλησαν, ἡμεῖς δ' ἀξίως ηὐτυχήσα„μεν· εἴπερ οἱ μὲν τοιούτους ἀδικεῖν ἐπεχείρησαν, οἱ

1 Ἐν deſit Clar. Mox κατορθώματά τε καὶ πλεον. Reg. 1. credo ex gloſſa. Porro poſt pauca ἡ δ' ἐν τᾶς εὐπραξ. Steph. edit. quod bene correxit Rhodomanus, operarum peccato progenitum.

2 Εὑρήσωσιν idem & Reg. ambo.

*gni ſimus, praeberi decet. Quam enim honeſtum eſt, cum fortuna adverſatur, habere, qui vicem noſtram doleant! & rurſus, cum proſperos illa ſucceſſus largitur, alios nobiſcum voluptate frui! Victoriae equidem armis partae fortunae plerumque & occaſioni adiudicantur: at manſuetudo & humanitas in felici rerum ſucceſſu proprio virtutem fortunatorum documento probant. Propterea hanc patriae gloriam ne, quaeſo, invideatis, qua per omnes ubique mortales celebretur, quod utique non armis tantum, ſed humanitate etiam, Athenienſes ſuperarit. Apparebit enim, illos, qui ſummam comitatis laudem ſibi tribuunt, ab aequitate veſtra in pretio curaque habitos; & qui Miſericordiae aram primi conſecrarunt, in urbe Syracuſanorum eam ipſam invenient. Quod cunctis ubique mortalibus perſpicuum erit argumentum, illos merito in clades iſtas incidiſſe, noſque iure fortunam habuiſſe propitiam: ſiquidem eam illi civitatem extremis afficere*

„καὶ πρὸς τοὺς ἐχθροὺς εὐγνωμόνησαν, ἡμεῖς δὲ τοιού-„τους ἐνικήσαμεν, οἳ καὶ τοῖς πολεμιωτάτοις μερίζουσι „τὸν ἔλεον ἐτόλμησαν ἐπιβουλεῦσαι. ὥστε μὴ μόνον „[1] ὑπὸ τῶν ἄλλων κατηγορίας τυγχάνειν τοὺς Ἀθη-„ναίους, ἀλλὰ καὶ αὐτοὺς ἑαυτῶν καταγινώσκειν, εἰ „τοιούτους ἄνδρας ἀδικεῖν ἐνεχείρησαν.

κγ΄. „Καλὸν, ὦ ἄνδρες Συρακούσιοι, κατάρξα-„σθαι φιλίας, [2] καὶ τῷ τῶν ἠτυχηκότων ἐλέῳ σπεί-„σασθαι τὴν διαφοράν. δεῖ γὰρ τὴν μὲν πρὸς τοὺς φί-„λους εὔνοιαν ἀθάνατον φυλάττειν, τὴν δὲ πρὸς τοὺς „ἐναντίους ἔχθραν θνητήν. οὕτω γὰρ συμβήσεται τοὺς „μὲν συμμάχους γίνεσθαι πλείους, τοὺς δὲ πολεμίους „ἐλάττους. τὴν δὲ διαφορὰν αἰώνιον διαφυλάττοντας „παραδιδόναι παισὶ παίδων, οὔτ᾽ εὔγνωμον, οὔτ᾽ ἀσ-„φαλές. ἐνίοτε γὰρ οἱ δοκοῦντες ὑπερέχειν, ἐν ῥοπῇ και-„ροῦ τῶν πρότερον ὑποπεπτωκότων ἀσθενέστεροι γίνον-

1 Ἐπὶ Reg. 2. 2 Abest Clar. qui mox ἐλέων.

*iniuriis tentarint, quae probitatem animi hostibus etiam exhibeat; nosque id genus hominum devicerimus, qui populum, etiam infestissimis misericordiam impertiri doctum, insidiis ausi fuerint appetere. Unde eveniet, ut non aliorum dumtaxat criminationibus exponantur Athenienses, verum suo quoque iudicio se condemnent, quod tales oppugnare viros iniusto bello fuerint conati.*

XXIII. *Praeclara equidem res est, viri Syracusani, primum novae amicitiae exordium facere, & calamitosorum miseratione discordiam expiare. Benevolentia enim inter amicos ita tuenda est, ut immortalis sit: inimicitias vero cum adversariis mortales esse oportet. Hac enim ratione fit, ut sociorum numerus subinde augescat, hostium vero diminuatur. At lites & odia in perpetuum retinere, & ad liberos nepotesque transmittere, id nec aequum est, nec tutum. Quandoque enim accidit, ut quidam viribus aliis superiores visi, repente uno temporis momento, prius a se devictis & ad ima redactis, longe infirmiores evadant.*

„ται. μαρτυρεῖ δ' ὁ νῦν γενόμενος πόλεμος· οἱ γὰρ „ἐπὶ πολιορκίᾳ [1] παραγενόμενοι, καὶ διὰ τὴν ὑπερο-„χὴν ἀποτειχίσαντες τὴν πόλιν, ἐκ μεταβολῆς αἰχ-„μάλωται γεγόνασιν, ὡς ὁρᾶτε. καλὸν οὖν, ἐν ταῖς „τῶν ἄλλων ἀτυχίαις ἡμέρους φανέντας, ἕτοιμον ἔχειν „τὸν παρὰ πάντων ἔλεον, ἐάν τι συμβαίη τῶν ἀν-„θρωπίνων. πολλὰ γὰρ ὁ βίος ἔχει παράδοξα, στά-„σεις πολιτικὰς, λῃστείας, πολέμους, ἐν οἷς οὐ ῥᾴδιον „διαφεύγειν τὸν κίνδυνον ἄνθρωπον ὄντα. διόπερ εἰ τὸν „πρὸς τοὺς [2] ὑποπεπτωκότας ἔλεον ἀποκόψομεν, πι-„κρὸν καθ' ἑαυτῶν νόμον θήσομεν εἰς ἅπαντα τὸν αἰῶ-„να. οὐ γὰρ δυνατὸν, [3] τοὺς ἄλλοις ἀνημέρως χρη-„σαμένους, αὐτοὺς παρ' ἑτέρων τυχεῖν ποτε φιλαν-„θρωπίας· ἀλλὰ πράξαντας δεινὰ, παθεῖν εὐγνώμο-„να, καὶ, παρὰ τοὺς τῶν Ἑλλήνων ἐθισμοὺς, τοσού-

1 Γενόμενοι Reg. 2. Clar. Modo γίγνονται Coisl. & Reg. 2.

2 Πεπτωκότας & ex emendatione ἐπταικότας Reg. 1. quo non indigemus.

3 Τοὺς Coisl. Vulgo τοῖς.

*Quod bellum nunc cum hoste confectum satis attestatur. Qui enim ad obsidendum nos huc venerant, iamque muro obstructam urbem, pro virium suarum excellentia undique premebant, ecce mirabili fortunae vicissitudine captivi hic vobis adsunt. Consultissimum igitur est, in aliorum calamitatibus mitem se exhibere; ut, si quid humanitus contigerit, promtum aliorum vicissim misericordiae affectum erga te experiaris. Quam enim multa praeter spem in hac vitae inconstantia eveniunt? Iam civilis seditio rempublicam turbat; iam latrocinia infestant; iam bella premunt. Inter quae non facile periculum evadit humanae naturae particeps. Idcirco si devictis misericordiam praeciderimus, acerbam in nos ipsos, ad omne deinceps aevum, legem statuemus. Fieri enim non potest, ut, qui immites saevosque se aliis praestiterint, ab aliis humaniter ac benigne habeantur; & qui atrocia fecerint, moderate tractentur; & qui contra Graecorum mo-*

„τους ἄνδρας [1] φονεύσαντας, ἐν ταῖς τοῦ βίου μετα-„βολαῖς ἐπιβοᾶσθαι τὰ κοινὰ πάντων νόμιμα. τίς „γὰρ Ἑλλήνων τοὺς παραδόντας ἑαυτοὺς, καὶ τῇ τῶν „κρατούντων εὐγνωμοσύνῃ πιστεύσαντας, ἀπαραιτήτου „τιμωρίας ἠξίωσεν; ἢ τίς ἧττον τοῦ μὲν ὠμοῦ τὸν ἔλεον, „τῆς δὲ προπετείας τὴν εὐλάβειαν ἔσχηκε.

κδʹ. „Πάντες δὲ ἀνατείνονται μὲν πρὸς τοὺς ἀντι-„ταττομένους, εἴκουσι δὲ τοῖς ὑποπεπτωκόσιν· ὧν μὲν „τὴν τόλμαν καταπονοῦντες, ὧν δὲ τὴν ἀτυχίαν οἰ-„κτείροντες. θραύεται γὰρ ἡμῶν ὁ θυμὸς, ὅταν ὁ πρό-„τερον ἐχθρὸς ὢν, ἐκ μεταβολῆς ἱκέτης γενόμενος, „[2] ὑπομένῃ παθεῖν ὅ, τι ἂν δοκῇ τοῖς κρατοῦσιν. ἁλί-„σκονται δ' οἶμαι [3] τῶν ἡμέρων ἀνδρῶν αἱ ψυχαὶ μά-„λιστά πως ἐλέῳ, διὰ τὴν κοινὴν τῆς φύσεως ὁμοιο-„πάθειαν. Ἀθηναῖοι γὰρ κατὰ τὸν Πελοποννησιακὸν „πόλεμον εἰς τὴν Σφακτηρίαν νῆσον πολλοὺς τῶν Λα-

1 Φονεύσαντες idem & Clar.
2 Ὑπομένει Reg. uterque & Co.
3 Τῶν ἡμετέρων Clar. prave.

*res tot viros trucidarint, commutato vitae ſuae ſtatu communia omnium iura implorent. Quis enim Graecorum unquam eos, qui, benevola victorum humanitate confiſi, ſeſe ultro dediderunt, indeprecabili mactandos ſupplicio cenſuit? aut quis unquam crudelitati miſericordiam, & temeritati prudentiam poſtponendam ſtatuit?*

XXIV. *Hoc cuncti equidem ſunt ingenio, ut hoſtibus contra ſe inſtructis, qua poſſint, contentione reſiſtant; victis autem proſtratiſque cedendo parcant. Illic enim audacia ſubigitur, hic miſericordia exercetur. Frangitur enim animi noſtri concitatio, cum is, qui iam pridem hoſtis fuerat, ſorte mutata ſupplex, quidquid victori libuerit, patiendum exſpectat. Inprimis autem miſericordiae ſenſu placidorum hominum animi capiuntur, quod mutua quaedam communis naturae affectio exſiſtit. Enimvero Athenienſes in bello Peloponneſiaco, cum Lacedaemoniorum*

„κεδαιμονίων κατακλείσαντες, καὶ λαβόντες αἰχμα-
„λώτους, ἀπελύτρωσαν τοῖς Σπαρτιάταις. πάλιν Λα-
„κεδαιμόνιοι [1] πολλοὺς τῶν Ἀθηναίων καὶ τῶν συμ-
„μάχων αἰχμαλωτισάμενοι, παραπλησίως ἐχρήσαν-
„το. καὶ καλῶς ἀμφότεροι ταῦτ' ἔπραξαν. δεῖ γὰρ
„τοῖς Ἕλλησι τὴν ἔχθραν εἶναι μέχρι τῆς νίκης, καὶ
„κολάζειν μέχρι τοῦ κρατῆσαι τῶν ἐναντίων. ὁ δὲ πε-
„ραιτέρω τὸν ὑποπεσόντα καὶ [2] πρὸς τὴν τοῦ κρατοῦν-
„τος εὐγνωμοσύνην προσφεύγοντα τιμωρούμενος, οὐκέ-
„τι τὸν ἐχθρὸν κολάζει, πολὺ δὲ μᾶλλον ἀδικεῖ τὴν
„ἀνθρωπίνην ἀσθένειαν. εἴπε γὰρ ἄν τις πρὸς τὴν
„[3] τούτου σκληρότητα τὰς τῶν πάλαι σοφῶν ἀπο-
„φάσεις, ἄνθρωπε, μὴ μέγα φρόνει, γνῶθι σαυτὸν,
„ἴδε τὴν τύχην ἁπάντων οὖσαν κυρίαν. τίνος γὰρ χά-
„ριν οἱ πρόγονοι πάντων τῶν Ἑλλήνων ἐν ταῖς κατὰ
„πόλεμον νίκαις κατέδειξαν οὐ διὰ λίθων, [4] διὰ δὲ

1 Τοὺς πολλοὺς Coisl.
2 Omittit Coisl.
3 Τοῦ τοιούτου Co. & Steph. ora.
4 Ἀλλὰ διὰ τῶν Reg. 1.

*quamplurimos in Sphacteria insula cepissent, redemtos inde Spartanis restituerunt. Lacedaemonii vicissim, cum multi Atheniensium sociorumque in manus ipsorum venissent, eadem clementia usi fuerunt. Et praeclare ab utrisque factum est. Graecis enim inimicitiae ad victoriam usque se extendant oportet, & poenae non diutius exposcantur, quam adversarii fuerint in potestatem redacti. Qui ulterius subactum, & ad benignam victoris fidem, tanquam asylum, confugientem, ulciscitur, non amplius hostem punit, sed humanae potius imbecillitati per iniuriam insultat. In cuius tam obstinatam asperitatem recte quis has sapientum antiquorum sententias accomodaverit: Mi homo, ne nimis altum sape. Nosce te ipsum. Intuere fortunam omnium dominam. Cuius rei, quaeso, gratia Graeciae universae progenitores in bellorum victoriis non e saxis, sed vulgari-*

„τῶν τυχόντων ξύλων ἱστάναι [1] τὰ τρόπαια; ἆῤ οὐχ „ὅπως ὀλίγον χρόνον διαμένοντα, ταχέως ἀφανίζηται „τὰ τῆς [2] ἔχθρας ὑπομνήματα; καθόλου δ᾽ εἰ μὲν „αἰώνιον ἵστασθαι τὴν διαφορὰν βούλεσθε, μάθετε „τὴν ἀνθρωπίνην ἀσθένειαν ὑπερφρονοῦντες. εἷς γὰρ και„ρὸς καὶ βραχεῖα ῥοπὴ τύχης ταπεινοῖ πολλάκις τοὺς „ὑπερηφάνους.

κε΄. „Εἰ δ᾽, ὅπερ εἰκός ἐστι, [3] παύσεσθε πολε„μοῦντες, τίνα καλλίω καιρὸν εὑρήσετε τοῦ νῦν ὑπάρ„χοντος, ἐν ᾧ τὴν πρὸς τοὺς ἐπταικότας φιλανθρω„πίαν ἀφορμὴν τῆς φιλίας [4] ποιήσεσθε; μὴ γὰρ οἴε„σθε τὸν τῶν Ἀθηναίων δῆμον τελέως ἐξησθενηκέναι „διὰ τὴν ἐν Σικελίᾳ συμφορὰν, ὃς κρατεῖ σχεδὸν τῶν „τε κατὰ τὴν Ἑλλάδα νήσων ἁπασῶν, καὶ τῆς πα„ραλίου, τῆς τε κατὰ τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν ἔχει „τὴν ἡγεμονίαν. καὶ γὰρ πρότερον περὶ τὴν Αἴγυπτον

1 Asterisco signatur in Steph. edit. nec est in Reg. 1. Coisl.
2 Τύχης margo Steph.
3 Παύεσθε Reg. 2. Clar.
4 Ποιήσασθαι Coisl. Reg. amb. Clarom.

*bus lignis, tropaea statuenda curaverunt? An non ideo, ut, si ad exiguum tempus durarent, brevi inimicitiarum quoque monumenta exolescerent? Omnino, si aeternas confirmare discordias in animo vobis est, humanarum vos rerum infirmitatem & inconstantiam contemnere, scitote. Una saepe occasio, & exiguum fortunae momentum, superbissimorum hominum insolentiam evertit.*

XXV. *Quod si, ut credibile est, bello finem aliquando imponere cogitatis, quae unquam pulchrior occasio se vobis dabit, quam haec ipsa, qua per humanitatem devictis exhibitam novae amicitiae fundamenta iacietis? Num existimatis, populum Athenienſem, ob cladem in Sicilia acceptam, penitus viribus exhaustum? quippe cuius imperio omnes prope Graeciae insulae parent, & tum Europae, tum Asiae maritima sub ditione habentur. Nam etiam pridem, tametsi* CCC *in Aegypto triremes una*

„τριακοσίας [1] τριήρεις αὐτάνδρους ἀπολέσας, τὸν δοκοῦντα κρατεῖν βασιλέα συνθήκας ἀσχήμονας ποιεῖν ἠνάγκασε, καὶ πάλιν ὑπὸ Ξέρξου τῆς πόλεως κατασκαφείσης, μετ' ὀλίγον κἀκεῖνον ἐνίκησε, καὶ τῆς Ἑλλάδος τὴν ἡγεμονίαν ἐκτήσατο. ἀγαθὴ γὰρ ἡ πόλις ἐν τοῖς μεγίστοις ἀτυχήμασι μεγίστην ἐπίδοσιν λαβεῖν, καὶ μηδέποτε ταπεινὸν μηδὲν βουλεύεσθαι. καλὸν οὖν, ἀντὶ τοῦ τὴν ἔχθραν ἐπαύξειν, συμμάχους αὐτοὺς [2] ἔχειν, φεισαμένους τῶν αἰχμαλώτων. ἀνελόντες μὲν γὰρ αὐτοὺς, τῷ θυμῷ μόνον χαριούμεθα, τὴν ἄκαρπον ἐπιθυμίαν ἐκπληροῦντες· φυλάξαντες δὲ, παρὰ μὲν τῶν εὖ παθόντων τὴν χάριν ἕξομεν, παρὰ δὲ τῶν ἄλλων ἁπάντων τὴν εὐδοξίαν. [3] ναί.

κϛ'. „Ἀλλά τινες τῶν Ἑλλήνων ἀπέσφαξαν τοὺς αἰχμαλώτους. τί οὖν; εἰ μὲν αὐτοῖς ἐκ ταύτης τῆς πράξεως ἔπαινοι τυγχάνουσι, μιμησώμεθα τοὺς [4] τῆς

1 Τριήρεις ἀπολέσας Reg. 1. Ceteri omnes αὐτάνδρους interponunt.

2 Ποιεῖσθαι Venet.

3 Εἶναι Clar.

4 Τὴν δόξαν Reg. 1.

*cum viris amiſiſſet, regem tamen, qui iam victor eſſe putabatur, ad conditiones pacis, non per omnia honeſtas, ſecum paciſcendas compulit. Et diruta quondam urbe ipſorum a Xerxe, paullo poſt & ipſum vicit, & totius Graeciae principatum acquiſivit. Hoc illa civitas excellit, quod in maximis calamitatibus maxima incrementa facit, & nihil unquam humile decernit. Honeſtum igitur ac conducibile, ut potius quam inimicitias augeamus, parcendo captivis ſocietatem illorum nobis adiungamus. Nam ſi illos necaverimus, ſterili quadam voluptate expleta, animo tantum morem geremus. Sin incolumes ſervaverimus, a merito iſto affectis luculentum gratiae foenus, ab univerſis inſuper aliis inſignis gloriae decus ad nos redibit. Et certe ita ſe res habet.*

XXVI. *At nonnulli Graecorum captivos iugularunt. Quid tum? ſi facinoris huius immanitate laudem conſecuti ſunt, imi-*

,,δόξης πεφροντικότας· εἰ δὲ παρὰ πρώτων ἡμῶν τυγ-
,,χάνουσι κατηγορίας, μηδὲ αὐτοὶ [1] πράξωμεν τὰ αὐ-
,,τὰ τοῖς ὁμολογουμένως ἡμαρτηκόσι. μέχρι μὲν γὰρ
,,τοῦ μηδὲν ἀνήκεστον πεπονθέναι τοὺς εἰς τὴν ἡμετέ-
,,ραν πίστιν ἑαυτοὺς παραδόντας, ἅπαντες καταμέμ-
,,ψονται δικαίως τὸν Ἀθηναίων δῆμον· ἐὰν δὲ ἀκούσω-
,,σι, παρὰ τὰ κοινὰ νόμιμα τοὺς αἰχμαλώτους παρε-
,,σπονδημένους, ἐφ' ἡμᾶς μετοίσουσι τὴν κατηγορίαν.
,,καὶ γὰρ εἴ τινων ἄλλων, Ἀθηναίων ἄξιόν ἐστιν ἐν-
,,τραπῆναι μὲν τὸ τῆς πόλεως ἀξίωμα, χάριν δ' αὐ-
,,τοῖς ἀπομερίσαι τῶν εἰς ἄνθρωπον εὐεργετημάτων.
,,οὗτοι γάρ εἰσιν οἱ πρῶτοι τροφῆς ἡμέρου τοῖς Ἕλλη-
,,σι μεταδόντες, ἣν ἰδίᾳ παρὰ θεῶν λαβόντες, τῇ
,,χρείᾳ κοινὴν ἐποίησαν. οὗτοι νόμους εὗρον, δι' οὓς ὁ
,,κοινὸς βίος ἐκ τῆς ἀγρίας καὶ ἀδίκου ζωῆς εἰς ἥμε-
,,ρον καὶ δικαίαν ἐλήλυθε συμβίωσιν· οὗτοι πρῶτοι

1 Παρέξωμεν Coisl. Reg. uterque, Clar.

*temur & nos eos, qui gloriae curam habuere. Sin a nobis omnium primis illi merito vituperantur; nos eadem, quae illi, quos enormiter peccasse constat, nequaquam perpetremus. Quamdiu enim nihil funesti a nobis hi perpetientur, qui fidei se nostrae permisere, omnes passim gentes populum Atheniensem merito vituperabunt: sin vero audiverint, contra ius gentium violata pactorum fide in captivos saevitum esse, in nos omnem vituperationis molem devolvent. Quod si quorumlibet merita aliorum respicienda sunt, Atheniensium profecto civitas maiestate sua animos hominum ad se convertit, ut ad gratiam pro meritis ipsi retribuendam obstrictos se fateantur. Hi enim sunt, qui principes humaniorem cum Graecis victum communicarunt: quem sibi a Diis seorsum tributum publicis omnium usibus exposuerunt. Hi leges repererunt, quibus vita communis, ex belluina & iniuriosa vivendi consuetudine, ad mansuetam iustitiaeque conformem societatem est traducta. Hi primi omnium consu-*

„τοὺς καταφυγόντας διασώσαντες, τοὺς περὶ τῶν ἱκε-„τῶν νόμους παρὰ πᾶσιν ἀνθρώποις ἰσχύσαι παρε-„σκεύασαν· ὧν ἀρχηγοὺς γενομένους οὐκ ἄξιον αὐτοὺς „ἀποστερῆσαι. καὶ ταῦτα μὲν πρὸς ἅπαντας· ἰδίᾳ δ' „ἐνίους ὑπομνήσω τῶν φιλανθρώπων.

κζ'. „Ὅσοι μὲν γὰρ λόγου καὶ παιδείας ἐν τῇ „πόλει μετεσχήκατε, δότε τὸν ἔλεον τοῖς τὴν πατρίδα „κοινὸν παιδευτήριον παρεχομένοις πᾶσιν ἀνθρώποις· „ὅσοι δὲ τῶν ἁγνοτάτων μυστηρίων μετειλήφατε, σώ-„σατε τοὺς μυήσαντας· οἱ μὲν ἤδη μετεσχηκότες τῶν „[1] φιλανθρωπιῶν, τὴν χάριν διδόντες τῆς εὐεργεσίας· „οἱ δὲ μέλλοντες μεταλήψεσθαι, μὴ παραιρούμενοι „τῷ θυμῷ τὴν ἐλπίδα. ποῖος γὰρ τόπος τοῖς ξένοις „βάσιμος εἰς παιδείαν [2] ἐλευθέριον, τῆς Ἀθηναίων πό-„λεως ἀνῃρημένης; βραχὺ τὸ διὰ τὴν ἁμαρτίαν μῖσος, „μεγάλα δὲ καὶ πολλὰ τὰ πρὸς εὔνοιαν αὐτοῖς εἰρ-

1 Φιλανθρωπίνων Steph. ora. 2 Ἐλευθέριος Vat. ἐλευθέρας Co.

*gientes ad fidem aliorum tutati, leges ſupplicum ut apud omnes ubique gentes plurimum valerent effecere: quarum praeſidio nunc principes auctoreſque illarum deſtitui indigniſſimum hercle foret. Et haec quidem in genere ad omnes dicta ſunto. Nunc quoſdam inter vos de humanitatis officiis commonefaciam.*

XXVII. *Vos enim, quibuſcunque eloquentiae & eruditionis hac in civitate facultas aliqua parta eſt, vos, inquam, miſereſcite illorum, qui patriam ſuam communem honeſtae inſtitutionis officinam univerſis mortalibus praebent. Quicunque etiam ſanctiſſimis Deûm myſteriis inaugurati eſtis, ſervate nunc, qui vos initiarunt, myſtas. Qui iam humanitatis fructum aliquem inde percepiſtis, gratiam nunc rependite benefactis. Qui deinceps percepturi eſtis, ne ſpem ira praecidatis. Nam qui locus ad liberalem diſciplinam exteris patebit, civitate Athenienſium ſublata? Aliquod ſane odium, ſed breve, culpa ſua conflarunt, ſed multis contra praeclare factis amplam ſibi benevo-*

„γασμένα. χωρὶς δὲ τῆς περὶ τὴν πόλιν ἐντροπῆς, καὶ „κατ' ἰδίαν [1] ἄν τις αἰχμαλώτους ἐξετάζων, εὕροι δι„καίως ἐλέου τυγχάνοντας. οἱ μὲν γὰρ σύμμαχοι τῇ „τῶν κρατούντων ὑπεροχῇ βιασθέντες, ἠναγκάσθη„σαν συστρατεύειν. διόπερ εἰ τοὺς ἐξ [2] ἐπιβουλῆς ἀδι„κήσαντας δίκαιόν ἐστι τιμωρεῖσθαι, τοὺς ἀκουσίως „[3] ἐξαμαρτάνοντας προσῆκον ἂν εἴη συγγνώμης ἀξιοῦν. „τί λέγω [4] Νικίαν, ὃς ἀπ' ἀρχῆς τὴν πολιτείαν ὑπὲρ „Συρακουσίων ἐνστησάμενος, μόνος ἀντεῖπεν ὑπὲρ τῆς „εἰς Σικελίαν στρατείας, ἀεὶ δὲ τῶν παρεπιδημούν„των Συρακουσίων φροντίζων καὶ πρόξενος ὢν [5] δια„τετέλεκεν; ἄτοπον οὖν Νικίαν κολάζεσθαι, τὸν ὑπὲρ „ἡμῶν Ἀθήνησι πεπολιτευμένον, καὶ διὰ μὲν τὴν εἰς „ἡμᾶς εὔνοιαν μὴ τυχεῖν φιλανθρωπίας, διὰ δὲ τὴν „ἐν τοῖς κοινοῖς ὑπηρεσίαν ἀπαραιτήτῳ περιπεσεῖν τι-

1 Ἐὰν Clar.
2 Ἐπιβουλῆς Reg. 2. Clar. Vulgo ἐπιβολῆς.
3 Ἐξαμαρτάνοντας marg. Steph. Regius 1. Coislin. Ceteri ἁμαρτάνοντας.
4 Νικίας Clar.
5 Διατέταλχεν Reg. 1.

*lentiam reposcunt. Praeter hanc vero dignitatem urbis, merito reverendam, si quis privatim captivos aestimet, haud iniuria miseratione dignos esse deprehendet. Socii enim imperantium auctoritate ac iussu ad eiusdem belli communionem sunt adacti. Quocirca si in eos, qui data opera atque ex insidiis iniurias intulerint, vindictam exercere par est; certe praeter voluntatem suam delinquentibus veniam tribuere convenit. Quid de Nicia memorem? qui ab initio Syracusanorum causae patrocinatus, expeditionem in Siciliam dissuasit, & perpetuis Syracusanos illuc peregrinantes studiis prosecutus est, publicumque hospitem egit. Quam absurdum igitur fuerit, si Nicias, nostram in senatu Athenis causam tutatus, supplicio afficiatur, nullamque pro sua in nos benevolentia misericordiam consecutus, propter obsequium reipublicae praestitum vindictae implacabilis*

„μωρίᾳ· καὶ τὸν μὲν ἐπάγοντα τὸν πόλεμον ἐπὶ Συ-„ρακουσίους Ἀλκιβιάδην ἅμα καὶ παρ' ἡμῶν καὶ „παρ' Ἀθηναίων ἐκφυγεῖν τὴν τιμωρίαν, τὸν δ' ὁμο-„λογουμένως φιλανθρωπότατον Ἀθηναίων γεγενημένον „μηδὲ τοῦ κοινοῦ τυχεῖν ἐλέου. διόπερ ἔγωγε τὴν τοῦ „βίου μεταβολὴν θεωρῶν, ἐλεῶ τὴν τύχην. [1] πρότερον „μὲν γὰρ ἐν τοῖς ἐπισημοτάτοις τῶν Ἑλλήνων ὑπαρ-„χων, καὶ διὰ τὴν καλοκαγαθίαν ἐπαινούμενος, μα-„καριστὸς ἦν καὶ περίβλεπτος κατὰ πᾶσαν πόλιν· „νυνὶ δ' ἐξηγκωνισμένος ἐν ἀσχήμονι καί τινι προσό-„ψει τῆς τῶν αἰχμαλωσίας [2] οἰκτρῶν πεπείραται, κα-„θαπερεὶ τῆς τύχης ἐν τῷ τούτου βίῳ τὴν ἑαυτῆς δύνα-„μιν ἐπιδείξασθαι βουλομένης· ἧς τὴν ἐλευθερίαν ἀν-„θρωπίνως ἡμᾶς ὑπενεγκεῖν προσήκει, καὶ μὴ βάρ-„βαρον ὠμότητα πρὸς ὁμοεθνεῖς ἀνθρώπους ἐνδείξασθαι.

κή. Νικόλαος μὲν οὖν πρὸς τοὺς Συρακουσίους τοιού-

1 Πρότερος μὲν Reg. 2. quorum ultimum deſit Clar.

2 Οἴκτων in Steph. marg. Reg. 1. Vat. Mox ἐπενεγκεῖν Clar.

*rigorem experiatur? & ſi Alcibiades, qui bellum hoc nobis concitavit, noſtram ſimul & Athenienſium ultionem effugerit; hic vero, quem inter cunctos Athenienſes humaniſſimum eſſe conſtat, ne vulgari quidem miſericordia dignus aeſtimetur? Quam ob rem ego hanc vitae converſionem intuens, fortunam tam deploratam miſeror. Nam paullo ante, cum inter clariſſimos Graeciae conſpicuus, & ob ſingularem vitae integritatem celebris exſiſteret, in ore atque oculis, ut vir beatus, toti civitati ferebatur. At nunc exſtantibus lacertis revinctus, deformi ſane intuitu miſerabilem captivitatis ſortem experiri cogitur; non ſecus ac ſi fortuna in hominis iſtius vita potentiam ſuam oſtentare voluerit. Cuius liberalem in nos favorem, prout homines decet, ferre, nec crudelitate barbarica in homines gentiles, ac eadem ſtirpe progenitos, deſaevire nos oportet.*

XXVIII. Hac tum Nicolaus oratione habita, finem

Gylippi Laconis adversaria oratio, summae crudelitatis exemplum.

τοις χρησάμενος λόγοις, κατέπαυσε τὴν δημηγορίαν, συμπαθεῖς ποιήσας τοὺς ἀκούοντας. Γύλιππος δ' ὁ Λάκων, ἀπαραίτητον τὸ πρὸς Ἀθηναίους μῖσος διαφυλάττων, ἀναβὰς ἐπὶ τὸ βῆμα, τῶν λόγων τὴν ἀρχὴν ἐντεῦθεν ἐποιήσατο· „Θαυμάζω μεγάλως, ἄνδρες Συρακούσιοι, θεωρῶν ὑμᾶς οὕτω ταχέως περὶ ὧν [1] ἔργῳ κακῶς πεπόνθατε, περὶ τούτων τῷ λόγῳ [2] μεταδιδασκομένους. εἰ γὰρ ὑπὲρ ἀναστάσεως [3] κινδυνεύσαντες πρὸς τοὺς ἐπὶ κατασκαφῇ τῆς πατρίδος ὑμῶν παραγεγενημένους, ἀνεῖσθε τοῖς θυμοῖς, τί χρὴ νῦν ἡμᾶς [4] διατείνεσθαι τοὺς μηδὲν ἠδικημένους; δότε δέ μοι, πρὸς θεῶν, ἄνδρες Συρακούσιοι, συγγνώμην, τὴν συμβουλίαν ἐκτιθεμένῳ μετὰ παῤῥησίας. Σπαρτιάτης γὰρ ὤν, καὶ τὸν λόγον ἔχω Σπαρτιάτην. καὶ πρῶτον ἄν τις ἐπιζητήσειε, πῶς Νικόλαος ἐλεῆσαι [5] φήσει τοὺς

1 Ἔργων Reg. 1.
2 Μεταδιδασκομένους μεταβάλλεσθαι Ven.
3 Κινδυνεύσαντας Coisl.
4 Διατίνεσθαι Reg. 1.
5 Φύσει Reg. 2.

dicendi fecit, & misericordiam in auditoribus excitavit. At Gylippus Laco, implacabili in Athenienses odio flagrans, cum suggestum conscendisset, his verbis loqui infit: „Maiorem in modum, viri Syracusani, miror, quod tam subito verbis aliter persuaderi vobis finitis, quam re ipsa magnis cum cladibus experti estis. Si enim in summo excidii metu versati animis tam remissis estis in eos, qui ad exscindendam urbem vestram huc venerunt, quid nobis contentione nunc opus est, qui nulla iniuria affecti sumus? Date mihi, per Deos immortales obsecro, viri Syracusani, veniam, dum ingenua cum animi libertate sententiam meam vobis explicem. Spartanus enim cum sim, Spartanum quoque dicendi morem servo. Ac primum rogare quis possit, quanam ratione Nicolaus Atheniensium, qui senectam eius sublata prole

Ἀθηναίους, οἱ τὸ γῆρας αὐτοῦ διὰ τὴν ἀπαιδίαν ἐλεεινὸν πεποιήκασι· καὶ παρὼν εἰς ἐκκλησίαν ἐν ἐσθῆτι πενθίμῃ δακρύει, καὶ λέγει δεῖν οἰκτείρειν τοὺς φονεῖς τῶν ἰδίων τέκνων. οὐκέτι γὰρ ἐπιεικής ἐστιν ὁ τῶν συγγενεστάτων μετὰ τὴν τελευτὴν ἀμνημονῶν, τοὺς δὲ πολεμιωτάτους σῶσαι προαιρούμενος. ἐπεὶ πόσοι τῶν ἐκκλησιαζόντων υἱοὺς ἀνῃρημένους [1] κατὰ τὸν πόλεμον ἐπενθήσατε; „πολλοὶ οὖν τῶν καθημένων ἐθορύβησαν. ὁ δ᾽ ἐπιβαλὼν, „Ὁρῶ, φησι, τοὺς τῷ θορύβῳ τὴν συμφορὰν ἐμφανίζοντας. πόσοι δὲ ἀδελφοὺς ἢ συγγενεῖς ἢ φίλους ἀπολωλεκότες ἐπιζητεῖτε; „καὶ πολλῷ πλείους ἐπεσημήναντο. καὶ ὁ Γύλιππος, „Θεωρεῖς, ἔφη, τὸ πλῆθος τῶν δι᾽ Ἀθηναίους [2] δυστυχούντων; οὗτοι πάντες οὐδὲν εἰς ἐκείνους ἁμαρτάνοντας, τῶν ἀναγκαιοτάτων

1 Κατά τε πόλεμον Coisl.
2 Δυστυχούντων margo Steph. Coislin. δυστυχούντων Vat. τῶν δι᾽ Ἀθηναίους δυστυχούντων Ven. quod praeſtat. δυστυχοῦν edd.

tam miſerabilem effecere, miſertum ſe confirmet, dum miſerabili veſtitu in concionem progreſſus lacrimatur, & nihilominus miſericordia dignandos eſſe, a quibus liberi eius trucidati ſunt, perſuadere conatur? Certe vir bonus eſſe deſiit, qui coniunctiſſimorum interitum oblitus, crudeliſſimos hoſtes in vita conſervandos eſſe cenſet. Quot vero in hoc frequentiſſimo populi conventu nunc adeſtis, a quibus interemti per hoc bellum nati lugentur? „Ad quae verba cum magnus conſidentium numerus infremuiſſet; ille prioribus haec adiiciens, „Video, inquit, vos fremitu iſto & gemitu miſerias illatas teſtificari. Quot porro fratres, cognatos, amicos in conflictibus hiſce amiſſos deſideratis? „Tum multo plures ſignum dabant. Sed Gylippus, „Videſne, ait, quantam Athenienſes multitudinem calamitoſam reddiderint? Hos omnes, nulla in re male de ipſis meritos, cariſſimis ſummaque

σωμάτων ἐστερήθησαν· καὶ τοσοῦτο μισεῖν τοὺς Ἀθηναίους ὀφείλουσιν, ὅσον τοὺς ἰδίους ἠγαπήκασι.„

κθ'. „Πῶς οὖν οὐκ ἄτοπον, ἄνδρες Συρακούσιοι, τοὺς μὲν τετελευτηκότας ἑκούσιον [1] ὑπὲρ ὑμῶν ἑλέσθαι θάνατον, ὑμᾶς δὲ ὑπὲρ ἐκείνων μηδὲ παρὰ τῶν πολεμιωτάτων λαβεῖν τιμωρίαν; καὶ ἐπαινεῖν μὲν τοὺς ὑπὲρ τῆς κοινῆς ἐλευθερίας τοὺς ἰδίους [περὶ πλείους] ἀναλώσαντας βίους, περὶ πλείονος δὲ τὴν τῶν φονέων ποιεῖσθαι σωτηρίαν τῆς ἐκείνων τιμῆς; κοσμεῖν ἐψηφίσασθε δημοσίᾳ τοὺς τάφους τῶν μετηλλαχότων· καὶ τίνα καλλίονα κόσμον εὑρήσετε, τοῦ κολάσαι τοὺς ἐκείνων αὐτόχειρας; εἰ μὴ, νὴ Δία, πολιτογραφήσαντες αὐτοὺς, βούλεσθε καταλιπεῖν ἔμψυχα τρόπαια τῶν μετηλλαχότων. ἀλλὰ μεταβαλόντες τὴν τῶν πολεμίων προσηγορίαν, γεγόνασιν ἱκέται. πόθεν αὐτοῖς ταύτης

1 Ὑπὲρ ἡμῶν Clar. Reg. 1. qui quoque poſt pauca ἡμᾶς, male.

neceſſitudine iunctis privavere. Qui tanto Athenienſium nomen odio proſequi debent, quanto ſuos quiſque amore fuit complexus.„

XXIX. „Qui ergo non abſurdum & iniquum foret, o Syracuſani, defunctos in bello ultro pro vobis mortem oppetiiſſe; at vos illorum gratia nec de infenſiſſimis ultionem exigere? & laudare quidem eos, qui ſuam ipſorum vitam communi libertati impenderunt, ſed pluris tamen hoſtium ſalutem, quam praeclare meritorum de vobis honorem, aeſtimare? Publico a vobis decreto ſancitum eſt, ut ſepulcra denatorum publico ſumtu exornentur. Quem igitur honeſtiorem invenietis ornatum, quam carnifices illorum afficere ſupplicio? Niſi forte, ſi Diis placet, in civitatem adſcriptos animata haec tropaea veſtris exanimatis ſtatuere vobis libet. At, tranſmutato nomine, pro hoſtibus hoſpites ac ſupplices vo-

τῆς φιλανθρωπίας συγκεχωρημένης; οἱ γὰρ ἀπ' ἀρχῆς τὰ περὶ τούτων νόμιμα διατάξαντες, τοῖς μὲν δυστυχοῦσι τὸν ἔλεον, τοῖς δὲ διὰ πονηρίαν ἀδικοῦσιν ἔταξαν τιμωρίαν. ἐν ποτέρᾳ δὴ τάξει θῶμεν τοὺς αἰχμαλώτους; ἐν τῇ τῶν ἠτυχηκότων; καὶ τίς αὐτοὺς τύχη μὴ προαδικηθέντας ἐβιάσατο πολεμεῖν Συρακουσίοις, καὶ τὴν παρὰ πᾶσιν ἐπαινουμένην εἰρήνην ἀφέντας, ἐπὶ κατασκαφῇ παρεῖναι τῆς [1] ὑμετέρας πόλεως; διόπερ ἑκουσίως ἑλόμενοι πόλεμον ἄδικον, εὐψύχως ὑπομενόντων τὰ τούτου δεινὰ, καὶ μὴ, κρατοῦντες μὲν, ἀπαραίτητον ἐχόντων τὴν καθ' ἡμῶν ὠμότητα· σφαλέντες δὲ, τοῖς τῆς ἱκεσίας φιλανθρώποις παραιτεῖσθαι τὴν τιμωρίαν. εἰ δ' ἐλέγχονται διὰ πονηρίαν καὶ πλεονεξίαν τοιούτοις ἐλαττώμασι περιπεπτωκότες, μὴ καταμεμφέσθωσαν τὴν τύχην, μηδ' ἐπικαλείσθωσαν τὸ τῆς ἱκεσίας ὄνο-

1 Ὑμετέρας Clarom. Reg. 2. idque bene. Vulgo ἡμετέρας. Paullo ante παρὰ ante πᾶσιν desideratur in Reg. 1.

cantur. Unde haec illis humanitas indulta? Nam qui principio leges de his conſtitutas tulerunt, calamitoſis miſericordiam, & ſcelerate delinquentibus ſupplicium decreverunt. Iam utrum captivis ordinem attribuemus? Num calamitoſorum? At quis malus genius eos, nulla prius iniuria laceſſitos, bellum inferre Syracuſanis, & pace, quam ſumma omnes laude vehunt, neglecta, ad urbis veſtrae excidium arma experiri coëgit? Itane igitur comparatum ſit? Quandoquidem iniuſtum ſponte ſua bellum ſuſceperunt, perferant ſane eius diſcrimina fortiter, & minime, ſi victoriam obtinuerint, inexorabilem in nos ſaevitiam exerceant; ſin res male ceſſerit, humaniſſimo ſupplicationis obtentu ſupplicium deprecentur. Quid? ſi redarguantur, quod mera nequitia, & plura ſubinde acquirendi cupiditate, in has ſe calamitates praecipitarint? Fortunam ergo ne incuſent, nec honeſtiſſimum ſupplicationis nomen implorent. Hoc enim illis

μα. τοῦτο γὰρ παρ' ἀνθρώποις φυλάττεται τοῖς καθαρὰν μὲν τὴν ψυχὴν, ἀγνώμονα δὲ τὴν τύχην ἐσχηκόσιν. οὗτοι δ' ἁπάντων τῶν ἀτυχημάτων πλήρη τὸν βίον ἔχοντες, οὐδένα τόπον [1] αὐτοῖς βάσιμον εἰς ἔλεον καὶ καταφυγὴν ἀπολελοίπασι.„

λ'. „Τί γὰρ τῶν αἰσχίστων οὐκ ἐβουλεύσαντο; [2] τί δὲ τῶν δεινοτάτων οὐκ ἔπραξαν; πλεονεξίας ἴδιόν ἐστι τὸ, ταῖς ἰδίαις εὐτυχίαις οὐκ ἀρκούμενον, τῶν πόῤῥω κειμένων, καὶ μηδὲν προσηκόντων ἐπιθυμεῖν. οὗτοι ταῦτ' ἔπραξαν. εὐδαιμονέστατοι γὰρ ὄντες τῶν Ἑλλήνων, τὴν εὐτυχίαν, [3] ὥσπερ τὶ βαρὺ φορτίον, οὐ φέροντες, τὴν πελάγει τηλικούτῳ διειργομένην Σικελίαν ἐπεθύμησαν κατακληρουχῆσαι, τοὺς ἐνοικοῦντας ἐξανδραποδισάμενοι. δεινόν ἐστι μὴ προαδικηθέντας πόλεμον ἐπιφέρειν.

1 Αὑτοῖς Reg. uterque.
2 Τί δαὶ τῶν δεινῶν Coisl. ultimum habet & Reg. 1.
3 Ὥσπερ τὶ idem Reg. quod amplector. Cett. τὶ deest.

integrum reservatur, qui puro & innocenti animo praediti fortunae inclementiam experiuntur. At illi, cum vitam omnibus iniuriis refertam trahant, nullum ad miserationem aditum, nullum perfugium sibi reliquum fecerunt.„

XXX. „Quid enim uspiam vel omnium turpissimum occurret, quod ipsi non excogitarint? quod unquam immane facinus, quod non perpetrarint? Avaritiae id maxime proprium est, suae felicitatis sorte non contentum, ad longe remota, nihilque ad se pertinentia, cupiditatem extendere suam. Id quod ab his egregie factum est. Nam licet Graecorum omnium essent beatissimi, fortunam tamen secundam, veluti onus quoddam nimis grave, non ferentes, Siciliamque, tam vasto mari seiunctam, incolis in servitutem abstractis, sortito inter se dividere cupiverunt. Grave quiddam est & atrox, nulla iniuria provocatos aliis bellum inferre. Quod & ipsum illi com-

καὶ τοῦτ' εἰργήσαν. Φίλοι γὰρ ὄντες τὸν ἔμπροσθεν χρόνον, ἐξαίφνης ἀνελπίστως τηλικαύτῃ δυνάμει Συρακουσίους ἐπολιόρκησαν. [1] ὑπερήφανόν ἐστι τὸ τῶν μήπω κρατηθέντων προλαμβάνοντα τὴν τύχην, καταψηφίζεσθαι τιμωρίαν. οὐδὲ τοῦτο παραλελοίπασι. πρὸ τοῦ γὰρ ἐπιβῆναι τῆς Σικελίας, γνώμην ἐκύρωσαν, Συρακουσίους μὲν καὶ Σελινουντίους ἐξανδραποδίσασθαι, τοὺς δὲ λοιποὺς διδόναι φόρους ἀναγκάζειν. ὅταν οὖν περὶ τοὺς αὐτοὺς ἀνθρώπους ὑπάρχῃ πλεονεξία, ἐπιβουλὴ, ὑπερηφανία, τίς ἂν νοῦν ἔχων αὐτοὺς ἐλεήσειεν; ἐπείτοιγε Ἀθηναῖοι πῶς ἐχρήσαντο Μιτυληναίοις; κρατήσαντες γὰρ αὐτῶν, ἀδικῆσαι μὲν οὐδὲν βουλομένων, ἐπιθυμούντων δὲ τῆς ἐλευθερίας, ἐψηφίσαντο ἐν τῇ πόλει κατασφάξαι. ὠμόν τε καὶ βάρβαρον τὸ πεπραγμένον· καὶ ταῦτα ἐξήμαρτον εἰς Ἕλληνας, εἰς

1 Ὑπερηφάνων ora Steph. non male. Vid. cap. 52.

miserunt. Qui enim pridem amicitiam vobiscum coluerant, tantis repente copiis urbem vestram circumsepserunt. Superbum certe est, praeoccupata belli fortuna, hostibus nondum victis supplicium decernere. Nec hoc ab illis praetermissum est. Nam antequam in Siciliam traiecissent, communibus hanc sententiam suffragiis ratam fecerunt, Syracusanos & Selinuntios vendendos ac mancipandos esse, reliquos vero ad tributorum pensionem adigendos. Cum igitur in eosdem homines cadant haec simul mala, avaritia inexplebilis, fraus insidiarum plena, & insolentia non tolerabilis; quisnam sanae mentis illorum misereatur? praesertim cum non obscurum sit, quam clementer tractarint Mitylenaeos. Postquam enim hos debellarant, qui tamen nihil iniqui contra illos moliti, pristinae tantum libertatis desiderio tenebantur, de universis in urbe iugulandis decretum fecerunt. Crudele profecto ac barbaricum plane facinus. Atque hoc

συμμάχους, εἰς εὐεργέτας πολλάκις γεγενημένους. μὴ δὴ νῦν ἀγανακτούντων, εἰ τοιαῦτα πρὸς τοὺς ἄλλους πράξαντες, αὐτοὶ παραπλησίας τεύξονται τιμωρίας. δικαιότερον γάρ ἐστιν, ὃν [1] καθ' ἑτέρων νόμον τις ἔθηκε, τούτῳ χρώμενον μὴ ἀγανακτεῖν· [2] καὶ τί λέγω; Μηλίους ἐκπολιορκήσαντες, ἡβηδὸν ἀπέκτειναν, καὶ [3] Σκιωναίους, οἱ συγγενεῖς ὄντες, τῆς αὐτῆς Μηλίοις τύχης ἐκοινώνησαν. ὥστε δύο δήμους πρὸς Ἀττικὴν ὀργὴν [4] ἐπταικότας οὐδὲ τοὺς [5] κηδεύσαντας ἔχειν τὰ τῶν τετελευτηκότων σώματα. οὐ Σκύθαι τοῦτ' ἔπραξαν, ἀλλ' ὁ προσποιούμενος φιλανθρωπίᾳ διαφέρειν δῆμος [6] ψηφίσματι τὰς πόλεις ἄρδην ἀνῄρηκεν. ἤδη λογίζεσθε, τί ἂν ἔπραξαν [7] εἰς τὴν τῶν Συρακουσίων πόλιν, εἰ ἐξε-

1 Καθ' ἕτερον Reg. 1.

2 Desit copula Reg. 1. Coisl. & propterea asteriscum habet in Stephan. edit.

3 Σκιωνέους Clar.

4 Ἐπταικότας οὐδὲ Co. Reg. 1. In edd. οὐδὲν, quod tamen sollemnem notam defectus habet, interponitur.

5 Κηδεύσαντας Coisl. Clar. Reg. 2. melius. Vulgo κηδεύσοντας.

6 Ψηφίσμασι Reg. 1. Clar.

7 Εἰς τὴν -- εἰ ἐξεπόρθησαν Reg. 1. quod significantius. In edd. εἰ τὴν -- ἐξεπόρθησαν.

in Graecos, in socios, in bene de se compluries meritos, designarunt. Quocirca non aegre ferant, si, quas aliis poenas inflixerint, easdem etiam ipsi luant. Nam aequum est, ut, quam quis in alios legem statuit, eandem non gravatim etiam ipse subeat. Sed quid istud memoro? urbe Meliorum expugnata totam illic pubem misere trucidarunt. Scionaei quoque, cognato Meliis sanguine iuncti, eandem fortunae iniquitatem experti sunt. Ita duo simul populi, cum ad furorem Atticum impegissent, adeo protriti sunt, ut nec funebria cadaveribus iusta persolventes inde restarent. Talia vero qui perpetrarunt, non Scythae sunt; sed populus, humanitate quosvis alios praecellere se fingens, publico decreto urbes illas funditus evertit. Nunc cogitate, quid in Syracusiorum urbem, si vi expugnassent, commissuri fuissent:

πόρθησαν. οἱ γὰρ τοῖς οἰκείοις οὕτως ὠμῶς χρησάμενοι, τοῖς μηδὲν προσήκουσι βαρυτέραν ἂν ἐξεῦρον τιμωρίαν.„

λα΄. „Οὐκ ἔστιν οὖν τούτοις δίκαιος ἀποκείμενος ἔλεος· αὐτοὶ γὰρ αὐτὸν ἐπὶ τῶν ἰδίων ἀκληρημάτων ἀνῃρήκασι. ποῦ γὰρ ἄξιον τούτοις καταφυγεῖν; πρὸς θεούς; ὧν τὰς πατρίους τιμὰς ἀφελέσθαι προείλοντο. πρὸς ἀνθρώπους; οὓς δουλωσόμενοι παρεγένοντο. [1] Δήμητραν καὶ Κόρην καὶ τὰ τούτων ἐπικαλοῦνται μυστήρια, τὴν ἱερὰν αὐτῶν νῆσον πεπορθηκότες; ναί. ἀλλ' οὐκ αἴτιον τὸ πλῆθος τῶν Ἀθηναίων, ἀλλ' Ἀλκιβιάδης ὁ ταῦτα συμβουλεύσας. ἀλλ' εὑρήσομεν τοὺς συμβούλους κατὰ τὸ πλεῖστον στοχαζομένους τῆς τῶν ἀκουόντων βουλήσεως, ὥσθ' ὁ χειροτονῶν τῷ ῥήτορι λόγον οἰκεῖον ὑποβάλλει τῆς ἑαυτοῦ προαιρέσεως. οὐ γὰρ ὁ λέγων

1 Δήμητρα Vat. Coisl. Vid. not. ἐπιχ. Reg. 2. Clarom. & Stephan. in lib. I, 13. Tum καὶ τὰ τοιαῦτα margo.

profecto, qui tam efferata crudelitate in familiares debacchati ſunt, longe atrocius in alieniores vindictae genus inveniſſent.„

XXXI. „Iure igitur nihil his miſericordiae reliquum eſt, quam ipſimet in propriis ſibi calamitatibus amputarunt. Nam quo confugere illos convenit? Ad Deoſne immortales, quibus cultus adimere patrios ſtuduerunt? An vero ad hominum fidem, quos ſervitutis inn
ectere iugo approperarunt? Num Cereris & Proſerpinae numen & myſteria implorabunt, cum conſecratam ipſis inſulam exciſum & vaſtatum huc acceſſerint? Scilicet. Atqui plebs Athenienſis non in culpa eſt, ſed Alcibiades, horum omnium ſuaſor & concitator. Quid vero? ſi conſultores plerumque ad ſuas de auditorum voluntate coniecturas orationem accommodare ſit compertum? nempe, ut ſuffragium laturus voluntati ſuae congrua ad dicendum oratori ſubminiſtret. Non enim in

κύριος τοῦ πλήθους, ἀλλ' ὁ δῆμος ἐθίζει τὸν ῥήτορα τὰ βέλτιστα λέγειν, χρηστὰ βουλευόμενος. εἰ δὲ τοῖς ἀδικοῦσιν ἀνήκεστα συγγνώμην δώσομεν, ἐὰν εἰς τοὺς συμβούλους τὴν αἰτίαν ἀναφέρωσιν, εὐχερῆ τοῖς πονηροῖς τὴν ἀπολογίαν παρεξόμεθα. ἁπλῶς δὲ πάντων ἐστὶν ἀδικώτατον, τῶν μὲν εὐεργεσιῶν μὴ τοὺς συμβούλους ἀλλὰ τὸν δῆμον ἀπολαμβάνειν τὰς χάριτας παρὰ τῶν εὖ παθόντων, τῶν δ' ἀδικημάτων ἐπὶ τοὺς ῥήτορας μεταφέρειν τὴν τιμωρίαν. καὶ ἐπὶ τοσοῦτον τινὲς ἐξεστήκασι τῶν λογισμῶν, ὥστ' Ἀλκιβιάδην, εἰς ὃν τὴν ἐξουσίαν οὐκ ἔχομεν, φασὶ δεῖν τιμωρεῖσθαι, τοὺς δ' αἰχμαλώτους ἀγομένους ἐπὶ τὴν προσήκουσαν τιμωρίαν ἀφεῖναι, καὶ πᾶσιν ἐνδείξασθαι, [1] διότι τὴν δικαίαν μισοπονηρίαν οὐκ ἔσχηκεν ὁ δῆμος τῶν Συρακουσίων. εἰ δὲ καὶ κατ' ἀλήθειαν αἴτιοι γεγόνασιν οἱ

1 Διὸ τὴν in Reg. 1. ſed ad marg. adſcriptum eſt οἶμαι διότι ἀντὶ ὅτι.

concionantis poteſtate multitudinis conſiſtit arbitratus; ſed populus, quod in rem eſt prudenter conſulens, oratorem ad optima differendum aſſuefacit. Quod ſi nefarie delinquentibus veniam indulgebimus, ſi modo in conſultores errati culpam reiecerint, promtam cuivis ſcelerato purgandi ſui facultatem porrigemus. Utque planiſſime dicam, omnium hoc iniquiſſimum fuerit, benefactorum gratiam non conſultoribus, ſed populo, a beneficio quopiam affectis haberi; iniuriarum vero poenas in oratores transferri. Mirum vero, nonnullos eo iam imprudentiae delapſos, ut Alcibiadem, in quem nihil poteſtatis eſt nobis, plectendum, captivos autem, iam ad meritum ſupplicium adductos, dimittendos eſſe cenſeant, ut omnibus ſcilicet palam fiat, quod iuſto adverſus ſceleratam improbitatem odio populus Syracuſanus non afficiatur. Sed iſti ſuaſores huius belli omnem ſuſtineant culpam.

σύμβουλοι τοῦ πολέμου, μεμφέσθω τὸ μὲν πλῆθος τοῖς ῥήτορσιν, ὑπὲρ ὧν ἐξηπάτησαν, [1] ὑμεῖς δὲ δικαίως μετελεύσεσθε τὸ πλῆθος, ὑπὲρ ὧν ἠδίκησθε. καθόλου δ' εἰ μὲν ἐπιστάμενοι σαφῶς ἠδίκησαν, [2] δι' αὐτὴν τὴν προαίρεσιν ἄξιοι τιμωρίας· εἰ δ' εἰκῆ βουλευσάμενοι τὸν πόλεμον ἐξήνεγκαν, οὐδ' ὡς [3] αὐτοὺς ἀφετέον, ἵνα μὴ σχεδιάζειν ἐν τοῖς τῶν ἄλλων βίοις ἐθισθῶσιν. οὐ γὰρ δίκαιόν ἐστι τὴν Ἀθηναίων ἄγνοιαν Συρακουσίοις φέρειν ἀπώλειαν, οὐδ', ἐν οἷς τὸ πραχθὲν ἀνήκεστόν ἐστιν, ἐν τούτοις ἀπολογίαν ὑπολείπεσθαι τοῖς ἁμαρτάνουσι.,,

λβ'. ,,Νὴ Δία, ἀλλὰ Νικίας ὑπὲρ Συρακουσίων ἐπολιτεύσατο, καὶ μόνος συνεβούλευσε μὴ πολεμεῖν. [4] τὸν μὲν ἐκεῖ γεγενημένον λόγον ἀκούομεν, τὰ δ' ἐν-

1 Ἡμεῖς Clar. Reg. 1.
2 Quatuor, quae fuccedunt, vocabula defunt Reg. 1.
3 Αὐτοῖς idem.
4 Τὸ μὲν ἐκεῖ γεγενημένον ἀκ. in ora Steph. Clar. Reg. 2. Deeft ἐκεῖ in Coisl.

Accufet ergo illos multitudo, quod tam maligne ab oratoribus decepti fuerint. Interim vos iure optimo iniuriarum vindictam a multitudine repofcetis. Quodque caput rei eft, fi prudentes & fcientes tam notoria vos iniuria affecerunt, propter hoc ipfum nocendi propofitum ultione digni funt. Sin temerariis bellum confiliis intulerunt, nec hac ratione dimittantur, quippe ne temere aliorum vitae pericula & damna inferre confuefcant. Haudquaquam enim par eft, per ignorantiam & temeritatem Athenienfium exitium Syracufanis importari, nec, ubi irreparabile facti damnum eft, liberum auctoribus excufandi locum patefieri.,,

XXXII. ,,At vero, ita me Iuppiter amet! Nicias in republica Syracufiorum caufam egit, folufque belli disfuafor exftitit. Sane, quae tum dicta illic fuerint, audi-

ταῦθα πεπραγμένα τεθεωρήκαμεν. ὁ γὰρ ἀντειπὼν ἐκεῖ περὶ τῆς στρατείας, ἐνταῦθα στρατηγὸς ἦν τῆς δυνάμεως· καὶ ὁ πολιτευόμενος ὑπὲρ Συρακουσίων, ἀπετείχισεν [1] ὑμῶν τὴν πόλιν· καὶ ὁ φιλανθρώπως διακείμενος πρὸς ὑμᾶς, Δημοσθένους καὶ τῶν ἄλλων ἁπάντων βουλομένων λῦσαι τὴν πολιορκίαν, μόνος ἐβιάσατο [2] μένειν καὶ πολεμεῖν. διόπερ ἔγωγε νομίζω, μηδὲν [3] παρ' ὑμῖν πλεῖον ἰσχῦσαι τὸν μὲν λόγον τῶν ἔργων, τὴν δ' ἀπαγγελίαν τῆς πείρας, τὰ δ' ἀφανῆ τῶν [4] ὑπὸ πάντων ἑωραμένων. νὴ Δία, ἀλλὰ καλὸν μὴ ποιεῖν τὴν ἔχθραν αἰώνιον. οὐκοῦν μετὰ τὴν τῶν ἠδικηκότων κόλασιν, ἐὰν ὑμῖν δοκῇ προσηκόντως [5] διαλύσεσθε τὴν ἔχθραν; οὐ γὰρ δίκαιον, ὅταν μὲν κρατῶσιν, ὡς δούλοις χρῆσθαι τοῖς ἡλωκόσιν· ὅταν δὲ κρατηθῶσιν, ὡς οὐδὲν ἠδικηκότας συγγνώμης τυγχάνειν· καὶ

1 Ὑμᾶν Clar. Reg. 2. tum mox ὑμᾶς. Ἡμᾶς & ἡμῶν edd.
2 Absunt duo haec Reg. 1.
3 Παρ' ἡμ. πλεῖ μελεῖν Coisl.
4 Ἀπὸ Clar.
5 Διαλύσασθε Reg. 1. Stephan. marg. διαλύσεσθαι Clar. Reg. 2.

mus: at hic facta coram intuemur. Nam qui illic contra expeditionem differuit, en hic hostilis exercitus ductor fuit, & tum Syracusanorum patronus, nunc urbem illorum circumvallavit. Qui tam humaniter erga vos affectus dicitur, unus, Demosthene ceterisque omnibus obsidionem solvere cupientibus, manere, bellumque continuare iussit atque perpulit. Quapropter ego sic statuo, apud vos nec verba rebus, nec pollicita experimentis, nec obscura & incerta palam omnium conspectui expositis, plus habere ponderis atque virium debere. At, bone Iuppiter, inimicitias non sempiternas geri honestum est. An non post sumtum de violatoribus pacis & iustitiae supplicium inimicitias opportune dissolvetis? Certe periniquum foret, illos bello superiores devictis tanquam servis abuti; superatos vero, ceu nihil iniuste commiserint, veniam adipisci. Hoc enim pa-

[1] τοῦ μὲν δοῦναι δίκην, ὧν ἔπραξαν, ἀφεθήσονται, λόγῳ δ' εὐσχήμονοι, καθ' ὃν ἂν χρόνον αὐτοῖς συμφέρῃ, τῆς φιλίας [2] μνημονεύσουσιν. ἐν γὰρ, ὅτι τοῦτο πράξαντες, σὺν πολλοῖς ἄλλοις καὶ τοὺς Λακεδαιμονίους ἀδικήσετε, ὑμῶν χάριν [3] κἀκεῖ τὸν πόλεμον ἐπανῃρημένους, καὶ ἐνταῦθα συμμαχίαν ἀποστείλαντας. ἐξῆν γὰρ αὐτοῖς ἀγαπητῶς ἄγειν εἰρήνην, καὶ περιορᾷν τὴν Σικελίαν πορθουμένην. διόπερ ἐὰν τοὺς αἰχμαλώτους ἀφέντες, φιλίαν συνάπτησθε, προδόται φανήσεσθε τῶν συμμαχησάντων, καὶ τοὺς κοινοὺς ἐχθροὺς δυνάμενοι ταπεινῶσαι, τοσούτους στρατιώτας ἀποδόντες, πάλιν ἰσχυροὺς [4] κατασκευάσετε. οὐ γάρ ποτ' ἔγωγε πιστεύσαιμι, ὡς Ἀθηναῖοι τηλικαύτην ἔχθραν ἐπανῃρημένοι, βεβαίαν φυλάξουσι τὴν φιλίαν, ἀλλ' ἀσθε-

1 Τὸ Coisl. Clar.
2 Μνημονεύουσιν iidem & Reg. 2.
3 Deſit Reg. 1. qui ſtatim ἐπανῃρημένους cum Coislin. & Stephan. marg. Vulgo ἀνῃρημένους.
4 Κατασκευάσητε Reg. 1.

ſto fiet, ut malefactorum poenis exſoluti, amicitiae eo dumtaxat tempore ſpecioſe ſint memores, quo ipſis conducibile videatur. Unum hoc inſuper addo: ſi conſilium iſtud exſequemini, praeter complures alios, etiam Lacedaemonios iniuria afficietis, qui & illic promte veſtra cauſa bellum ſuſceperunt, & huc ſuppetias pro iure ſociali tranſmiſerunt; cum in pace quieſcere, ac Siciliam hoſtibus diripiendam ac vaſtandam permittere integrum ipſis foret. Eam ob cauſam, ſi captivis impune dimiſſis novum cum Athenienſibus amicitiae foedus conneſtetis, fidem ſocietatis vos prodidiſſe liquido apparebit, & cum in facultate veſtra ſit, communem nunc hoſtem omnino peſſumdare, eum, tot egregiis militibus reſtitutis, denuo viribus inſtructiorem reddetis. Nunquam mihi perſuaderi ſinam, Athenienſes, tanto in vos odio concitatos, in amicitiae fide conſtanter perſevera-

νεῖς μὲν ὄντες, ὑποκριθήσονται τὴν εὔνοιαν, ἀναλαβόντες δ' [1] αὐτοὺς, τὴν ἀρχαίαν προαίρεσιν [2] εἰς τέλος ἄξουσιν. ἐγὼ μὲν [3] οὖν, ὦ Ζεῦ καὶ πάντες οἱ θεοὶ, μαρτύρομαι πάντας ὑμᾶς, μὴ σώζειν τοὺς πολεμίους, μὴ ἐγκαταλιπεῖν τοὺς συμμάχους, μὴ πάλιν ἕτερον ἐπάγειν τῇ πατρίδι κίνδυνον. ὑμεῖς δὲ, ὦ ἄνδρες Συρακούσιοι, τούτους ἀφέντες, ἐὰν ἀποβῇ τι δυσχερὲς, οὐδ' ἀπολογίαν ἑαυτοῖς [4] εὐσχήμονα καταλείψετε.„

Hac oratione incitati Syracuſani, Athen. duces trucidant. Reliqui in latomias detruſi. Poenaexemti, qui literis erant exculti.

λγ'. [5] Ταῦτα διαλεχθέντος τοῦ Λάκωνος, μετέπεσε τὸ πλῆθος, καὶ τὴν Διοκλέους γνώμην ἐκύρωσε. διόπερ οἱ μὲν στρατηγοὶ παραχρῆμα ἀνῃρέθησαν, καὶ οἱ σύμμαχοι· οἱ δ' Ἀθηναῖοι παρεδόθησαν εἰς τὰς λατομίας, ὧν ὕστερον οἱ μὲν ἐπὶ πλεῖον παιδείας μετεσχηκότες, ὑπὸ τῶν νεωτέρων ἐξαρπαγέντες διεσώθησαν· οἱ δὲ λοιποὶ σχεδὸν ἅπαντες [6] ἐν τῷ δεσμωτηρίῳ κακούμενοι,

1 Αὐτοὺς Reg. 2.
2 Ἐπὶ Coisl. Reg. 1.
3 Abeſt Reg. 1. ſicuti & articulus ante θεοί.
4 Ἀσχήμονα Coisl.
5 Τοιαῦτα ora Steph. Coislin. Clar. Reg. 1.
6 Praepoſitio non eſt in Reg. 2.

turos: ſed, quamdiu vires ipſis defuerint, tantiſper benevolentiam ſimulaturos; quamprimum vero aliquid roboris collegerint, iam olim meditata ad finem promoturos. Ad extremum itaque, o Iuppiter Diique univerſi, vos omnes obteſtor, ne hoſtes ſerventur, ne ſociorum fides deſeratur, ne novum denuo periculum patriae adducatur. At vobis, o viri Syracuſani, ſi, dimiſſis hoſtibus, moleſti quidpiam evenerit, nec ſpeciem honeſte vos excuſandi reliquam habituri eſtis.„

XXXIII. Haec cum diſſeruiſſet Laco, mutatis plebs animis ſententiam Dioclis ratam eſſe iuſſit. Extemplo igitur ſummi exercitus duces cum ſociorum turba necati. Cives autem Attici in lapidum fodinas detruſi fuere. Quorum nonnulli, liberalius in bonis artibus inſtituti, adoleſcentum favore vinculis exemti, incolumes abiere. Reliqui ferme omnes, indignis in carcere modis

τὸν βίον οἰκτρῶς κατέστρεψαν. μετὰ δὲ τὴν κατάλυσιν τοῦ πολέμου, Διοκλῆς ἀνέγραψε τοῖς Συρακουσίοις τοὺς νόμους, καὶ συνέβη παράδοξον περὶ τὸν ἄνδρα τοῦτον γενέσθαι περιπέτειαν. ἀπαραίτητος γὰρ ἐν τοῖς ἐπιτιμίοις γενόμενος, καὶ σκληρῶς κολάζων τοὺς ἐξαμαρτάνοντας, ἔγραψεν ἐν τοῖς νόμοις, ἐάν τις ὅπλον ἔχων εἰς τὴν ἀγορὰν παραγένηται, θάνατον εἶναι πρόστιμον· οὔτε ἀγνοίᾳ δοὺς οὔτε ἄλλῃ τινὶ περιστάσει συγγνώμην. προσαγγελθέντων δὲ πολεμίων ἐπὶ τῆς χώρας, ἐξεπορεύετο ξίφος ἔχων. αἰφνιδίου δὲ στάσεως καὶ ταραχῆς κατὰ τὴν ἀγορὰν γενομένης, ἀγνοήσας μετὰ τοῦ ξίφους παρῆν εἰς τὴν ἀγορὰν. τῶν δὲ ἰδιωτῶν τινος κατανοήσαντος, καὶ εἰπόντος, ὅτι τοὺς ἰδίους αὐτὸς καταλύει νόμους, ἀνεβόησε, μὰ Δία οὔμενουν,[1] ἀλλὰ κυρίους ποιήσω· καὶ σπασάμενος τὸ ξίφος, ἑαυτὸν ἀπέ-

Finito bello, Diocles Syracusanis novas leges scripsit, severitatisque exemplum in semetipsum edidit.

1 Ἀλλὰ καὶ Coisl. Clar. Reg. 2.

vexati, miserabili tandem vitae exitu perierunt. Bello dehinc finito, Diocles Syracusanis leges conscripsit. Sed insolens quiddam & memorabile circa hunc virum accidit. Cum enim inexorabilis esset poenarum exactor, & rigida in delinquentes severitate animadverteret, inter leges suas hoc etiam sancivit, ut, si quis cum armis in forum prodiret, capite plecteretur; nec ullam imprudentiae aut cuicunque circumstantiae veniam concessit. Sed accidit quondam, ut hostium irruptione in agrum Syracusanum nuntiata, etiam ipse gladio accinctus egrederetur. Interim tumultu per seditionem circa forum exorto, imprudens cum gladio illuc approperat. Quod cum privatus quidam observatum reprehenderet, exclamaretque, proprias ab ipso leges antiquari: Non, per Iovem, inquit, sed potius confirmabo. Eductoque

κτεινε. [1] ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

Olymp. XCII, 1.

λδ'. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Καλλίου, Ῥωμαῖοι μὲν ἀντὶ τῶν ὑπάτων χιλιάρχους κατέστησαν τέτταρας, Πόπλιον Κορνήλιον, Γαΐον Φάβιον· Ὀλυμπιὰς δ' ἤχθη παρ' Ἠλείοις δευτέρα πρὸς ταῖς ἐννενήκοντα, καθ' ἣν ἐνίκα στάδιον Ἐξαίνετος Ἀκραγαντῖνος. ἐπὶ δὲ τούτων, Ἀθηναίων περὶ Σικελίαν ἐπταικότων, συνέβη τὴν ἡγεμονίαν αὐτῶν καταφρονηθῆναι. εὐθὺς γὰρ Χῖοι καὶ Σάμιοι καὶ Βυζάντιοι καὶ πολλοὶ τῶν συμμάχων [2] ἀπέστησαν πρὸς τοὺς Λακεδαιμονίους. διόπερ ὁ δῆμος ἀθυμήσας ἐξεχώρησεν ἑκουσίως τῆς δημοκρατίας. ἑλόμενος δὲ ἄνδρας τετρακοσίους, τούτοις τὴν διοίκησιν ἐπέτρεψε τῶν κοινῶν. οἱ δὲ τῆς ὀλιγαρχίας προεστῶτες, ναυπηγησάμενοι πλείους τριήρεις, ἀπέστειλαν τεσσαράκοντα, καὶ στρατηγούς. οὗτοι δὲ στασιάζοντες

Re in Sicilia male gesta, ab Atheniensibus multi socii deficiunt; ipsi, abrogata democratia, remp. CCCC viris permittunt.

1 Vetus interpr. hic desinit, lacero usus exemplari.

2 Ἀπέστησαν Regius 1. Vulgo ἀπέστειλαν.

gladio, se illico transfixit. Hic rerum gestarum illo quidem anno cursus fuit.

XXXIV. Archontis dehinc munus obeunte Athenis Callia, Romani Tribunos militares consulari potestate IV fecerunt, P. Cornelium, Caium Fabium. Tunc Olympias apud Eleos agebatur nonagesima secunda, qua stadio vicit Exaenetus Agrigentinus. Hoc tempore Atheniensis populi imperium, ob res in Sicilia male gestas, contemni coepit: statim namque Chii, Samii, Byzantii, & bona pars sociorum, ad Lacedaemonios descivere. Perturbatus hac re populus, populari administratione sponte se abdicans, CCCC viros elegit, qui reipublicae negotia tractarent. Potestate igitur ad paucos redacta, qui summae rerum praeerant, plures triremes exstruunt, & XL navium classem cum praetoribus expediunt. Quae,

πρὸς ἀλλήλους, εἰς Ὠρωπὸν ἐξέπλευσαν. ἐκεῖ γὰρ ὥρμουν αἱ τῶν πολεμίων τριήρεις. γενομένης οὖν ναυμαχίας ἐνίκων οἱ Λακεδαιμόνιοι, καὶ σκαφῶν εἴκοσι καὶ δυοῖν ἐκυρίευσαν. Συρακούσιοι δὲ καταλελυκότες τὸν πρὸς Ἀθηναίους πόλεμον, τοὺς μὲν Λακεδαιμονίους συμμαχήσαντας, ὧν ἦρχε [1] Γύλιππος, ἐτίμησαν τοῖς ἐκ τοῦ πολέμου λαφύροις, συναπέστειλαν δ' αὐτοῖς εἰς Λακεδαίμονα συμμαχίαν, εἰς τὸν πρὸς Ἀθηναίους πόλεμον, τριάκοντα καὶ πέντε τριήρεις, ὧν ἦρχεν Ἑρμοκράτης ὁ πρωτεύων τῶν πολιτῶν. αὐτοὶ δὲ τὰς ἐκ τοῦ πολέμου γενομένας ὠφελείας ἀθροίσαντες, τοὺς μὲν ναοὺς ἀναθήμασι καὶ σκύλοις ἐκόσμησαν, τῶν δὲ στρατιωτῶν τοὺς ἀριστεύσαντας ταῖς προσηκούσαις δωρεαῖς ἐτίμησαν. μετὰ δὲ ταῦτα τῶν δημαγωγῶν ὁ [2] πλεῖστον παρ' αὐτοῖς ἰσχύσας Διοκλῆς, ἔπεισε τὸν δῆμον μεταστῆσαι τὴν πολιτείαν εἰς τὸ κλήρῳ τὰς ἀρχὰς

Classis Atheniensium, recens coacta, ad Oropum a Lacedaemoniis victa.

Syracusani Lacedaemoniis auxilia partemque praedae mittunt.

Nova reip. Syracusanorum constitutio per Dioclem.

1 Γύλιπος Clar. 2 Πλεῖστα Reg. 1.

orto inter praefectos dissidio, Oropum appellit: ubi hostium triremes in ancoris consistebant. Inito igitur certamine, Lacedaemonii vincunt, & navigiis XXII potiuntur. At Syracusani, bello Atheniensium exstincto, Lacedaemonios armorum socios, quorum dux Gylippus erat, spoliis eo bello captis remunerantur, cumque illis XXXV triremes in subsidium belli contra Athenienses suscepti mittunt, quarum Hermocrates Praetor erat, vir inter cives primarius. Tum praedam eo bello acquisitam contrahunt, & selectis inde manubiis templa exornant: milites etiam, qui praeclarum virtutis specimen ediderant, pro suo quemque merito, praemiis honestant. Post haec Diocles, qui plurimum inter populi ductores auctoritate valebat, novam reipublicae rationem instituendi, ut sorte magistratus capessantur, populo auctor est. Legum prae-

διοικεῖσθαι, ἑλέσθαι δὲ καὶ νομοθέτας [1] εἰς τὸ τὴν πολιτείαν διατάξαι, καὶ νόμους καινοὺς ἰδίᾳ συγγράψαι.

λε'. Διόπερ οἱ Συρακούσιοι τοὺς φρονήσει διαφέροντας τῶν πολιτῶν εἵλοντο νομοθέτας, ὧν ἦν ἐπιφανέστατος Διοκλῆς. [2] τοσούτῳ γὰρ τῶν ἄλλων διήνεγκε συνέσει καὶ δόξῃ, ὥστε τῆς νομοθεσίας ὑπὸ πάντων κοινῇ γραφείσης, ὀνομασθῆναι τοὺς νόμους Διοκλέους. οὐ μόνον δὲ τὸν ἄνδρα τοῦτον ζῶντα ἐθαύμασαν οἱ Συρακούσιοι, ἀλλὰ καὶ τελευτήσαντα τιμαῖς ἡρωϊκαῖς ἐτίμησαν, καὶ νεὼν ᾠκοδόμησαν δημοσίᾳ, τὸν ὕστερον [3] ὑπὸ Διονυσίου κατὰ τὴν τειχοποιΐαν καθαιρεθέντα. ἐθαυμάσθη δὲ ὁ ἀνὴρ οὗτος καὶ παρὰ τοῖς ἄλλοις Σικελιώταις. πολλαὶ γοῦν τῶν κατὰ τὴν νῆσον πόλεων χρώμεναι διετέλεσαν τοῖς τούτου νόμοις, μέχρις ὅτου πάντες οἱ Σικελιῶται τῆς Ῥωμαίων πολιτείας ἠξιώθησαν. οἱ δ' οὖν Συρακούσιοι κατὰ τοὺς νεωτέρους

Dioclis elogium.

1 Haec usque ad ὧν ἦν in Coisl. desiderantur.

2 Τοσοῦτον Reg. 1.

3 Ἀπὸ Vat. Coisl.

terea latores, ad componendum reipublicae statum, novasque leges condendum, illos designare iubet.

XXXV. Ex civibus ergo deligunt Syracusani, qui prudentia maxime praestare videbantur, quorum clarissimus fuit Diocles. Nam adeo mentis sollertia & nominis celebritate alios supergressus est, ut leges communi omnium opera scriptae Diocleae tamen ab illo nuncuparentur. Nec vivus tantum hic vir in admiratione habitus fuit Syracusanis, sed mortuo quoque heroicos tribuerunt honores, exstructo ad memoriam illius templo, quod a Dionysio postmodum in eductione novi muri est destructum. Quin ceteri quoque Siculi virum hunc magni fecerunt. Multae igitur per insulam hanc civitates ad leges illius rempublicam conformarunt: donec omnes Siciliae populos Romani civitate sua donarunt. Etiamsi autem posteris inde temporibus, cum Timoleon impe-

χρόνους κατὰ μὲν Τιμολέοντα νομοθετήσαντος αὐτοῖς Κεφάλου, κατὰ δὲ τὸν Ἱέρωνα τὸν βασιλέα Πολυδώρου, οὐδέτερον αὐτῶν ὠνόμασαν νομοθέτην, [1] ἀλλ' ἢ ἐξηγητὴν τοῦ νομοθέτου· διὰ τὸ τοὺς νόμους γεγραμμένους ἀρχαίᾳ διαλέκτῳ δοκεῖν εἶναι [2] δυσκατανοήτους. μεγάλης δὲ οὔσης κατὰ τὴν νομοθεσίαν [3] ἀναθεωρήσεως, μισοπόνηρος μὲν φαίνεται, διὰ τὸ πάντων τῶν νομοθετῶν πικρότατα πρόστιμα θεῖναι κατὰ πάντων τῶν ἀδικούντων· δίκαιος δ', ἐκ τοῦ περιττότερον τῶν πρὸ αὐτοῦ κατ' ἀξίαν ἑκάστῳ τὸ ἐπιτίμιον ὑπάρξαι· πραγματικὸς δὲ καὶ πολύπειρος, ἐκ τοῦ πᾶν ἔγκλημά τε καὶ [4] πρᾶγμα δημόσιόν τε καὶ ἰδιωτικὸν ἀμφισβητούμενον ὡρισμένης ἀξιῶσαι τιμωρίας. ἔστι δὲ καὶ κατὰ τὴν λέξιν σύντομος, καὶ πολλὴν τοῖς ἀναγινώσκουσιν ἀπολιπὼν ἀναθεώρησιν. ἐμαρτύρησε δ' αὐτοῦ τὴν ἀρετὴν καὶ σκληρότητα τῆς ψυχῆς ἡ περὶ τὴν τελευτὴν περι-

1 Ἀλλ' ἐξηγητὴν Venet. Conf. Suidam in Ἀλλ' ἤ.
2 Δυσκατανόητον Coisl.
3 Θεωρίας Venet.
4 Πταῖσμα idem.

raret, Cephalus, &, Hierone regnante, Polydorus, leges Syracuſanis tulerint, neutrum tamen legislatorem, ſed interpretem legislatoris, nominarunt, propterea quod leges priſca lingua conſcriptae intellectu difficiles eſſent. Cum autem multa ſint in his legum inſtitutis conſideratione digna, inprimis acerrimum improbitatis odium hinc elucet, quod amariſſimas cunctis iuſtitiae violatoribus poenas irrogavit; iuſtitiae quoque ſtudium, quod praeter ceteros accuratius praemia ſingulis ex merito conſtituit. Ingenſque rerum civilium peritia & uſus ex eo apparet, quod unamquamlibet actionem & cauſam, quae privatim aut publice in diſceptationem venit, certa multa determinavit. In dicendo conciſus eſt, & multum diſquiſitionis lectori relinquit. Virtutem eius, animique rigorem, funeſtae mortis caſus atteſtatur. Haec ad paullo

πέτεια. ταῦτα μὲν οὖν ἀκριβέστερον εἰπεῖν προήχθην, διὰ τὸ τοὺς πλείους τῶν συγγραφέων ὀλίγῳ πρότερον περὶ αὐτοῦ διειλέχθαι.

Atheniensium res in dies peiores,

λστ'. Οἱ δ' Ἀθηναῖοι πυθόμενοι τὴν ἐν Σικελίᾳ δύναμιν ἀνῃρημένην, βαρέως ἔφερον τὸ πλῆθος τῆς συμφορᾶς, οὐ μὴν ἔληγόν γε διὰ τοῦτο τῆς Λακεδαιμονίων [1] φιλοτιμίας περὶ τῆς ἡγεμονίας, ἀλλὰ ναῦς τε κατεσκεύαζον πλείους καὶ χρήματα [2] ἐπορίζοντο τοῖς φιλονεικοῦσι μέχρι τῆς ἐσχάτης ἐλπίδος ὑπὲρ τῶν πρωτείων. ἑλόμενοι δὲ τετρακοσίους ἄνδρας, τούτοις ἔδωκαν [3] ἐξουσίαν αὐτοκράτορα διοικεῖν τὰ κατὰ τὸν πόλεμον. ὑπελάμβανον γὰρ τὴν ὀλιγαρχίαν εὐθετωτέραν εἶναι τῆς δημοκρατίας ἐν ταῖς τοιαύταις περιστάσεσιν. οὐ μὴν καὶ τὰ πράγματά γε κατὰ τὴν ἐκείνων ἠκολούθησε κρίσιν, ἀλλὰ πολὺ χεῖρον τὸν πόλεμον διῴκησαν.

1 Φιλίας Clar. Paullo ante τὸ μέγεθος τῆς συμφορᾶς Venet. ſatis commode.

2 Ἐπορίζοντο ora Steph. Reg. 2. Clar. Venet. Vulgo ἐπόριζον.

3 Τὴν ἐξουσίαν Coisl.

diligentius perſequendum ſtudio quodam provectus ſum, quod plerique ſcriptores non multa de ipſo ante nos memoriae prodiderint.

XXXVI. Ceterum Athenienſes, ubi copias ſuas in Sicilia ad internecionem deletas cognoverunt, graviſſime cladis atrocitatem tulere. Nihilo tamen magis idcirco de imperio cum Lacedaemoniis contendere deſtiterunt. Quin immo claſſem inſtruxerunt maiorem, pecuniaſque ſuis, ad extremam uſque ſpem de principatu contendere promtis, ſuppeditarunt. Quadringentis igitur viris a ſe delectis plenariam reipublicae adminiſtrandae poteſtatem tradiderunt. Paucorum enim gubernationem praeſenti rerum conditioni magis accommodam eſſe, quam ſtatum popularem, iudicabant. Res tamen nequaquam ex ſententia illis evenit, ſed longe infeliciore ſucceſſu bellum inde

ἀποστείλαντες γὰρ τεσσαράκοντα ναῦς, συνεξέπεμψαν τοὺς ἀφηγησομένους δύο στρατηγούς, ἀλλοτρίως ἔχοντας πρὸς ἀλλήλους. τῶν δὲ περὶ τοὺς Ἀθηναίους πραγμάτων τεταπεινωμένων, [1] ὁ μὲν καιρὸς προσεδεῖτο πολλῆς ὁμονοίας, οἱ δὲ στρατηγοὶ πρὸς ἀλλήλους ἐστασίαζον· καὶ τέλος ἐκπλεύσαντες εἰς Ὠρωπὸν ἀπαράσκευοι πρὸς τοὺς Πελοποννησίους ἐναυμάχησαν. κακῶς δὲ καὶ τὴν μάχην ἐνστησάμενοι, καὶ τὸν κίνδυνον ἀγεννῶς ὑπομείναντες, ἀπέβαλον ναῦς δύο πρὸς ταῖς εἴκοσι, τὰς δὲ λοιπὰς μόγις διέσωσαν εἰς Ἐρετρίαν. τούτων δὲ πραχθέντων, οἱ σύμμαχοι τῶν Ἀθηναίων, διά τε τὰς περὶ Σικελίαν ἀτυχίας καὶ διὰ τὰς τῶν ἡγεμόνων καχεξίας, καθίσταντο πρὸς Λακεδαιμονίους. συμμάχου δ' ὄντος τοῖς Λακεδαιμονίοις Δαρείου τοῦ Περσῶν βασιλέως, Φαρνάβαζος ὁ τῶν ἐπὶ θαλάττης τόπων ἔχων τὴν στρατηγίαν, ἐχορήγει χρήματα τοῖς Λακεδαιμονίοις. μετεπέμψατο δὲ καὶ τὰς

praefertim Dario, Perfarum R. focietate iunčto cum Lacedaemoniis.

1 Articulus omittitur in Clar.

gefferunt. Praetores enim duos inter fe difcordes cum XL navium claffe in hoftem ire iubent. Etfi autem, rebus Athenienfium tantopere affli&is, tempus concordiam vel maxime flagitabat, illi tamen inimicitias & diffenfiones mutuas alere perrexerunt. Ad poftremum claffe ad Oropum deflexa, imparati cum Peloponnefiis conflixere: ubi, quod & perperam inftituiffent pugnam, & ignaviter difcrimina eius fuftinerent, naves XXII amiferunt, & reliquas vix falvas Eretriam reduxere. His ita geftis, focii Athenienfium propter cladem in Sicilia acceptam, pravamque duĉtorum adminiftrationem, cum Lacedaemoniis fefe coniunxere. Et quia rex Perfarum Darius focietatem cum Lacedaemoniis colebat, Pharnabazus, qui maritima fub imperio habebat, pecuniis tum Lacedaemonios fublevabat. CCC etiam e Phoenice naves

ἐκ Φοινίκης [1] τριήρεις τριακοσίας, διαλογιζόμενος ἀποστεῖλαι τοῖς Λακεδαιμονίοις ἐπὶ τὴν Βοιωτίαν.

λζʹ. Τοιούτων δ' ἐλαττωμάτων τοῖς Ἀθηναίοις εἰς ἕνα καιρὸν προσδραμόντων, ἅπαντες καταλελύσθαι τὸν πόλεμον διειλήφεισαν. οὐκέτι γὰρ τοὺς Ἀθηναίους οὐδὲ τὸν ἐλάχιστον χρόνον οὐδεὶς ἤλπιζε [2] τοιαῦτα ὑποστήσεσθαι· οὐ μὴν τὰ πράγματά γε τῇ τῶν πολλῶν ὑπολήψει τέλος ἔσχεν ἀκόλουθον, ἀλλ' εἰς τοὐναντίον πάντα, διὰ τὰς τῶν διαπολεμούντων ὑπεροχὰς, μεταπεσεῖν συνέβη, διὰ τοιαύτας αἰτίας· Ἀλκιβιάδης φυγὰς ὢν ἐξ Ἀθηνῶν, συνεπολέμησε χρόνον τινὰ τοῖς Λακεδαιμονίοις, καὶ μεγάλας ἐν τῷ πολέμῳ χρείας παρέσχετο. ἦν γὰρ καὶ λόγῳ δυνατώτατος, καὶ τόλμῃ πολὺ προέχων τῶν πολιτῶν, ἐν δ' εὐγενείᾳ καὶ πλούτῳ πρῶτος Ἀθηναίων. οὗτος οὖν ἐπιθυμῶν τῆς εἰς τὴν πατρίδα τυχεῖν καθόδου, πάντα ἐμηχανᾶτο πρὸς τὸ τοῖς Ἀθηναίοις πρᾶξαί τι τῶν χρησίμων, καὶ μάλιστα ἐν

Tum Alcibiades, prohibito Pharnabazo, ne Lacedaemoniis iusto ampliora auxilia conciliaret,

1 Ναῦς Reg. 1. 2 Notatur asterisco a Steph. exsulatque ex Vat.

accersivit, quas ad Boeotiam illis mittere constituerat.

XXXVII. Cum tot igitur tantisque detrimentis, uno tempore concurrentibus, Athenienses obruerentur, omnes iam solutum esse bellum opinabantur. Nemo enim, vel ad minimum tempus resistere posse Athenienses, sperabat. Verum res longe alium, quam vulgus animo praeceperat, exitum sortitur, & in contrarium (tanta belligerantium erat praestantia) recidit. Idque hoc modo evenit. Alcibiades, exsulans Athenis, Lacedaemoniis per aliquod tempus in bellis operam commodans, magnum sui usum praebuerat. Nam eloquentia pollens, & audacia prae civibus aliis excellens, & nobilitatis splendore opumque vi facile primus erat. Is ergo, in patriam revocari cupiens, omnia molitur, ut insigne quidpiam in commodum populi Atheniensis peragat, illa maxime

οἷς καιροῖς ἐδόκουν τοῖς ὅλοις ἐλαττοῦσθαι, ἔχων οὖν Cιλίαν πρὸς Φαρνάβαζον τὸν Δαρείου σατράπην, καὶ θεωρῶν αὐτὸν μέλλοντα τριακοσίας ναῦς ἀποστέλλειν τοῖς Λακεδαιμονίοις εἰς συμμαχίαν, ἔπεισεν ἀποστῆναι τῆς πράξεως· ἐδίδασκε γὰρ ὡς οὐ συμφέρει τῷ βασιλεῖ, τοὺς Λακεδαιμονίους ποιεῖν ἄγαν ἰσχυρούς· οὐ γὰρ συνοίσειν Πέρσαις. κρεῖττον οὖν εἶναι περιορᾷν τοὺς διαπολεμοῦντας ἴσους ὄντας, ὅπως πρὸς ἀλλήλους ὡς πλεῖστον χρόνον διαφέρωνται. ὅθεν ὁ Φαρνάβαζος, διαλαβὼν εὖ λέγειν τὸν Ἀλκιβιάδην, πάλιν τὸν στόλον ἀπέστειλεν εἰς Φοινίκην. τότε μὲν οὖν τηλικαύτην τῶν Λακεδαιμονίων συμμαχίαν [1] παρείλετο. μετὰ δέ τινα χρόνον τυχὼν τῆς καθόδου, καὶ δυνάμεως ἡγησάμενος, πολλαῖς μὲν μάχαις ἐνίκησε [2] τοὺς Λακεδαιμονίους, καὶ τελέως τὰ τῶν Ἀθηναίων πράγματα πεσόντα πάλιν ἔγειρεν. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς

patriae gratiam & redeundi veniam consequitur.

1 Παρείλατο Clar. Reg. 2. quem probo. Articulus in ceteris deest.
2 Τοὺς Λακεδαιμονίους Reg. 1. deest.

tempestate, qua de summa rerum decidisse videretur. Cum igitur Pharnabazo, Darii Satrapae, amicitia iunctus esset, videns, quod CCC iam triremes Lacedaemoniis subsidio missurus esset, ab incepto hominem revocat. Regi enim non expedire, si Lacedaemoniis opes nimium augeat & confirmet, nec ex re Persarum illud fore, docet. Multoque satius esse, si duo inter se populi armis commissi aequis viribus quam diutissime conflictentur. Pharnabazus ergo, Alcibiadem commode locutum arbitratus, classem retro in Phoeniciam dimisit. Et tunc quidem Alcibiades tantam subsidii vim Lacedaemoniis intervertit. Aliquanto vero post, impetrato domum reditu, dux copiarum factus multis Lacedaemonios proeliis vicit, & res patriae iam collapsas, in pristinum restituit. Verum de his suo tempore accuratius differe-

οἰκείοις χρόνοις ἀκριβέστερον ἐροῦμεν, ἵνα μὴ παρὰ φύσιν προλαμβάνωμεν τῇ γραφῇ τοὺς καιρούς.

Olymp. XCII, 2.

λη΄. Τοῦ γὰρ ἐνιαυσιαίου χρόνου διεληλυθότος, Ἀθήνησι μὴν ἦρχε Θεόπομπος, Ῥωμαῖοι δὲ ἀντὶ τῶν ὑπάτων τέσσαρας χιλιάρχους κατέστησαν, Τιβέριον Ποστούμιον καὶ Γάϊον Κορνήλιον, πρὸς δὲ τούτοις, Γάϊον Οὐαλέριον καὶ [1] Καίσωνα Φάβιον. περὶ δὲ τούτους τοὺς χρόνους Ἀθηναῖοι [2] τὴν ἐκ τῶν τετρακοσίων ὀλιγαρχίαν κατέλυσαν, καὶ τὸ σύστημα τῆς πολιτείας ἐκ τῶν πολιτῶν συνεστήσαντο. τούτων δὲ πάντων ἦν εἰσηγητὴς Θηραμένης, ἀνὴρ καὶ τῷ βίῳ κόσμιος, [3] καὶ τῇ φρονήσει δοκῶν διαφέρειν τῶν ἄλλων. καὶ γὰρ τὸν Ἀλκιβιάδην οὗτος μόνος συνεβούλευσε κατάγειν, δι' ὃν πάλιν ἑαυτοὺς ἀνέλαβον· καὶ πολλῶν ἄλλων εἰσηγητὴς γενόμενος ἐπ' ἀγαθῷ τῆς πατρίδος, οὐ μετρίας ἀποδοχῆς ἐτύγχανεν. ἀλλὰ ταῦτα μὲν μικρὸν ὕστε-

Atheniensium aristocratia, auctore Theramene, rursus in democratiam transformata.

1 Κέσωνα Cl. Καίσωνα Vat. & in Pighii Fastis ad a. CCCXXXVIII, quod rectum. Κένσωνα edd.

2 Τὴν τῶν Venet. sine praepositione, non male.

3 Καὶ φρονήσει idem.

mus, ne praeter naturae ordinem iustum scriptionis tempus anticipemus.

XXXVIII. Anno hoc elapso, Athenis praefecturam gerebat Theopompus, & Romani consulum loco iterum IV Tribunos militares creabant, Tiberium Postumium, C. Cornelium, C. Valerium, & Caesonem Fabium. Hoc tempore Athenienses, abrogato CCCC imperio, statum reipublicae ad civium auctoritatem revocarunt. Quorum omnium auctor & suasor fuit Theramenes, vir & vita modestus, & prudentia aliis praestantior habitus. Etenim solus hic Alcibiadis revocandi consilium proposuit, cuius ductu vires utcunque receperunt: multisque aliis ad commodum patriae institutis non exiguam sibi auctoritatem & gratiam comparavit. Verum haec non ita

ρον [1] ἐγενήθη. εἰς δὲ τὸν πόλεμον Ἀθηναῖοι μὲν στρατηγοὺς κατέστησαν Θράσυλλον καὶ Θρασύβουλον, οἱ τὸν στόλον εἰς Σάμον ἀθροίσαντες, ἐγύμναζον τοὺς στρατιώτας εἰς ναυμαχίαν, καθ' ἡμέραν ἀναπείρας ποιούμενοι. Μίνδαρος δὲ [2] ὁ τῶν Λακεδαιμονίων ναύαρχος χρόνον μέν τινα περὶ τὴν Μίλητον διέτριβε, προσδοκῶν τὴν παρὰ Φαρναβάζου βοήθειαν· (τριακοσίας γὰρ τριήρεις ἀκούων ἐκ Φοινίκης καταπεπλευκέναι, μετέωρος ἦν ταῖς ἐλπίσι, νομίζων τηλικούτῳ στόλῳ καταλύσειν τὴν Ἀθηναίων ἡγεμονίαν·) μετ' ὀλίγον δὲ πυθόμενός [3] τινων, ὅτι πεισθεὶς Ἀλκιβιάδῃ, πάλιν ἀπέστειλε τὸν στόλον εἰς Φοινίκην, τὰς μὲν παρὰ Φαρναβάζου ἐλπίδας ἀπέγνω, αὐτὸς δὲ καταρτίσας τάς τε ἐκ Πελοποννήσου ναῦς καὶ τὰς παρὰ τῶν ἔξωθεν συμμάχων, Δωριέα μὲν μετὰ τριῶν καὶ δέκα νεῶν ἀπέστειλεν εἰς Ῥόδον, πυνθανόμενος ἐπὶ νεωτερισμῷ τινας συνίστασθαι τῶν Ῥοδίων· (προσφάτως γὰρ τοῖς Λακεδαιμο-

Thrasyllus & Thrasybulus copias Athen. apud Samum congregant & instruunt.

Laced. classi praeest Mindarus, falsa spe Pharnabazi auxilia ad Miletum exspectans.

Dorieus a Laced. Rhodum missus

1 Ἐγένετο Venet.
2 Articulus non est in Coisl.
3 Negligitur a Reg. 1.

multo post acciderunt. Tum vero ad bellum prosequendum duo ab Atheniensibus duces creantur, Thrasyllus & Thrasybulus, qui coacta apud Samum classe assiduis militem tirociniis ad navales pugnas exercebant. Mindarus interea, Lacedaemoniorum navarchus, aliquantum temporis ad Miletum consumens, auxilia Pharnabazi exspectabat. Cum enim CCC ex Phoenicia triremes adventare audisset, in certam prope spem elatus, Atheniensibus imperium tanta se classe ademturum, existimabat. Sed brevi post audiens, suasu Alcibiadis classem in Phoeniciam esse remissam, desperatis Pharnabazi subsidiis, naves, quas ex Peloponneso, aliisque extrinsecus sociis habebat, adornat, & Dorieum cum XIII navibus, quas recens nonnulli ex Italia Graeci in subsidium mise-

ad comprimendam seditionem.

νίοις τινὲς τῶν ἀπὸ τῆς Ἰταλίας Ἑλλήνων ἀπεστάλκεισαν εἰς συμμαχίαν τὰς προειρημένας ναῦς) αὐτὸς δὲ τὰς ἄλλας πάσας ἀναλαβὼν, οὔσας ὀγδοήκοντα καὶ τρεῖς, ἀπῆρεν εἰς Ἑλλήσποντον· διὰ τὸ πυνθάνεσθαι τὸν [1] τῶν Ἀθηναίων στόλον ἐν Σάμῳ διατρίβειν. καθ' ὃν δὴ χρόνον οἱ τῶν Ἀθηναίων στρατηγοὶ θεωροῦντες παραπλέοντας, ἀνήχθησαν ἐπ' αὐτοὺς μετὰ νεῶν ἑξήκοντα. τῶν δὲ Λακεδαιμονίων κατενεχθέντων εἰς Χῖον, ἔδοξε τοῖς τῶν Ἀθηναίων στρατηγοῖς [2] προσπλεῦσαι τῇ Λέσβῳ, κἀκεῖ παρὰ τῶν συμμάχων ἀθροῖσαι τριήρεις, ὅπως μὴ συμβαίνῃ τοὺς πολεμίους ὑπερέχειν τῷ πλήθει τῶν νεῶν.

Classes ipsae mutuo sein- sequuntur.

λθ'. Οὗτοι μὲν οὖν περὶ ταῦτα διέτριβον. Μίνδαρος δ' ὁ τῶν Λακεδαιμονίων ναύαρχος νυκτὸς μετὰ τοῦ στόλου παντὸς ἐκπλεύσας, εἰς Ἑλλήσποντον ἐκομίζετο κατὰ σπουδὴν, καὶ δευτεραῖος εἰς Σίγιον κατέπλευσεν. οἱ δ' Ἀθηναῖοι πυθόμενοι τὸν παράπλουν, οὐκ ἀνέμει-

1 Abest Clar. in quo mox post Ἀθην. vocem desunt omnia usque ad στρατηγοὶ, socordia amanuensis.

2 Προπλεῦσαι Reg. 1.

rant, in Rhodum mittit. Esse enim, qui ad res ibi novandas conspirassent, acceperat. Ipse cum reliquis omnibus numero LXXXIII in Hellespotum traiecit, quod Atheniensium classem in Samo commorari audierat. Quo tempore duces Athenienses, hostes praeternavigantes conspicati, cum LX navibus in eos invehuntur. Sed Lacedaemoniis ad Chium delatis, Atheniensium ducibus in Lesbum transmittere placuit, ut aliquot a sociis triremes sibi compararent, ne navium multitudine ab hostibus superarentur.

XXXIX. Dumque haec ab illis agitantur, Mindarus, Lacedaemoniorum classis Praetor, noctu cum classe universa solvens, ad Hellespontum propere contendit: posteroque die ad Sigeum defertur. Athenienses igitur, co-

ναν ἁπάσας τὰς παρὰ τῶν συμμάχων τριήρεις, τριῶν δὲ μόνον προσγενομένων αὐτοῖς ἐδίωκον τοὺς Λακεδαιμονίους. ἐπεὶ δ' ἦλθον εἰς Σίγιον, εὗρον τὸν μὲν στόλον ἐκπεπλευκότα, [1] τρεῖς δὲ μόνον ναῦς ὑπολελειμμένας, ὧν εὐθέως ἐκυρίευσαν· καὶ μετὰ ταῦτα εἰς Ἐλεοῦντα καταπλεύσαντες, τὰ περὶ τὴν ναυμαχίαν παρεσκευάζοντο. Λακεδαιμόνιοι δὲ θεωροῦντες τοὺς πολεμίους τὰ πρὸς τὴν μάχην ἑτοιμαζομένους, καὶ αὐτοὶ πένθ' ἡμέρας ἀνάπειραν ποιούμενοι, καὶ γυμνάσαντες τοὺς ἐρέτας, ἐξέταξαν τὸν στόλον εἰς ναυμαχίαν, ὄντα νεῶν δυοῖν [2] ἐλάττω τῶν ἐννενήκοντα. οὗτοι μὲν οὖν ἐκ τοῦ πρὸς τὴν Ἀσίαν μέρους ἔστησαν τὰς ναῦς, οἱ δ' Ἀθηναῖοι τὸ πρὸς τὴν Εὐρώπην ἔχοντες ἀντανήγοντο, τῷ μὲν πλήθει λειπόμενοι, ταῖς δ' ἐμπειρίαις ὑπερέχοντες. Λακεδαιμόνιοι μὲν οὖν ἐπὶ τοῦ δεξιοῦ κέρατος ἔταξαν τοὺς Συρακουσίους, ὧν Ἑρμοκράτης ἀφηγεῖτο· τὸ δ' εὐώ-

Inter Abydum & Sestum commissa pugna navali,

1 Τρεῖς δὲ ναῦς Reg. 1. Venet. Cl. Cett. τρεῖς δὲ μόνον ναῦς, quod tamen asterisco signatum a Steph.

2 Ἐλάττων Reg. 2. ἐλάττω Co. tum δυεῖν Reg. 1. Vulgo ἔλαττον.

gnito illorum discessu, non omnes sociorum triremes praestolati, sed tribus tantum aucti, Lacedaemonios insequuntur. Verum ad Sigeum profecti, classem Lacedaemoniorum inde solvisse comperiunt, tresque tantummodo naves ibi relictas invadunt & capiunt illico. Tum Eleuntem delati, ad pugnam navalem se accingunt. Lacedaemonii contra, ubi hostes ad conflictum se parare cernunt, etiam ipsi dies v in exercendis explorandisque remigibus consumunt: tum classem, quae duodenonaginta navium erat, in iustum aciei ordinem disponunt, navesque horum latus Asiaticum obtinebant; Athenienses contra ex Europaeo limite suas eduxere, numero quidem inferiores, sed rei nauticae peritia hostibus praepollentes. Lacedaemonii autem in dextro cornu Syracusanos, quorum Hermocrates dux fuit, constituerant. Sinistrum

νυμον αὐτοῖς συνεπλήρουν Πελοποννήσιοι, Μινδάρου τὴν ἡγεμονίαν ἔχοντος. τῶν δ' Ἀθηναίων ἐπὶ τὸ μὲν δεξιὸν ἐτάχθη Θράσυλλος, ἐπὶ δὲ τὸ εὐώνυμον Θρασύβουλος. καὶ τὸ μὲν πρῶτον ἔσπευδον ἀμφότεροι, φιλοτιμούμενοι περὶ τοῦ τόπου, ὅπως μὴ τὸν ῥοῦν ἔχωσιν ἐναντίον. διὸ καὶ πολὺν χρόνον ἀλλήλους περιέπλεον, διακλείοντες τὰ στενὰ, καὶ περὶ τῆς στάσεως τοπομαχοῦντες. μεταξὺ γὰρ Ἀβύδου καὶ Σηστοῦ τῆς ναυμαχίας γινομένης, συνέβαινέ τὸν ῥοῦν [1] οὐ μετρίως ἐμποδίζειν ἐν στενοῖς τόποις. οὐ μὴν ἀλλ' οἱ τῶν Ἀθηναίων κυβερνῆται πολὺ ταῖς ἐμπειρίαις προέχοντες, πολλὰ πρὸς τὴν νίκην [2] συνεβάλοντο.

μ'. Τῶν γὰρ Πελοποννησίων ὑπερεχόντων τῷ πλήθει τῶν νεῶν καὶ ταῖς τῶν ἐπιβατῶν ἀρεταῖς, ἡ τέχνη τῶν κυβερνητῶν ἄχρηστον τὴν ὑπεροχὴν τῶν [3] ἐναν-

1 Deest Coisl. qui mox ἐν στεῤῥοῖς τόποις cum Reg. 1.

2 Συνεβάλλοντο Reg. 1.

3 Πολεμίων Venet.

Peloponnesii cum imperatore Mindaro tenebant. Atheniensibus vero in dextro collocatus erat Thrasyllus, laevum Thrasybulus regebat. Initio autem pars utraque, de loci commoditate disceptans, id certatim cavere properabat, ne fluxum maris adversum haberet. Idcirco ad tempus non exiguum inter se vicissim obnavigantes, angustiis interclusis de statione opportuna dimicabant. Nam quia inter Abydum & Sestum pugna navalis instituta erat, maris affluxus non mediocre in faucibus illis impedimentum afferebat. Sed tamen Atticarum navium rectores, quod peritia excellerent, multum ad victoriam momenti adiecere.

XL. Quamquam enim Peloponnesii navium multitudine & epibatarum virtute superiores essent, gubernatorum tamen sollertia inutilem hanc illis praerogativam

τίων ἐποίει. ὁπότε γὰρ οἱ Πελοποννήσιοι κατὰ σπουδὴν ἀθρόαις ταῖς ναυσὶν εἰς ἐμβολὴν [1] ἐπιφέροιντο, τὰς ἑαυτῶν οὕτω φιλοτέχνως καθίσταναν, ὥστε τοῦ μὲν ἄλλου μέρους αὐτὰς μὴ δύνασθαι θίγειν, τοῖς δὲ στόμασι τῶν ἐμβόλων μόνοις ἀναγκάζεσθαι συμβάλλειν. διόπερ ὁ Μίνδαρος ὁρῶν ἄπρακτον οὖσαν τὴν ἐκ τῶν ἐμβολῶν βίαν, κατ᾽ ὀλίγας καὶ κατὰ μίαν ἐκέλευσε συμπλέκεσθαι. οὐ μὴν οὐδ᾽ ἐνταῦθα τὴν τῶν κυβερνητῶν τέχνην ἄπρακτον εἶναι συνέβαινεν, ἀλλ᾽ εὐφυῶς [2] ἐκκλίνοντες τὰς τῶν νεῶν ἐπιφερομένας ἐμβολὰς πλαγίαις ἐνέσειον, καὶ πολλὰς κατετίτρωσκον. φιλοτιμίας δ᾽ ἐμπεσούσης εἰς ἀμφοτέρους, οὐ μόνον ταῖς ἐμβολαῖς διεκινδύνευον, ἀλλὰ συμπλεκόμενοι τοῖς ἐπιβάταις διηγωνίζοντο. πολλὰ δ᾽ ὑπὸ τῆς τοῦ ῥοῦ βίας διακωλυόμενοι πράττειν, ἐφ᾽ ἱκανὸν χρόνον διεκινδύνευον, οὐδετέρων δυναμένων τυχεῖν τῆς νίκης. ἰσοῤῥόπου δὲ τῆς

1 Ἐπεφέροντο Reg. 2. Cl. 2 Ἐγκλίνοντες ora Stephan. ex Reg. 2.

effecit. Nam quando Peloponnefii concitato navium impetu ad feriendum incurfabant, illi fingulari naves arte ita conftitutas habebant, ut nulla eas parte alia contingere poffent, fed in praetenfa dumtaxat roftra impingere cogerentur. Idcirco Mindarus, animadvertens, fruftra incurfationem roftrorum tentari, paucas fimul & fingulas etiam pro fe cum adverfariis committi iubet. Verum nec in hoc cafu inefficax erat gubernatorum induftria, fed facili declinatione navium follerter evitatis roftrorum inflictibus, in obliqua triremium latera incurfantes, multas vulnerabant. Et mox fervore contentionis utrinque accenfi, non roftris tantummodo fe mutuo impetere, fed ipfi inter fe claffiarii conferti decertare. Impediti tamen vi fluctuum, & diu fruftra pugnantes, neutri victoriae compotes fieri poterant. Ancipiti ergo

μάχης οὔσης, ἐπεφάνησαν ὑπέρ τινος ἄκρας ναῦς εἰκοσιπέντε, παρὰ τῶν συμμάχων ἀπεσταλμέναι τοῖς Ἀθηναίοις. φοβηθέντες δὲ οἱ Πελοποννήσιοι, πρὸς τὴν Ἄβυδον ἔφυγον, ἐξαπτομένων τῶν Ἀθηναίων, καὶ φιλοτιμότερον διωξάντων. τῆς δὲ ναυμαχίας [1] τοιοῦτον τέλος λαβούσης, Ἀθηναῖοι ναῦς ἔλαβον ὀκτὼ μὲν Χίων, πέντε δὲ Κορινθίων, Ἀμβρακιωτῶν δὲ δύο· Συρακουσίων δὲ καὶ Παλληναίων καὶ Λευκαδίων μίαν ἐξ ἑκάστων· αὐτοὶ δὲ πέντε ναῦς [2] ἀπέβαλον, ἃς πάσας βυθισθῆναι συνέβη. μετὰ δὲ ταῦθ' οἱ περὶ τὸν Θρασύβουλον ἔστησαν τρόπαιον ἐπὶ τῆς ἄκρας, οὗ τὸ τῆς Ἑκάβης ἐστὶ μνημεῖον, καὶ τοὺς ἀπαγγελοῦντας τὴν νίκην εἰς Ἀθήνας ἔπεμψαν· αὐτοὶ δὲ μετὰ παντὸς τοῦ στόλου τὸν πλοῦν ἐπὶ Κύζικον ἐποιήσαντο. αὕτη γὰρ πρὸ τῆς ναυμαχίας ἦν ἀφεστηκυῖα πρὸς Φαρνάβαζον τὸν Δαρείου [3] στρατηγὸν καὶ Κλέαρχον τὸν Λακεδαι-

classis Attica victoriam retulit.

1 Τοιοῦτο Reg. 1.
2 Ἀπώλοντο Venet.
3 Σατράπην Reg. 1. tum Λέαρχον Coislin.

proelio XXV naves ultra promontorium quoddam in conspectum se dedere, Atheniensibus a sociis transmissae. Harum adventu consternati Peloponnesii, versus Abydum refugerunt, adhaerescente Atheniensium classe, & pertinaciter insectationem urgente. Hic pugnae illius finis erat, qua naves Chiorum VIII, Corinthiorum V, Ambraciotarum II, Syracusanorum vero & Pallenaeorum Leucadiorumque singulas Athenienses ceperunt. Ex suis interim V amiserant, omnes a mari absorptas. Post haec Thrasybuli exercitus victor tropaeum erigit in promontorio, ubi Hecubae monumentum est, & victoriae nuntii Athenas mittuntur. Ipse cum tota classe Cyzicum versus tendit. Haec enim urbs, paullo ante navale hoc proelium, ad Pharnabazum, Darii praefectum, & Clearchum, ducem Lacedaemoniorum, violata fide transierat.

μονίων ἡγεμόνα. εὑρόντες δ' αὐτὴν ἀτείχιστον, ῥαδίως τῆς ἐπιβολῆς ἐκράτησαν, καὶ χρήματα πραξάμενοι τοὺς Κυζικηνοὺς, ἀπέπλευσαν εἰς Σηστόν.

μα'. Μίνδαρος δ' ὁ τῶν Λακεδαιμονίων ναύαρχος ἀπὸ τῆς ἥττης φυγὼν εἰς Ἄβυδον, τάς τε πεπονηκυίας ναῦς ἐπεσκεύασε, καὶ πρὸς τὰς ἐν Εὐβοίᾳ τριήρεις ἀπέστειλεν Ἐπικλέα τὸν Σπαρτιάτην, προστάξας ἄγειν τὴν ταχίστην. ὃς ἐπεὶ κατέπλευσεν εἰς Εὔβοιαν, ἀθροίσας τὰς ναῦς [1] οὔσας πεντήκοντα, κατὰ σπουδὴν ἀνήχθη· καὶ [2] κατὰ τὸν Ἄθω γενομένων τῶν τριήρων, ἐπεγενήθη χειμὼν τηλικοῦτος ὥστε τὰς μὲν ναῦς ἁπάσας ἀπολέσθαι, τῶν δὲ ἀνδρῶν δώδεκα μόνους διασωθῆναι. δηλοῖ δὲ τὸ περὶ τούτων ἀνάθημα, κείμενον ἐν τῷ περὶ Κορώνειαν νεῷ, καθάπερ φησὶν Ἔφορος, τὴν ἐπιγραφὴν ἔχον ταύτην·

Laced. classis fusa, insuper tempestate oppressa, ad internecionem venit.

Οἱ δ' ἀπὸ πεντήκοντα νεῶν θάνατον προφυγόντες,

1 Οὔσας ν' Coisl. Vat. 2 Πρὸς τὸν Reg. 1.

Quam cum nullis cinctam muris offendissent, non difficulter voti compotes fiunt, exactoque a Cyzicenis tributo, ad Sestum revertuntur.

XLI. Interea Mindarus, Lacedaemoniorum classis Praetor, a clade navali fuga in Abydum elapsus, naves concussas reficit, & in Euboeam, ad triremes inde adducendas, Epiclem Spartanum properare iubet. Qui celeri illuc cursu transvectus, navibus L collectis, citra moram pelago se committit, sed montem Atho praeterlegens tempestate obruitur tanta, ut navium omnium iacturam faceret, & ex omni classiariorum numero XII dumtaxat periculo superfuerint. Id quod monumenti, in templo ad Coroneam repositi, inscriptio his verbis, ut Ephorus annotat, testatur:

*E decies quinis fugere triremibus Orcum,*

Πρὸς σκοπέλοισιν Ἄθω σώματα γῇ πέλασαν,
Δώδεκα. τοὺς δ᾽ ἄλλους ὄλεσεν μέγα λαῖτμα θαλάσσης,
Νῆάς τε στυγεροῖς πνεύμασι χρησαμένας.

Hoc tempore Alcibiades, Theramene adhortante, in patriam receptus,

περὶ δὲ τὸν αὐτὸν καιρὸν Ἀλκιβιάδης ἔχων τρισκαίδεκα τριήρεις κατέπλευσε πρὸς τοὺς ἐν Σάμῳ διατρίβοντας, οἱ πάλαι προακηκοότες ἦσαν, ὅτι πεπεικὼς εἴη τὸν Φαρνάβαζον μηκέτι ταῖς τριακοσίαις ναυσὶ βοηθεῖν τοῖς Λακεδαιμονίοις. φιλοφρόνως δ᾽ αὐτὸν ἀποδεξαμένων τῶν ἐν τῇ Σάμῳ, διελέγετο πρὸς αὐτοὺς περὶ τῆς καθόδου, πολλὰ κατεπαγγελλόμενος χρήσιμος ἔσεσθαι τῇ πατρίδι· ὁμοίως καὶ τὰ καθ᾽ ἑαυτὸν ἀπολογησάμενος, καὶ πολλὰ τὴν ἑαυτοῦ δακρύσας τύχην, ὅτι τὴν ἰδίαν ἀρετὴν ὑπὸ τῶν ἐχθρῶν ἠνάγκασται κατὰ τῆς πατρίδος ἐνδείξασθαι.

μβ΄. Τῶν δὲ στρατιωτῶν ἀσμένως τοὺς λόγους προσδεξαμένων, καὶ περὶ τούτων διαπεμψαμένων εἰς Ἀθή-

*Eiecta ad ſcopulos corpora montis Atho,*
*Ter quater. At reliquos fractis cum navibus hauſit*
*Horrificis graſſans flatibus ira maris.*

Per idem tempus Alcibiades cum triremibus XIII ad eos, qui in Samo commorantes ſubſiſtebant, traiecit. Hi iam pridem ex fama cognoverant, Pharnabazum, monitu Alcibiadis inductum, CCC illis triremibus auxilium Lacedaemoniis deinceps ferre nolle. Benigne igitur ab illis ſuſceptus, de reditu ſuo diſſeruit, multiſque ſe promiſſis ad utilem patriae operam navandam obſtrinxit. Crimina etiam ſibi ingeſta refellens, fortunae ſuae inclementiam deploravit, quod inimicorum fraude virtute ſua contra patriam abuti coactus eſſet.

XLII. Haec oratio cum militum vulgo perquam accepta eſſet, & per nuntios Athenas referretur, viſum

νας, ἔδοξε τῷ δήμῳ τὸν ἄνδρα τῶν ἐγκλημάτων ἀπολῦσαι, καὶ μεταδοῦναι τῆς στρατηγίας. Θεωροῦντες γὰρ αὐτοῦ τὸ πρακτικὸν τῆς τόλμης, καὶ τὴν παρὰ τοῖς Ἕλλησι δόξαν, ὑπελάμβανον (ὅπερ ἦν εἰκὸς) οὐ μικρὰν ῥοπὴν τοῖς σφετέροις ἔσεσθαι πράγμασι, τούτου προσγενομένου. καὶ γὰρ ὁ τῆς πολιτείας [1] ἀφηγούμενος τότε Θηραμένης, ἀνὴρ εἰ καί τις ἄλλος δόξας εἶναι συνετὸς, τῷ δήμῳ συνεβούλευσε κατάγειν τὸν Ἀλκιβιάδην. τούτων δ' ἀπαγγελθέντων εἰς Σάμον, Ἀλκιβιάδης πρὸς αἷς [2] εἶχεν ἰδίαις ναυσὶ τρισκαίδεκα, ἐννέα προσέλαβε, καὶ μετὰ τούτων ἐκπλεύσας εἰς Ἁλικαρνασσὸν, παρὰ τῆς πόλεως [3] εἰσεπράξατο χρήματα. μετὰ δὲ ταῦτα τὴν Μεροπίδα πορθήσας, μετὰ πολλῆς λείας ἀνέπλευσεν εἰς Σάμον. πολλῶν δὲ συναχθέντων λαφύρων, τοῖς τ' ἐν Σάμῳ στρατιώταις καὶ

locum inter imperatores occupavit.

1 Ἀφηγούμενος τότε Ven. Coisl. Clar. Vatic. Reg. 2. Edd. deerat τότε.
2 Εἶχε ναυσὶ Reg. 1.
3 Ἐπράξατο Reg. 2. Clarom. ut cap. 40; fed inter fe commutantur. Vid. Thucyd. VIII, 107, 108. Mox Μεροδίπα omnes.

tandem populo fuit, virum criminibus exfolutum in militaris imperii partem admitti. Nam confiderata eius in rebus ftrenue gerendis audacia, & apud Graecos paffim auctoritate, non parum rebus fuis momenti acceffurum fperabant, fi eum fibi denuo conciliarent. Reipublicae enim tum princeps Theramenes (qui vir, fi quifquam alius, fummam prudentiae exiftimationem habebat) ad reducendum Alcibiadem populo hortator fuit. His renuntiatis in Samum, ad naves, quas XIII in poteftate habebat, IX infuper adiungens, ad Halicarnaffum tranfmittit, ibique non exiguam pecuniae vim extorquet. Inde Meropidem populatus, magna cum praeda in Samum redit. Et fpolia illic in unum contracta militibus tam in Samo difpofitis, quam fuis, ut communem ex-

τοῖς μεθ' ἑαυτοῦ διελόμενος τὰς ὠφελείας, ταχὺ τοὺς εὖ παθόντας εὔνους ἑαυτῷ κατεσκεύασε. περὶ δὲ τὸν αὐτὸν χρόνον [1] Ἀντάνδριοι φρουρὰν ἔχοντες, μετεπέμψαντο παρὰ Λακεδαιμονίων στρατιώτας, μεθ' ὧν ἐκβαλόντες τὴν φυλακὴν, ἐλευθέραν ᾤκουν τὴν πατρίδα. οἱ γὰρ Λακεδαιμόνιοι περὶ τῆς εἰς Φοινίκην ἀποστολῆς τῶν τριακοσίων νεῶν ἐγκαλοῦντες τῷ Φαρναβάζῳ, τοῖς Ἄντανδρον οἰκοῦσι συνεμάχησαν. τῶν δὲ συγγραφέων Θουκυδίδης μὲν τὴν ἱστορίαν κατέστρεψε, περιλαβὼν χρόνον [2] ἐτῶν εἴκοσι καὶ δυοῖν ἐν βίβλοις ὀκτὼ, τινὲς δὲ διαιροῦσιν εἰς ἐννέα. Ξενοφῶν δὲ καὶ Θεόπομπος ἀφ' ὧν ἀπέλιπε Θουκυδίδης τὴν ἀρχὴν πεποίηνται· καὶ Ξενοφῶν μὲν περιέλαβε χρόνον ἐτῶν τεσσαράκοντα καὶ ὀκτὼ, Θεόπομπος δὲ τὰς Ἑλληνικὰς πράξεις διελθὼν ἐπ' ἔτη ἑπτακαίδεκα, καταλήγει τὴν ἱστορίαν εἰς τὴν περὶ Κνίδον ναυμαχίαν, ἐν βίβλοις [3] δυοκαίδεκα. τὰ μὲν οὖν

Antandrii libertatem vindicant.

Adiecta notitia hiſtoricorum hanc annorum ſeriem perſequentium.

1 Αὐτάνδριοι in Steph. edito, errore librariorum.

2 Ἐτῶν κδ' ora St. Ven. Reg. 2.

3 Δώδεκα Reg. 1.

peditionis fructum diſtribuit, eoque merito cunctos ſibi benevolos & addictos fecit. Sub idem tempus Antandrii, auxiliari a Lacedaemoniis manu accerſita, praeſidium, quo tenebantur, expulerunt, iamque liberam ſuo iure patriam adminiſtrabant. Nam Spartani, de remiſſis in Phoenicen navibus trecentis Pharnabazum criminantes, in ſocietatis fidem Antandrios receperant. Hic Thucydides hiſtoriam ſuam abrumpit, duorum & XX annorum res libris VIII, quos nonnullis in novem dividere placet, complexus. Xenophon autem & Theopompus, ubi deſiit Thucydides, inde ſcribendi exordium ſumunt. Xenophon equidem XLVIII annorum tempus includit. At Theopompus ad annos XVII res Graecorum perſequitur uſque ad navale certamen ad Cnidum, ubi deſinit. Atque res Grae-

κατὰ τὴν Ἑλλάδα καὶ τὴν Ἀσίαν ἐν τούτοις ἦν. Ῥωμαῖοι δὲ πρὸς Αἴκους διαπολεμοῦντες ἐνέβαλον αὐτῶν εἰς τὴν χώραν μετὰ πολλῆς δυνάμεως. [1] περιστρατοπεδεύσαντες δὲ πόλιν Βώλας ὀνομαζομένην, ἐξεπολιόρκησαν.

Romani in Aequos bellum gerunt.

μγ΄. Τῶν δὲ κατὰ τὸν ἐνιαυτὸν τοῦτον πράξεων τέλος ἐχουσῶν, Ἀθήνησι μὲν ἦρχε [2] Γλαύκιππος, ἐν δὲ τῇ Ῥώμῃ κατεστάθησαν ὕπατοι Μάρκος Κορνήλιος καὶ Λεύκιος Φούριος. περὶ δὲ τούτους τοὺς χρόνους [3] Ἐγεσταῖοι κατὰ τὴν Σικελίαν σύμμαχοι γεγενημένοι τοῖς Ἀθηναίοις κατὰ Συρακουσίων, [4] καταλυθέντος τοῦ πολέμου περιδεεῖς καθειστήκεισαν. ἤλπιζον γὰρ (ὅπερ ἦν εἰκὸς) τιμωρίαν δώσειν τοῖς Σικελιώταις, [5] ὑπὲρ ὧν εἰς αὐτοὺς ἐξήμαρτον. τῶν δὲ Σελινουντίων περὶ τῆς ἀμφισβητησίμου χώρας πολεμούντων [6] αὐτοὺς, ἑκουσίως ἐξεχώρουν, εὐλαβούμενοι μὴ διὰ ταύτην τὴν πρόφασιν

Olymp. XCII, 3.

Egestani in Sicilia de agro cum Selinuntiis ambigentes,

1 Στρατοπεδεύσαντες δὲ περὶ Co. tum Βώλατον. Edd. Βόλασσον loco Βόλας, syllaba ex sequenti voce adscita.

2 Λαύκιππος Coisl.

3 Ἐγεστ. Coisl. Αἰγεστ. edd.

4 Καταλυθ. τοῦ πολέμου Clar. Reg. 2. Cett. καταλυθ. δὲ τοῦ.

5 Περὶ Clar. & Reg. 2.

6 Αὐτοῖς Reg. 1.

ciae Asiaeque tum in hoc erant statu. Romani interim, cum Aequis bellum gerentes, in agrum ipsorum magnis cum copiis expeditionem faciunt, & Bolas, urbem ipsorum obsessam expugnant.

XLIII. Rebus superioris anni ita finitis, iam Athenis munus Archontis gerebat Glaucippus, & Romae denuo creati sunt Consules M. Cornelius & L. Furius. Per hoc tempus Egestani, quod societatem cum Atheniensibus contra Syracusanos iunxissent, finito bello in magno erant metu, ne (quod facile coniici poterat) commissorum in Siculos poenas luerent. Quare cum Selinuntii de territorio quodam ambiguo bellum ipsis facerent, ultro cesserunt, veriti, ne hanc nacti occasionem Syracusani,

οἱ Συρακούσιοι συνεπιλάβωνται τοῦ πολέμου τοῖς Σελινουντίοις, [1] καὶ κινδυνεύσωσιν ἄρδην ἀπολέσαι τὴν πατρίδα. ἐπεὶ δ' οἱ Σελινούντιοι, χωρὶς τῆς ἀμφισβητησίμου, πολλὴν τῆς παρακειμένης ἀπετέμοντο, τηνικαῦθ' οἱ τὴν [2] Ἔγεσταν οἰκοῦντες, πρέσβεις ἀπέστειλαν [3] εἰς Καρχηδόνα, δεόμενοι βοηθῆσαι, καὶ τὴν πόλιν αὐτοῖς ἐγχειρίζοντες. καταπλευσάντων δὲ τῶν πεμφθέντων, καὶ τῇ γερουσίᾳ τὰς παρὰ τοῦ δήμου δεδομένας ἐντολὰς εἰπόντων, οὐ μετρίως διηπόρησαν οἱ Καρχηδόνιοι. ἅμα μὲν γὰρ ἐπεθύμουν παραλαβεῖν τὴν πόλιν εὔκαιρον, ἅμα δ' ἐφοβοῦντο τοὺς Συρακουσίους, ἑωρακότες προσφάτως καταπεπολεμημένας τὰς τῶν Ἀθηναίων δυνάμεις. οὐ μὴν ἀλλὰ καὶ τοῦ παρ' αὐτοῖς πρωτεύοντος παραλαβεῖν τὴν πόλιν, τοῖς μὲν πρεσβευταῖς ἀπεκρίθησαν βοηθήσειν, εἰς δὲ τὴν τούτων διοίκησιν, ἂν ᾖ χρεία πολεμεῖν, κατέστησαν στρατηγὸν τὸν

Carthaginienses in auxilium vocant.

1 Καὶ κινδυνεύσουσιν Clar. Coislin. plerumque semper.
2 Αἴγεσταν edd. Sed Ἔγεσταν
3 Εἰς τὴν Καρχ. solus Reg. 1.

arma cum Selinuntiis iungerent, & patriae prorsus amittendae periculum eis crearent. Ubi vero Selinuntii praeter controversam agrorum partem magnum quoque finitimae regionis tractum auferebant, Egestani, missis Carthaginem legatis, auxilio sublevari se petunt, urbemque fidei ipsorum commendant. Cum ergo transvecti illuc legati civitatis suae postulata Senatui exponerent, non mediocris Carthaginiensibus dubitatio incessit. Hinc enim urbem tam opportunam occupandi amor eos stimulat: illinc Syracusanorum metus retrahit, a quibus nuper admodum validissimas Atheniensium copias debellatas cernebant. Sed summo apud eos magistratu urbem illam adsciscendam suadente, responsum legatis est, auxilia suppeditatum iri. Ad eius rei administrationem, si bello opus foret, Praetorem deligunt Hannibalem, qui summum

[1] Ἀννίβαν, κατὰ νόμους τότε βασιλεύοντα. οὗτος δὲ ἦν υἱωνὸς μὲν τοῦ πρὸς Γέλωνα πολεμήσαντος Ἀμίλκου, καὶ πρὸς Ἱμέρᾳ τελευτήσαντος· υἱὸς δὲ Γέσκωνος, ὃς διὰ τὴν τοῦ πατρὸς ἧτταν ἐφυγαδεύθη, καὶ κατεβίωσεν ἐν τῇ Σελινοῦντι. ὁ δ' οὖν Ἀννίβας, ὢν μὲν καὶ φύσει μισέλλην, ὅμως δὲ τὰς τῶν προγόνων ἀτιμίας διορθώσασθαι βουλόμενος, ἔσπευδε δι' ἑαυτοῦ τι κατασκευάσαι χρήσιμον τῇ πατρίδι. θεωρῶν οὖν τοὺς Σελινουντίους οὐκ ἀρκουμένους τῇ παραχωρήσει τῆς ἀμφισβητησίμου χώρας, πρέσβεις ἀπέστειλε μετὰ τῶν [2] Ἐγεσταίων πρὸς Συρακουσίους, ἐπιτρέπων αὐτοῖς τὴν κρίσιν [3] τούτων· τῷ μὲν λόγῳ προσποιούμενος δικαιοπραγεῖν, τῇ δ' ἀληθείᾳ νομίζων, ἐκ τοῦ μὴ βούλεσθαι τοὺς Σελινουντίους διακριθῆναι, μὴ συμμαχήσειν αὐτοῖς τοὺς Συρακουσίους. ἀποστειλάντων δὲ καὶ Σελινουντίων πρέσβεις, διακριθῆναι μὲν μὴ βουλομέ-

1 Ἀνίβαν Clar.
2 Αἰγεσταίων edd.
3 Τούτων Clar. Reg. 2. sed distinctione mutata. Τοῦτο vulgo.

tunc iuxta leges magistratum gerebat. Nepos hic erat Amilcaris, qui cum Gelone bello disceptans ad Himeram ceciderat, filiusque Gesconis, qui ob patris cladem in exsilium actus Selinunte vitam traduxerat. Hannibal igitur, quod natura Graeco nomini infensus esset, & maiorum ignominiam sua virtute abolere percuperet, suo Marte (quod dicitur) praeclarum aliquod patriae emolumentum conciliare properabat. Quapropter cum Selinuntios concessione agri, de quo disceptatum fuerat, non contentos esse videret, legatos una cum Egestanis ad Syracusios mittit, totum litis arbitrium illis permittens; verbis aequum & bonum prae se ferens, re autem ipsa hoc sibi persuadens, si cognitionem illam Selinuntii detrectarent, fore ut a societate illorum Syracusani discederent. Cum Selinuntii igitur, missis etiam suis legatis, disceptationem illam non admitterent, sed

νων, πολλὰ δὲ πρὸς τοὺς παρὰ Καρχηδονίων καὶ τῶν Ἐγεσταίων πρέσβεις ἀντειπόντων, τέλος ἔδοξε τοῖς Συρακουσίοις ψηφίσασθαι τηρεῖν πρὸς μὲν Σελινουντίους τὴν συμμαχίαν, πρὸς δὲ Καρχηδονίους τὴν εἰρήνην.

μδ΄. Μετὰ δὲ τὴν ἐπάνοδον τῶν πρεσβευτῶν, Καρχηδόνιοι μὲν τοῖς [1] Ἐγεσταίοις ἀπέστειλαν Λίβυάς τε πεντακισχιλίους καὶ τῶν Καμπανῶν ὀκτακοσίους· οὗτοι δ' ἦσαν ὑπὸ τῶν Χαλκιδέων τοῖς Ἀθηναίοις εἰς τὸν πρὸς Συρακουσίους πόλεμον μεμισθωμένοι, καὶ μετὰ τὴν ἧτταν καταπεπλευκότες, οὐκ εἶχον τοὺς μισθοδοτήσοντας· οἱ δὲ Καρχηδόνιοι πᾶσιν ἵππους ἀγοράσαντες, καὶ μισθοὺς ἀξιολόγους δόντες, εἰς τὴν Ἔγεσταν κατέστησαν. οἱ δὲ Σελινούντιοι κατ' ἐκείνους τοὺς χρόνους εὐδαιμονοῦντες, [2] καὶ τῆς πόλεως αὐτοῖς πολυάνδρου οὔσης, κατεφρόνουν τῶν Ἐγεσταίων· καὶ τὸ μὲν πρῶτον ἐν τάξει [3] τὴν ὅμορον χώραν ἐπόρθουν, πο-

1 Αἰγεστ. ſemper edd. Co. Ἐγ. Mox μισθοδοτήσαντας Reg. 2.
2 Καὶ τοῖς Clar.
3 Τὴν χώραν αὐτῶν Reg. 1.

multum Carthaginienſium & Egeſtanorum legatis contradicerent, Syracuſanis tandem, ſocietatem cum Selinuntiis tuendam, & cum Carthaginienſibus pacem colendam, ſciſcere placuit.

XLIV. Poſt legatorum ergo reditum Egeſtanis v M. Afrorum mittunt Carthaginienſes & Campanorum DCCC. Hos Chalcidenſes ad belli contra Syracuſanos operam ſtipendiis ſuis conduxerant Athenienſibus. Sed poſt cladem illis inflictam navibus advecti, ſub quo ſtipendia facerent, non habebant. Quibus ſingulis equos Carthaginienſes emunt, tum ſtipendiis non vulgaribus in capita numeratis praeſidium hoc Egeſtae collocant. At Selinuntii, quos tunc abundantia opum & eximia civium frequentia beatos fecerat, Egeſtanos nec flocci pendere. Ac primum agmine compoſito regionem finitimam vaſtare,

λὺ προέχοντες ταῖς δυνάμεσι, μετὰ δὲ ταῦτα καταφρονήσαντες, κατὰ πᾶσαν τὴν χώραν ἐσκεδάσθησαν. οἱ δὲ τῶν Ἐγεσταίων στρατηγοὶ παρατηρήσαντες αὐτοὺς, ἐπέθεντο μετὰ τῶν Καρχηδονίων καὶ τῶν Καμπανῶν. ἀπροσδοκήτου δὲ τῆς ἐφόδου γενομένης, ῥᾳδίως ἐτρέψαντο τοὺς Σελινουντίους· καὶ τῶν μὲν στρατιωτῶν ἀνεῖλον περὶ χιλίους, τῆς δὲ λείας πάσης ἐκυρίευσαν. μετὰ δὲ τὴν μάχην εὐθέως ἀπέστειλαν πρέσβεις, οἱ μὲν Σελινούντιοι πρὸς Συρακουσίους, οἱ δ' Ἐγεσταῖοι πρὸς Καρχηδονίους, περὶ βοηθείας. ἑκατέρων δ' ἐπαγγειλαμένων συμμαχήσειν, ὁ μὲν Καρχηδονιακὸς πόλεμος ταύτην [1] ἔλαβε τὴν ἀρχήν. οἱ δὲ Καρχηδόνιοι προορώμενοι τὸ μέγεθος τοῦ πολέμου, τὴν ἐπιτροπὴν ἔδωκαν Ἀννίβᾳ τῷ στρατηγῷ περὶ τοῦ μεγέθους τῆς δυνάμεως, καὶ πάντα προθύμως ὑπηρέτουν. ὁ δὲ Ἀννίβας τό, τε θέρος ἐκεῖνο καὶ τὸν συνάπτοντα

Syracuſanos cum Selinuntii in ſuas partes trahunt, exoritur *bellum Carthaginienſe* in Sicilia, geſtum ab Hannibale.

1 Ἔλαβεν ἀρχὴν Coisl.

cum numero militum longe ſuperiores eſſent: mox, hoſtium paucitate contemta, per totam longe lateque regionem diſperſi vagantur. Egeſtanorum itaque duces, occaſione captata, Carthaginienſium & Campanorum ſubſidiis adiuti, temere palantes invadunt. Quae impreſſio cum inopinato fieret, levi negotio hoſtes fundunt, inque fugam agunt. Cadunt eo conflictu ad M armatorum, & praeda omnis recuperatur. Poſt eam pugnam utraque pars legatos ſuos mittit, Selinuntii ad Syracuſanos, Egeſtani Carthaginem, auxilia poſtulatum. Quae cum liberaliter utrinque promitterentur, bellum Carthaginienſe hunc ad modum exarſit. Carthaginienſes igitur, belli magnitudine proſpecta, totam belli curam Hannibali tradunt, ſimulque poteſtatem, quantum ſatis videatur, exercitus contrahendi faciunt. Ipſi interim cuncta propenſe ſubminiſtrant. Hannibal autem per aeſtatem illam hie-

χειμῶνα, πολλοὺς μὲν ἐξ Ἰβηρίας ἐξενολόγησεν, οὐκ ὀλίγους δὲ καὶ τῶν πολιτῶν κατέγραφεν.[1] ἐπῄει δὲ καὶ τὴν Λιβύην, ἐπιλεγόμενος ἐξ ἁπάσης πόλεως τοὺς κρατίστους, καὶ ναῦς παρεσκευάζετο, διανοούμενος τῆς ἐαρινῆς ὥρας ἐνισταμένης διαβιβάζειν τὰς δυνάμεις. τὰ μὲν οὖν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

Dorieus e Rhodo redux & Mindarus, Atheniensium classi obviam facti,

με΄. [2] Κατὰ δὲ τὴν Ἑλλάδα Δωριεὺς ὁ Ῥόδιος, ναύαρχος ὢν τῶν ἐξ Ἰταλίας τριήρων, ἐπειδὴ κατέστησε τὴν ἐν Ῥόδῳ ταραχὴν, ἐξέπλευσεν ἐφ' Ἑλλήσποντον, σπεύδων συμμίξαι τῷ Μινδάρῳ. οὗτος γὰρ ἐν Ἀβύδῳ διατρίβων, συνῆγε πανταχόθεν τὰς συμμαχούσας ναῦς τοῖς Πελοποννησίοις. ἤδη δὲ τοῦ Δωριέως ὄντος περὶ τὸ [3] Σίγειον τῆς Τρῳάδος, οἱ περὶ Σηστὸν ὄντες Ἀθηναῖοι, πυθόμενοι τὸν παράπλουν, ἀνήχθησαν ἐπ' αὐτοὺς πάσαις ταῖς ναυσὶν, οὔσαις ἑβδομήκοντα καὶ τέσσαρσιν. ὁ δὲ Δωριεὺς μέχρι μέν τινος ἀγνοήσας

1 Ἐπειδὴ Coisl.
2 Τὰ δὲ κατὰ τὴν Reg. 1. Mox μετὰ δὲ τὸ καταστῆσαι τὴν Ven.
3 Σίγιον Coisl. Clar.

memque fubfequentem magnas ex Hifpania mercenariorum copias colligit, nec exiguum ex civibus numerum confcribit. Totam praeterea Africam obiens, per unamquamque urbem praeftantiffimorum delectus agit; naves etiam adornat, copias ineunte vere traiicere conftitutum habens. Hac tum conditione res in Sicilia fuerunt.

XLV. In Graecia interim Dorieus Rhodius, triremium ex Italia praefectus, fimulac tumultum in Rhodo fedaviffet, ad Hellefpontum tranfmifit, ut cum Mindaro fe coniungeret. Hic enim ad Abydum fubfiftens, naves Peloponnefiaci nominis focias undique coëgit. Iamque ad Sigaeum Troadis provectus erat Dorieus, cum Athenienfes iuxta Seftum commorantes, explorato eius curfu, cum univerfa claffe navium LXXIV in eum feruntur. At Dorieus, infcius ad tempus, quid contra fe

τὸ γινόμενον, ἔπλει μετέωρος· κατανοήσας δὲ τὸ μέγεθος τοῦ στόλου, κατεπλάγη, καὶ σωτηρίαν ἄλλην οὐδεμίαν ὁρῶν, κατέφυγεν εἰς Δάρδανον. ἐκβιβάσας δὲ τοὺς στρατιώτας, καὶ τοὺς φρουροῦντας τὴν πόλιν προσλαβόμενος, βέλη τε παμπληθῆ ταχέως [1] προσεκόμισε, καὶ τῶν στρατιωτῶν οὓς μὲν ἐπὶ τὰς πρώρας ἐπέστησεν, οὓς δ' ἐπὶ τῆς γῆς εὐκαίρως ἔταξεν. οἱ δ' Ἀθηναῖοι κατὰ πολλὴν σπουδὴν καταπλεύσαντες, [2] ἐνεχείρησαν ἀποσπᾶν τὰς ναῦς, καὶ πανταχόθεν τῷ πλήθει περιχυθέντες, κατεπόνουν τοὺς ἐναντίους. ἃ δὴ πυθόμενος Μίνδαρος ὁ τῶν Πελοποννησίων ναύαρχος, εὐθέως ἐξ Ἀβύδου μετὰ παντὸς ἀνήχθη τοῦ στόλου, καὶ κατέπλει πρὸς τὸ [3] Δαρδάνειον μετὰ νεῶν τεσσάρων καὶ ὀγδοήκοντα, βοηθήσων τοῖς μετὰ τοῦ Δωριέως. συμπαρῆν δὲ καὶ τὸ πεζὸν στράτευμα τοῦ Φαρναβάζου, [4] βοηθοῦν τοῖς Λακεδαιμονίοις. ὡς δ' ἐγγὺς ἀλ-

1 Παρεκόμισε Vat. Coisl.
2 Ἐπεχείρησαν Reg. 1.
3 Δαρδάνιον Coisl. tum νεῶν δ'. πρὸς ταῖς π'.
4 Βοηθοῦντος Λακεδαιμ. Coisl. Mox ἐγένοντο οἱ Venet.

*novo proelio fufi ad Dardanium.*

pararetur, alto fecurus pelago procedit. Ubi vero, quanta in fe claffis tenderet, animadvertit, non mediocri trepidatione perculfus, cum alium falutis exitum non videret, Dardanum confugit. Expofitifque militibus, & praefidio urbis affumto, magnam confeftim telorum vim eo transfert, militumque alios in proris conftituit, alios per litus opportune difponit. Athenienfes vero, concitato illuc curfu invecti, naves a litore avellere nituntur, & multitudine fua undique circumfufa, hoftem non parum fatigant. Quo cognito Mindarus, Peloponnefiorum navarchus, extemplo totam Abydo claffem educens, ad Dardanium promontorium cum navibus LXXXIV contendit, ut auxilium Dorieo ferret. Aderant quoque terreftres Pharnabazi copiae ad claffem Lacedaemoniorum

λήλων ἐγενήθησαν οἱ στόλοι, διέταξαν ἀμφότεροι τὰς τριήρεις εἰς ναυμαχίαν· καὶ Μίνδαρος μὲν ἔχων ἑπτὰ [1] πρὸς ταῖς ἐννενήκοντα ναυσὶν, ἐπὶ μὲν τὸ λαιὸν κέρας ἔταξε Συρακουσίους, τοῦ δεξιοῦ δ' αὐτὸς εἶχε τὴν ἡγεμονίαν. τῶν δ' Ἀθηναίων τοῦ μὲν δεξιοῦ μέρους Θρασύβουλος [2] ἡγεῖτο, τοῦ δ' ἑτέρου Θράσυλλος. τοῦτον δὲ τὸν τρόπον αὐτῶν [3] ἐξηρτυμένων, οἱ μὲν ἡγεμόνες αὐτῶν ἦραν τὸ σύσσημον τῆς μάχης, οἱ σαλπιγκταὶ δὲ ἀφ' ἑνὸς παραγγέλματος ἤρξαντο σημαίνειν τὸ πολεμικόν· καὶ τῶν μὲν ἐρετῶν οὐθὲν ἐλλειπόντων προθυμίας, τῶν δὲ κυβερνητῶν ἐντέχνως τοῖς οἴαξι χρωμένων, καταπληκτικὸν συνέβαινε γίνεσθαι τὸν ἀγῶνα. ὁπότε γὰρ αἱ τριήρεις εἰς ἐμβολὴν ἐπεφέροντο, τηνικαῦτα οἱ κυβερνῆται πρὸς αὐτὴν τὴν τοῦ καιροῦ ῥοπὴν ἐπέστρεφον τὰς ναῦς πραγματικῶς, ὥστε τὰς πληγὰς γίγνεσθαι κατ' ἐμβολήν. οἱ μὲν οὖν ἐπιβάται θεωροῦντες τὰς ἑαυτῶν ναῦς πλαγίας συνεπιφερομένας ταῖς τῶν

1 Σὺν ταῖς ora Steph.
2 Ἐφηγεῖτο Venet.
3 Ἐξηρτημένων ambo Reg.

ſublevandam. Ubi claſſes inter ſe propinquarunt, acies utrinque inſtruuntur. Mindarus, XCVII naves ſub imperio habens, in laevo cornu Syracuſanos ſtatuit, dextrum ipſe regit. Dextrum Athenienſium cornu Thraſybulus, ſiniſtrum Thraſyllus ducit. Acie ad hunc modum utrinque digeſta, & ſigno certaminis a ducibus edito, claſſicum a buccinatoribus, ad unum veluti iuſſum, cani coeptum eſt. Dumque remiges nihil ſtudii omittunt, gubernatores clavo quiſque ſuo ſollerter utuntur, horribilis ingraveſcit conflictus. Quoties enim triremes ad feriendum irruebant, toties magiſtri navium eodem temporis momento induſtrie naves ita obvertebant, ut roſtris ictus exciperent. Epibatae ergo, cum naves ſuas hoſti latus praebere cernerent, de ſua quiſque ſalute an-

πολεμίων τριήρεσι, περιδεεῖς ἐγίνοντο, περὶ σφῶν ἀγωνιῶντες· ὁπότε δ' οἱ κυβερνῆται ταῖς ἐμπειρίαις ἐκκρούσειαν τὰς ἐπιφορὰς, πάλιν ἐγίνοντο περιχαρεῖς καὶ μετέωροι ταῖς ἐλπίσιν.

μστ'. Οὐ μὴν οὐδ' οἱ ἐν τοῖς καταστρώμασιν ἐπιβεβηκότες ἄπρακτον εἶχον τὴν φιλοτιμίαν, ἀλλ' οἱ μὲν ἐκ πολλοῦ διαστήματος ἀφεστηκότες ἐτόξευον κατὰ τὸ συνεχὲς, καὶ ταχὺ ὁ τόπος ἦν βελῶν πλήρης· οἱ δ' ἀεὶ προσιόντες ἐγγυτέρω, τὰς λόγχας ἠκόντιζον, οἱ μὲν ἐπὶ τοὺς ἀμυνομένους ἐπιβάτας, οἱ δ' ἐπ' αὐτοὺς βαλεῖν φιλοτιμούμενοι τοὺς κυβερνήτας. ὁπότε δὲ [1] συνερείσειαν αἱ ναῦς, τοῖς τε δόρασιν ἠγωνίζοντο, καὶ κατὰ τὰς προαγωγὰς εἰς τὰς τῶν πολεμίων τριήρεις μεθαλλόμενοι, τοῖς ξίφεσιν [2] ἀλλήλους ἠμύνοντο. κατὰ δὲ τὰς γινομένας ἐλαττώσεις τῶν νικώντων ἐπαλαλαζόντων, καὶ τῶν ἄλλων μετὰ βοῆς παραβοηθούντων, κραυγὴ σύμμικτος ἐγίνετο παρ' ὅλον τὸν τῆς ναυ-

1 Συνερίσ. Coisl. συναιρησ. Cl. 2 Ἀλλήλοις Coisl.

xius trepidare; ſed ſtatim, ubi hoſtium incurſus rectorum peritia eluſos viderunt, laetitia iterum perfundi, & ad bonam ſpem erigi.

XLVI. Nec ſegne interea ſtudium fuit illorum, qui per cataſtromata diſpoſiti dimicabant. Nam longioribus intervallis remoti continuis hoſtem ſagittis petere, uſque adeo, ut totus ibi locus ſpiculis confertus inhorreſceret. Qui propius ſubibant, lanceas eiaculari, nunc propugnatores, nunc gubernatores ipſos, tranſverberare connitentes. Si naves inter ſe colliderentur, haſtis decertare. Non raro quam proxime invecti, in triremes hoſtium tranſilire, & gladiis ſe mutuo propulſare. Si qui ſuccumberent, laetus victorum plauſus, & triſtis auxilio ſuis accurrentium fremitus exoriebatur, adeo, ut confuſus omnem pugnae locum vociferatus longe lateque

μαχίας τόπον. ἐπὶ πολὺν οὖν χρόνον ἰσόῤῥοπος ἦν ἡ μάχη, διὰ τὴν ὑπερβολὴν τῆς παρ' ἀμφοτέροις φιλοτιμίας. μετὰ δὲ ταῦτα Ἀλκιβιάδης ἐκ Σάμου παραδόξως ἐπεφάνη μετὰ νεῶν εἴκοσι πλέων κατὰ τύχην [1] εἰς Ἑλλήσποντον. τούτων δὲ πόῤῥω μὲν οὐσῶν, [2] ἑκάτεροι σφίσι βοήθειαν ἐλπίζοντες παραγενέσθαι, μετέωροι ταῖς ἐλπίσιν ἐγίνοντο, καὶ πολὺ προθυμότερον ταῖς τόλμαις διεκινδύνευον· ἐπεὶ δ' ἤδη σύνεγγυς ἦν ὁ στόλος, καὶ τοῖς μὲν Λακεδαιμονίοις οὐδὲν ἐφαίνετο σύσσημον, τοῖς δ' Ἀθηναίοις Ἀλκιβιάδης μετέωρον ἐποίησεν ἐπίσημον φοινικοῦν ἀπὸ τῆς ἰδίας νεὼς, (ὅπερ ἦν σύσσημον αὐτοῖς διατεταγμένον) οἱ μὲν Λακεδαιμόνιοι καταπλαγέντες ἐτράπησαν, οἱ δ' Ἀθηναῖοι τῷ προτερήματι μετεωρισθέντες, [3] μετὰ σπουδῆς ἐπεδίωκον τὰς ὑποφευγούσας, καὶ δέκα μὲν νεῶν εὐθὺς ἐκυρίευσαν· μετὰ δὲ ταῦτα, χειμῶνος ἐπιγενομένου καὶ πνευμάτων μεγάλων, πολλὰ περὶ τὸν διωγμὸν αὐτοὺς

1 'Εφ' Ἑλλήσποντον Reg. 1.
2 Ἑκατέροις φησὶ Coisl.
3 Haec duo non ſunt in Clar. & Reg. 2.

obtineret. Ad longum itaque tempus pervicaci utriuſque partis contentione proelium anceps extrahebatur; donec repente ex Samo XX triremibus Alcibiades forte fortuna in Helleſpontum navigans, ſe conſpiciendum praebuit. Sed cum procul adhuc eſſet, utriſque ſubſidii iam adventantis ſpes erat. Qua confirmati, maiore ſe fiducia & alacritate periculis offerebant. Claſſe vero iam approximante, cum Lacedaemoniis nihil indicii appareret, Athenienſibus vero purpureum Alcibiades ſignum e navi ſua (uti conſtitutum erat) exhiberet, Lacedaemonii metu perculſi, in fugam vertuntur. Sed Athenienſes, hoc elati ſucceſſu, fugientes ocius inſequuntur, & X confeſtim navibus potiuntur. Exorta dehinc tempeſtate, & magna ventorum procella, multa circa perſe-

ἐμποδίζεσθαι συνέβαινε. διὰ γὰρ τὸ μέγεθος τῶν κυμάτων τὰ μὲν σκάφη τοῖς οἴαξιν ἠπείθει, τὰς δ' ἐμβολὰς ἀπράκτους συνέβαινε γίνεσθαι, τῶν [1] τυπτομένων νεῶν ὑποχωρουσῶν. τέλος δ' οἱ μὲν Λακεδαιμόνιοι πρὸς τὴν γῆν κατενεχθέντες, ἔφυγον πρὸς τὸ πεζὸν τοῦ Φαρναβάζου στρατόπεδον. οἱ δ' Ἀθηναῖοι τὸ μὲν πρῶτον [2] ἐπεχείρησαν ἀποσπᾶν τὰς ναῦς ἀπὸ τῆς γῆς, καὶ παραβόλως διεκινδύνευον· ὑπὸ δὲ τοῦ Περσικοῦ στρατεύματος ἀνακοπέντες, ἀπέπλευσαν εἰς Σηστόν· ὁ γὰρ Φαρνάβαζος βουλόμενος τοῖς Λακεδαιμονίοις ὑπὲρ ὧν [3] ἐνεκάλουν ἀπολογεῖσθαι, βιαιότερον διηγωνίζετο πρὸς τοὺς Ἀθηναίους. ἅμα δὲ καὶ περὶ τῶν εἰς Φοινίκην ἀποσταλεισῶν νεῶν τριακοσίων ἐδίδαξεν, ὡς τοῦτο ἔπραξε, πυνθανόμενος τόν τε τῶν Ἀράβων βασιλέα καὶ τὸν Αἰγυπτίων ἐπιβουλεύειν τοῖς περὶ Φοινίκην πράγμασι.

1 Τυπτουμένων Clar.
2 Ἐπεχείρησαν marg. St. Reg. uterque cum Clar. ἐπεχείρισαν Co. & Venet. quod ex priore natum. Vulgo ἐνεχείρησαν, pari ſententia.
3 Ἐνεκάλουν ἀπολογεῖσθαι ſolus Venet. cuius auxilio deficiens verbum in ſuam ſedem reſtitui.

cutionem impedimenta obiiciuntur. Nam ob magnitudinem fluctuum nec gubernaculis navigia parebant, nec roſtrorum incurſu aliquid efficiebant, cum percuſſae naves fluctuando retrocederent. Ad extremum Lacedaemonii, ad litus incolumes elapſi, ad terreſtres Pharnabazi copias ſe receperunt. Athenienſes interim, naves inde vacuas abſtrahere conati, magna rem periculoſam fiducia urgent. Sed ab exercitu Perſico repulſi, ad Seſtum retrocedere coguntur. Pharnabazus enim propterea maiore Athenienſibus conatu reſiſtebat, ut Lacedaemoniis, cum de aliis, quorum inſimulabatur, tum etiam de triremibus CCC in Phoenicen remiſſis, ſe purgaret. Hoc enim propterea ab ſe factum oſtendit, quod ab Arabum & Aegyptiorum rege Phoeniciae inſidias parari cognoviſſet.

μζ'. Τῆς δὲ ναυμαχίας τοιοῦτον τὸ τέλος λαβούσης, Ἀθηναῖοι τότε μὲν εἰς Σηστὸν ἀπέπλευσαν, ἤδη νυκτὸς οὔσης. ἅμα δ' ἡμέρᾳ τά τε ναυάγια συνήγαγον, καὶ πρὸς τῷ προτέρῳ τροπαίῳ ἕτερον ἔστησαν. Μίνδαρος δὲ νυκτὸς περὶ πρώτην φυλακὴν εἰς Ἄβυδον ἀναχθεὶς, [1] τάς τε πεπονηκυίας ναῦς κατεσκεύαζε, καὶ πρὸς Λακεδαιμονίους περὶ βοηθείας διεπέμψατο πεζῆς τε καὶ ναυτικῆς. διενοεῖτο γὰρ, ἐν ὅσῳ τὰ κατὰ τὸν στόλον ἕτοιμα ἐγίνετο, πεζῇ μετὰ Φαρναβάζου τὰς συμμαχούσας κατὰ τὴν Ἀσίαν πόλεις Ἀθηναίοις [2] πολιορκήσειν. Χαλκιδεῖς δὲ καὶ σχεδὸν οἱ λοιποὶ πάντες οἱ τὴν Εὔβοιαν κατοικοῦντες, ἀφεστηκότες ἦσαν Ἀθηναίων· καὶ διὰ τοῦτο περιδεεῖς ἐγίνοντο, μή ποτε [3] νῆσον οἰκοῦντες ἐκπολιορκηθῶσιν ὑπ' Ἀθηναίων θαλασσοκρατούντων. ἠξίουν [4] οὖν Βοιωτοὺς κοινῇ χῶσαι τὸν

Euboea a Boeotis contra Athenienses defensa,

1 Τάς τε πεπονηκ. Reg. 1. quem probo. Particula deerat.
2 Ἐκπολιορκήσειν idem.
3 Νῆσον οἱ κατοικοῦντες idem.
4 Οἱ Βοιωτοὺς Coisl.

XLVII. Cum navalis ergo pugna talem sortita eventum fuisset, classis Atheniensis iam appetente nocte Sestum repetit. Et quamprimum illuxit, collectis naufragiorum reliquiis, priori tropaeo alterum adiiciunt. Et Mindarus, circa primam noctis vigiliam Abydum revectus, naves proelio concussas & laceratas resarcit & confirmat, & ad Lacedaemonios, tam pedestres copias, quam supplementa nautica, postulatum mittit. Interea enim dum ad instruendam classem necessaria pararentur, terrestribus cum Pharnabazo copiis socias Atheniensium in Asia urbes oppugnare decreverat. Chalcidenses autem & universi prope Euboeae incolae Atheniensium fidem deseruerant. Metu idcirco angebantur, ne se, qui insulam habitarent, Athenienses maris imperium tenentes expugnarent. A Boeotis igitur contendunt, ut communi secum ope & labore Euripum obstruant, quo cum

Εὔριπον, ὥστε συνάψαι τὴν Εὔβοιαν τῇ Βοιωτίᾳ. συγκαταθεμένων δὲ τῶν Βοιωτῶν, διὰ τὸ κἀκείνοις συμφέρειν τὴν Εὔβοιαν εἶναι τοῖς μὲν ἄλλοις νῆσον, ἑαυτοῖς δ' ἤπειρον, διόπερ αἱ πόλεις ἅπασαι πρὸς τὴν [1] διάχωσιν ἐπεῤῥώσθησαν, καὶ πρὸς ἀλλήλας ἡμιλλῶντο. οὐ γὰρ μόνον τοῖς πολίταις ἐξιέναι πανδημεὶ προσέταξαν, ἀλλὰ καὶ τοῖς παροικοῦσι ξένοις· ὥστε διὰ τὸ πλῆθος τῶν τοῖς ἔργοις προσιόντων τὴν πρόθεσιν ταχέως λαβεῖν συντέλειαν. τῆς μὲν οὖν Εὐβοίας κατεσκευάσθη τὸ χῶμα κατὰ τὴν Χαλκίδα, τῆς δὲ Βοιωτίας πλησίον Αὐλίδος. ἐνταῦθα γὰρ ὁ μεταξὺ [2] τόπος ἦν στενότατος. συνέβαινε μὲν οὖν ἀεὶ καὶ πρότερον καθ' ἐκεῖνον τὸν τόπον εἶναι ῥοῦν, [3] καὶ πυκνὰς ποιεῖσθαι τροπὰς τὴν θάλατταν· τότε δὲ πολὺ μᾶλλον ἦν ἐπιτείνοντα τὰ κατὰ τὸν ῥοῦν, ὡς ἂν εἰς στενὸν ἄγαν συγκεκλεισμένης τῆς θαλάττης· ὁ γὰρ διέκπλους ἀπε- obstructo Euripo.

1 Διαχώρησιν idem.

2 Προσῆν στενότατος ex compendio scribendi Coisl. & Vat.

3 Desunt haec usque ad ὡς ἂν Coisl. amanuensis socordia.

Boeotiae continente Euboea connectatur. Consentiunt ad hoc Boeoti, quod ex re ipsorum foret, Euboeam aliis insulam, sibi vero continentem esse. Universae igitur urbes ad aggestionem illam sese accingunt, mutuisque studiis opus maturare certant. Non enim civibus tantum, sed alienigenis etiam inquilinis, ut omni frequentia adessent, edixerant. Operantium itaque multitudine effectum est, ut coeptum opus celeriter absolveretur. In Euboea Chalcis, in Boeotia Aulis, ducendi aggeris initium fuit. Nam hic interstitium loci angustissimum erat. In his antea faucibus perpetua maris aestuatio & crebrae subinde reciprocationes fuerant. Tunc vero longe magis undae se violentia intendit, cum mare in angustum nimis exitum coarctaretur. Nam uni tantum navi-

λείφθη μιᾷ νηΐ. ᾠκοδόμησαν δὲ καὶ πύργους ὑψηλοὺς ἐπ᾽ ἀμφοτέρων τῶν ἄκρων, καὶ ξυλίνας τοῖς διάῤῥοις ἐπέστησαν γεφύρας. Θηραμένης δ᾽ ὑπ᾽ Ἀθηναίων ἀποσταλεὶς μετὰ νεῶν τριάκοντα, τὸ μὲν πρῶτον ἐπεχείρησε κωλύειν τοὺς ἐπὶ τῶν ἔργων· πολλοῦ δὲ πλήθους στρατιωτῶν συμπαρόντος τοῖς κατασκευάζουσι τὰ χώματα, ταύτης μὲν τῆς ἐπιβολῆς ἀπέστη· τὸν δὲ πλοῦν ἐπὶ τῶν νήσων [1] ἐποιήσατο. βουλόμενος δὲ τούς τε πολίτας καὶ συμμάχους ἀναπαῦσαι τῶν εἰσφορῶν, τήν τε τῶν πολεμίων χώραν ἐπόρθησε, καὶ πολλὰς ὠφελείας ἤθροισεν. ἐπῄει δὲ καὶ τὰς συμμαχίδας πόλεις, καὶ τοὺς ἐν αὐταῖς νεωτερίζοντας εἰσεπράττετο χρήματα. καταπλεύσας δ᾽ εἰς [2] Πάρον, καὶ καταλαβὼν ὀλιγαρχίαν ἐν τῇ πόλει, τῷ μὲν δήμῳ τὴν ἐλευθερίαν ἀποκατέστησε, παρὰ δὲ τῶν ἁψαμένων τῆς ὀλιγαρχίας χρημάτων πλῆθος εἰσεπράξατο.

Theramenes, Athen. imperator, cum illud opus impedire non posset, interea insulas hostium exspoliat.

μή. Συνέβη δὲ [3] περὶ τοῦτον τὸν χρόνον ἐν τῇ Κερ-

Bellum intestinum

1 Ἐποιήσαντο Clar. 2 Σπάρτην Coisl. 3 Κατὰ τοῦτον Venet.

gio intercursus erat relictus. In extremitate utriusque molis turres exstructae, ligneique pontes interstitiis applicati fuerant. Theramenes quidem initio, cum XXX navibus eo missus, institutum opus impedire moliebatur: at cum a numerosa praesidiariorum manu operi incumbentes defenderentur, ab incepto desistens ad insulas cursum direxit. Cumque cives & socios a contributionum onere sublevare animum induxisset, pervastatis hostium agris, ingenti praeda onustus discessit. Confoederatas etiam urbes accessit, & res novas inibi molientes pecunia non exigua multat. Inde in Parum devectus, cum paucorum arbitrio rempublicam invenisset subiectam, restituta populo iurisdictionis libertate, ab auctoribus paucorum dominatus magnam pecuniae vim exegit.

XLVIII. Per idem tempus atrox in Corcyra seditio &

κύρᾳ μεγάλην γενέσθαι στάσιν καὶ σφαγήν· ἣν δι' ἑτέρας μὲν αἰτίας λέγεται γενέσθαι, μάλιστα δὲ διὰ τὴν ὑπάρχουσαν αὐτοῖς πρὸς ἀλλήλους ἔχθραν. ἐν οὐδεμιᾷ γὰρ τότε πόλει τοιοῦτοι πολιτῶν φόνοι συνετελέσθησαν, οὐδὲ μείζων ἔρις καὶ φιλονεικία πρὸς ὄλεθρον ἀνήκουσα. δοκοῦσι γὰρ οἱ μὲν [1] ἀναιρεθέντες ὑπ' ἀλλήλων πρὸ ταύτης τῆς στάσεως, γεγονέναι περὶ χιλίους καὶ πεντακοσίους, καὶ πάντες οὗτοι πρωτεύοντες τῶν πολιτῶν. [2] τούτων δ' ἐπιγεγενημένων τῶν ἀτυχημάτων, ἑτέραν αὐτοῖς συμφορὰν ἐπέστησεν ἡ τύχη, τὴν πρὸς ἀλλήλους πάλιν αὐξήσασα διαφοράν. οἱ μὲν γὰρ προέχοντες τοῖς ἀξιώμασι τῶν Κερκυραίων, ὀρεγόμενοι τῆς ὀλιγαρχίας, ἐφρόνουν τὰ Λακεδαιμονίων· ὁ δὲ δημοτικὸς ὄχλος ἔσπευδε τοῖς Ἀθηναίοις συμμαχεῖν. καὶ γὰρ διαφερούσας [3] τὰς σπουδὰς εἶχον οἱ περὶ τῆς ἡγεμονίας διαγωνιζόμενοι δῆμοι. Λακεδαιμόνιοι γὰρ τοὺς

in insula Corcyra atrocissimum.

1 Αἱρεθέντες Coisl.
2 Τούτων γεγενημένων Clar.
3 Τὰς σπουδὰς Ven. Clar. Reg.
2. Vulgo σπονδάς.

coepit, civibus frequentata, hunc ad modum tunc capta fuit. Quam moenibus circumquaque nudatam relinquens Hannibal, copiis universis Himeram inde petit, evertendae huius urbis cupiditate maxime incensus. Propter hanc enim pater suus in exsilium pulsus fuerat: ad hanc vero avus olim Amilcar, Gelonis astu circumventus, caesis militum centum & quinquaginta millibus, nec multo paucioribus eo proelio captis, occubuerat. Quorum ultionem exigere festinans Hannibal, cum CCIↃↃ CCIↃↃ CCIↃↃ CCIↃↃ in colle quodam procul ab urbe castra locat: cum reliqua manu, cui Siculorum Sicanorumque CCIↃↃ CCIↃↃ accesserant, oppidum circumsidet: adactisque machinis, compluribus simul locis moenia verberat, magnaque hominum turba per vices succedentium rem gerens, obsessos defatigat; nec parum ad-

μένους· ἅτε καὶ τῶν στρατιωτῶν ἐπηρμένων ταῖς εὐτυχίαις. ὑπώρυττε δὲ καὶ τὰ τείχη, καὶ ξύλοις ὑπήρειδεν, ὧν ἐμπρησθέντων, ταχὺ πολὺ μέρος τοῦ τείχους ἔπεσεν. ἔνθα δὴ συνέβαινε καρτερωτάτην μάχην γίνεσθαι, τῶν μὲν βιαζομένων ἐντὸς τοῦ τείχους παρεισπεσεῖν, τῶν δὲ φοβουμένων μὴ ταυτὰ πάθωσι τοῖς Σελινουντίοις. διὸ καὶ τὸν ἔσχατον ἀγῶνα τιθεμένων αὐτῶν ὑπὲρ τέκνων καὶ γονέων καὶ τῆς περιμαχήτου [1] πᾶσι πατρίδος, ἐξεώσθησαν οἱ βάρβαροι, καὶ ταχὺ τὸ μέρος τοῦ τείχους ἀνῳκοδόμησαν. παρεγενήθησαν δ' αὐτοῖς εἰς τὴν βοήθειαν οἵ τ' ἐξ Ἀκράγαντος Συρακούσιοι, καί τινες τῶν ἄλλων συμμάχων, οἱ πάντες εἰς τετρακισχιλίους, ὧν Διοκλῆς ὁ Συρακούσιος εἶχε τὴν ἡγεμονίαν.

Atrocissima dimicatio subsecuta.

ξ'. Τότε μὲν οὖν, νυκτὸς ἀφελομένης τὴν ἐπὶ τῷ πλείονι φιλονεικίαν, ἔλυσαν τὴν πολιορκίαν· ἅμα δ'

1 Adscripsit huic voci asteriscum Steph. deestque Reg. 1.

iumenti militum alacritas, ex priori successu excitata, praebet. Murum etiam cuniculis suffossum trabibus fulcit: quibus succensis, illico magna pars muri concidit. Ibi demum certamen oritur validissimum, dum hi summa vi irrumpere conantur, illi, ne eandem patiantur cladem, quam nuper Selinusii, pertimescunt. Quare extremum certamen pro liberis, & parentibus, patriaque omni contentione defendenda aggressi, Barbaros inde propulsant, & prostratam muri partem haud cunctanter instaurant. Auxilio enim ipsis venerat Syracusiorum ex Acragante manus, nonnullique ex aliis sociis numero CIƆ CIƆ CIƆ circiter: quos omnes Diocles Syracusanus ductabat.

LX. Et tunc, ardore ulterius progrediendi per noctem compresso, oppugnatio intermissa fuit. Quamprimum

ἡμέρᾳ τοῖς Ἱμεραίοις ἔδοξε μὴ περιορᾶν [1] αὐτοὺς συγκεκλεισμένους ἀγεννῶς, καθάπερ τοὺς Σελινουντίους, ἐπὶ δὲ τῶν τειχῶν φύλακας κατέταττον, τοὺς δ' ἄλλους στρατιώτας σὺν τοῖς παραγεγονόσι συμμάχοις ἐξήγαγον, ὄντας περὶ μυρίους. ἀπροσδοκήτως δὲ τοῖς πολεμίοις ἀπαντήσαντες, [2] εἰς ἔκπληξιν ἤγαγον τοὺς βαρβάρους, νομίζοντας ἥκειν τοὺς συμμάχους τοῖς πολιορκουμένοις. πολὺ δὲ ταῖς τόλμαις ὑπερέχοντες καὶ ταῖς [3] εὐχειρίαις, καὶ τὸ μέγιστον, μιᾶς ἐλπίδος εἰς σωτηρίαν ὑποκειμένης, εἰ τῇ μάχῃ κρατήσειαν [4] ἂν, εὐθὺς τοὺς πρώτους ὑποστάντας ἀνεῖλον. τοῦ δὲ πλήθους τῶν βαρβάρων συντρέχοντος ἐν ἀταξίᾳ πολλῇ, διὰ τὸ μηδέποτ' ἂν ἐλπίσαι τοὺς συγκεκλεισμένους τηλικαῦτα τολμήσειν, οὐ μετρίως ἡλαττοῦντο. εἰς ἕνα γὰρ τόπον ὀκτὼ μυριάδων συνδραμουσῶν, ἀτάκτως συνέβαινε

1 Αὐτοὺς ambo Reg.

2 Εἰς φόβον ἐνέβαλλον Venet. Alterutrum ex ſcholio eſt.

3 Εὐχερίαις Coislin. Vulgo εὐχερείαις.

4 Ἀνευθὺ τοὺς Reg. 1.

vero novae diei lux ingruit, non eo uſque ſibi cunctandum rati, dum, quod Selinuntiis obtigerat, per ignaviam prorſus includerentur, praeſidia in muris diſponunt: reliquas autem copias, adiunctis, quotquot aderant, ſociis, ad CCIↃↃ educunt. Et repentina hoſtes impreſſione adorti, magnum Barbaris pavorem incutiunt, quod ſociorum auxilia obſeſſis ſubvenire arbitrarentur. Audacia igitur manuumque promtitudine longe ſuperiores, &, quod praecipuum erat, unam ſalutis ſpem in felici huius pugnae ſucceſſu repoſitam habentes, primos quosque reſiſtentes ſtatim obtruncant. Mox licet Barbarorum multitudo agmine incompoſito accurreret, (eo namque audaciae proceſſuros fuiſſe obſeſſos nunquam ſperaverant) non modico tamen inferiores erant. Cum enim LXXX millia hominum in unum repente locum conflu-

τοὺς βαρβάρους ἀλλήλοις ἐμπίπτειν, καὶ πλείονα πάσχειν ὑφ' ἑαυτῶν ἤπερ ὑπὸ τῶν πολεμίων. οἱ δ' Ἱμεραῖοι θεατὰς ἔχοντες ἀπὸ τῶν τειχῶν γονεῖς καὶ παῖδας, ἔτι δὲ τοὺς οἰκείους ἅπαντας, ἀφειδῶς ἐχρῶντο τοῖς ἰδίοις σώμασιν εἰς τὴν κοινὴν σωτηρίαν· λαμπρῶς δ' αὐτῶν ἀγωνιζομένων, οἱ βάρβαροι τάς τε τόλμας καὶ τὸ παράδοξον καταπλαγέντες, πρὸς φυγὴν ἐτράπησαν. τούτων δ' οὐδενὶ κόσμῳ φευγόντων πρὸς τοὺς ἐπὶ τῶν λόφων στρατοπεδεύοντας, ἐπηκολούθουν, ἀλλήλοις παρακελευόμενοι μηδένα ζωγρεῖν· καὶ πλείους ἀνεῖλον τῶν ἑξακισχιλίων, ὡς Τίμαιος, ὡς δ' Ἔφορός φησι, δισμυρίων. ὁ δ' Ἀννίβας ὁρῶν τοὺς ἰδίους καταπονουμένους, κατεβίβασε τοὺς ἐπὶ τῶν λόφων κατεστρατοπεδευκότας, καὶ παραβοηθήσας τοῖς ἐλαττουμένοις, κατέλαβε τοὺς Ἱμεραίους ἐν οὐδεμιᾷ τάξει τὸν διωγμὸν ποιουμένους. γενομένης δὲ μάχης καρτερᾶς,

xiſſent, tumultuarie alii in alios incurrere, pluſque ſibi ipſis, quam hoſtibus, detrimenti afferre. Himeraei interea, quod parentes & liberos, omneſque ſuos domeſticos e muris ſpectatores haberent, ſua communi ſaluti corpora intrepide obiectare. His igitur tam ſtrenue dimicantibus, Barbari, audacia ſimul hoſtium & caſus inopinati ſtupore perculſi, terga obvertunt. Quibus, ſine ullo prorſus ordine ad caſtra ſuorum in colle refugientibus, Himeraei inſtant, &, ut nemo hoſtium vivus capiatur, alter alterum hortatur. Ibi ſupra ıↃↃ CIↃ, ut Timaeus recenſet, vel CCIↃↃ, ut Ephorus ſcriptum reliquit, trucidati. Hannibal igitur, ut ſuos efflictim laborantes vidit, milites, quos in caſtris habebat, deducit, & iam profligatis ſuppetias ferens, Himeraeos, perturbatis iam ordinibus inſectantes, adoritur. Cumque denuo acriter dimicari coe-

τὸ μὲν πλῆθος τῶν Ἱμεραίων πρὸς φυγὴν [1] ὥρμησεν· τρισχίλιοι δ᾽ αὐτῶν ὑποστάντες τὴν τῶν Καρχηδονίων δύναμιν, καὶ πολλὰ δράσαντες, ἅπαντες ἀνῃρέθησαν.

ξα΄. Τῆς δὲ μάχης ταύτης ἤδη τέλος ἐχούσης, κατέπλευσαν [2] πρὸς τὴν Ἱμέραν πέντε πρὸς ταῖς εἴκοσι τριήρεις παρὰ τῶν Σικελιωτῶν, ἃς πρότερον μὲν ἀπεστάλκεισαν τοῖς Λακεδαιμονίοις ἐπὶ συμμαχίαν· τότε δ᾽ ἀνέστρεψαν ἀπὸ τῆς στρατείας. διεδόθη δὲ καὶ φήμη τις κατὰ τὴν πόλιν, ὅτι Συρακούσιοι μὲν πανδημεὶ μετὰ τῶν συμμάχων πορεύονται τοῖς Ἱμεραίοις [3] βοηθήσειν, Ἀννίβας δὲ μέλλοι τὰς ἐν Μοτύῃ τριήρεις πληροῦν τῶν κρατίστων ἀνδρῶν, καὶ περιπλεύσας ἐπὶ Συρακούσας, ἔρημον τὴν πόλιν τῶν ἀμυνομένων καταλαβέσθαι. διόπερ Διοκλῆς ὁ τῶν [4] ἐν Ἱμέρᾳ στρατηγὸς συνεβούλευσε τοῖς ναυάρχοις τὴν ταχίστην ἐκπλεῖν εἰς Συρακούσας, ἵνα μὴ συμβῇ κατὰ κράτος ἁλῶναι τὴν

1 Ὥρμησαν Reg. 2.
2 Εἰς τὴν Coislin.
3 Βοηθήσειν Reg. 2. In vulg. legitur βοηθεῖν.
4 Ἱμεραίων Coisl. tum συνεβούλευε idem.

ptum esset, Himeraeorum tandem agmen in fugam sese effundit. Ter mille tamen totam Carthaginiensium aciem sustinent, & post multa egregiae virtutis facinora omnes ceciderunt.

LXI. Pugna vero iam peracta, XXV triremes, a Siculis pridem Lacedaemoniis subsidio missae, iamque domum reversae, appulerunt. Sed rumor tamen per urbem diditur, Syracusanos totis reipublicae suae viribus opitulatum Himeraeis adventare. Interim vero Hannibalem, impositis in triremes ad Motyen fortissimis militibus, Syracusas petiturum, ut urbem defensoribus vacuam adoriatur. Propterea Diocles, subsidiariorum Himerae ductor, navarchis consuluit, ut cursu quam citissimo Syracusas contenderent, ne, cum fortissimi in con-

πόλιν, ἀπολωλότων ἐν τῇ μάχῃ τῶν κρατίστων ἀνδρῶν. διόπερ ἐφαίνετο συμφέρειν αὐτοῖς ἐκλιπεῖν τὴν πόλιν, καὶ τοὺς μὲν ἡμίσεις εἰς τὰς τριήρεις ἐμβιβάσαι, (ταύτας γὰρ κατακομιεῖν αὐτοὺς, μέχρις ἂν ἐκτὸς τῆς [1] Ἱμεραίας γένωνται χώρας) τοῖς δ' ἡμίσεσι τηρεῖν, ἕως ἂν πάλιν αἱ τριήρεις ἐπιστρέψωσι. τῶν δ' Ἱμεραίων σχετλιαζόντων μὲν ἐπὶ τοῖς [2] λεγομένοις, οὐκ ἐχόντων δὲ ὃ πράξειαν ἕτερον, αἱ μὲν τριήρεις νυκτὸς ἐπληροῦντο κατὰ σπουδὴν ἀναμὶξ γυναικῶν τε καὶ παίδων, ἔτι δὲ τῶν ἄλλων σωμάτων [3] ἐπὶ τούτων ἀποπλεόντων ὡς ἐπὶ Μεσσήνην. Διοκλῆς δὲ τοὺς ἰδίους στρατιώτας ἀναλαβὼν, καὶ τοὺς πεσόντας ἐν τῇ μάχῃ καταλιπὼν, ὥρμησεν ἐπ' οἴκου τὴν πορείαν ποιούμενος. πολλοὶ δὲ τῶν Ἱμεραίων μετὰ τέκνων καὶ γυναικῶν ἐξώρμησαν σὺν τοῖς περὶ τὸν Διοκλῆν, μὴ δυναμένων χωρῆσαι τῶν τριήρων τὸν ὄχλον.

ξβ'. Οἱ δ' ἐν τῇ πόλει καταλειφθέντες διενυκτέ-

1 Ἱμέρας Coisl. 2 Λαλουμένοις Reg. 1. 3 Καὶ ἐπὶ Clar.

flictu proximo viri occubuerint, urbs sua per vim forte capiatur. Conducibile itaque visum, urbe tantisper relicta, dimidium agminis sui triremibus imponere, (quibus utique vehantur, donec fines Himeraeos excesserint) & dimidium ad urbis praesidium relinquere, quousque triremes revertantur. Moleste haec sententia Himerenses habuit: cum tamen nihil, quod facerent, aliud haberent, triremes admixtis simul mulieribus & pueris, aliisque Messanam transportandis, propere complentur. Tum Diocles, assumtis, quibus praeerat, militibus, & posthabitis interim cadaveribus in proelio caesorum, iter ad patrios lares faciendum insistit. Quem multi simul Himerensium cum uxoribus & liberis comitantur, quod tantae multitudini triremes transportandae non sufficerent.

LXII. Qui vero ad urbis tutelam relicti fuerant, in

ρευον μὲν ἐν τοῖς ὅπλοις ἐπὶ τῶν τειχῶν. ἅμα δ' ἡμέρα τῶν Καρχηδονίων περιστρατοπεδευσάντων τὴν πόλιν, καὶ πυκνὰς προσβολὰς ποιουμένων, οἱ καταλειφθέντες τῶν Ἱμεραίων ἀφειδῶς ἠγωνίζοντο, προσδοκῶντες τὴν νεῶν παρουσίαν. ἐκείνην μὲν οὖν τὴν ἡμέραν διεκαρτέρησαν· τῇ δ' ὑστεραίᾳ τῶν τριήρων ἐπιφαινομένων ἤδη, [1] συνέβαινε τὸ μὲν τεῖχος πεσεῖν ὑπὸ τῶν μηχανῶν, τοὺς δ' Ἴβηρας [2] ἀθρόους παρεισπεσεῖν εἰς τὴν πόλιν. τῶν δὲ βαρβάρων οἱ μὲν ἠμύνοντο τοὺς παραβοηθοῦντας τῶν Ἱμεραίων, οἱ δὲ, καταλαμβανόμενοι τὰ τείχη, παρεδέχοντο τοὺς ἰδίους. κατὰ κράτος οὖν ἁλούσης τῆς πόλεως, ἐπὶ πολὺν χρόνον οἱ βάρβαροι πάντας ἐφόνευον τοὺς καταλαμβανομένους ἀσυμπαθῶς· τοῦ δ' Ἀννίβα ζωγρεῖν παραγγείλαντος, ὁ μὲν φόνος ἔληξεν, ἡ δ' ἐκ τῶν οἰκιῶν εὐδαιμονία διεφορεῖτο.

Tandem vi expugnata urbe, Barbari immani caede grassantur, totamque urbem vastant.

1 Συνέβαινε μὲν τὸ Clar. 2 Ἀθρόας margo Steph.

armis pernoctantes, ad propugnacula murorum excubabant. Quamvis autem sub primam diei lucem Carthaginienses urbi circumfusi, crebris oppugnationem insultibus urgerent, praesidiarii tamen nulli parcendo labori certamen sustinent, cum navium paullo post reditum exspectarent. Ad illum igitur diem fortiter perseverarunt. At postridie, cum triremes procul in conspectum venirent, iam impetu machinarum deiectus erat murus, & Hispanorum cohors conferto in urbem agmine irruperat. Barbarorum itaque pars Himeraeos urbem tutantes repellit; pars, quae moenia iam occuparat, suos intro receptat. Tandem urbe penitus capta, Barbari, citra ullam humanitatis rationem, in obvios quosque immani caede grassantur, quoad Hannibalis edicto a lanienis cessatum fuit. Interim beatissimas aedium copias hostis praedam sibi faciens distrahit. Hannibal vero tem-

ὁ δ' Ἀννίβας τὰ μὲν ἱερὰ συλήσας, καὶ τοὺς καταφυγόντας ἱκέτας ἀποσπάσας ἐνέπρησε, καὶ τὴν πόλιν εἰς ἔδαφος κατέσκαψεν, οἰκισθεῖσαν ἔτη διακόσια τεσσαράκοντα. τῶν δ' αἰχμαλώτων γυναῖκάς τε καὶ παῖδας διαδοὺς εἰς τὸ στρατόπεδον παρεφύλαττε· τῶν δ' ἀνδρῶν τοὺς ἁλόντας εἰς τρισχιλίους ὄντας παρήγαγεν ἐπὶ τὸν τόπον, ἐν ᾧ πρότερον Ἀμίλκας ὁ πάππος αὐτοῦ ὑπὸ Γέλωνος ἀνῃρέθη, καὶ πάντας αἰκισάμενος [1] κατέσφαξε. μετὰ δὲ ταῦτα διαλύσας τὸ στρατόπεδον, τοὺς μὲν ἀπὸ Σικελίας συμμάχους [2] ἀπέστειλεν εἰς τὰς πατρίδας, μεθ' ὧν καὶ Καμπανοὶ συνηκολούθησαν, ἐγκαλοῦντες μὲν τοῖς Καρχηδονίοις, ὡς αἰτιώτατοι μὲν τῶν εὐημερημάτων γεγενημένοι, οὐκ ἀξίας δὲ χάριτας εἰληφότες τῶν πεπραγμένων. ὁ δ' Ἀννίβας εἰς τὰς μακρὰς ναῦς καὶ φορτηγοὺς ἐμβιβάσας τὴν δύναμιν, καὶ τοὺς ἱκανοὺς τοῖς συμμάχοις ἀπολιπὼν στρατιώτας, ἐξέπλευσεν ἐκ τῆς Σικελίας. ἐπεὶ δ' εἰς

Hannibal praeda onustus Carthaginem redit.

1 Ἀπέσφαξε Reg. 1. 2 Ἀπέπεμψεν Venet.

pla Deûm cum sacris exspoliat, & abstractis inde supplicibus, qui illuc confugerant, incendio populatur. Ipsam denique urbem solo aequat, per CCXL annos habitatam. Tum ex captivis feminas atque pueros per exercitum distributos, sub custodia asservari iussit; viros autem bello captos CIↃ CIↃ CIↃ circiter in collem illum subductos, ubi Amilcar olim avus ipsius a Gelone sublatus fuerat, omni contumeliae genere affectos iugulat. Exauctorato inde exercitu, Siculos etiam auxiliares dimittit: quibus Campani erant comites, de Carthaginiensium iniquitate conquerentes, quod, cum plurimum ad successus illorum momenti attulissent, parem tamen meritis gratiam haud referrent. Ceterum Hannibal, exercitu navibus tam onerariis, quam longis, imposito, praesidioque valido sociis relicto, e Sicilia cum classe solvit. Cum-

Καρχηδόνα κατέπλευσε μετὰ πολλῶν λαφύρων, ἀπήντων [1] αὐτῷ πάντες δεξιούμενοι καὶ τιμῶντες, ὡς ἐν ὀλίγῳ χρόνῳ μείζονα πράξαντα τῶν πρότερον στρατηγῶν.

Hermocrates, Syracus. olim praetor, per factionem in exsilium eiectus,

ξγʹ. Εἰς δὲ τὴν Σικελίαν κατέπλευσεν Ἑρμοκράτης ὁ Συρακούσιος. οὗτος δ' ἐν μὲν τῷ πρὸς Ἀθηναίους πολέμῳ στρατηγήσας, καὶ πολλὰ τῇ πατρίδι χρήσιμος γενόμενος, πλεῖστον ἴσχυσε παρὰ τοῖς Συρακουσίοις· μετὰ δὲ ταῦτα ναύαρχος πεμφθεὶς σὺν τριάκοντα πέντε τριήρεσι Λακεδαιμονίοις συμμαχήσων, ὑπὸ τῶν ἀντιπολιτευομένων κατεστασιάσθη, καὶ φυγῆς μὲν ἐγενήθη κατάδικος, τὸν δὲ στόλον παρέδωκεν ἐν Πελοποννήσῳ τοῖς ἐπὶ τὴν διαδοχὴν ἀποσταλεῖσιν. αὐτὸς δ' ἐκ τῆς στρατείας φιλίαν ἔχων πρὸς Φαρνάβαζον τὸν τῶν Περσῶν σατράπην, ἔλαβε παρ' αὐτοῦ πολλὰ χρήματα, μεθ' ὧν εἰς Μεσσήνην [2] καταπλεύσας, πέντε μὲν ἐναυπήγησε τριήρεις, χιλίους δ' ἐμισθώσατο στρα-

tum a Pharnabazo pecunia adiutus, in Siciliam rediit,

1 Αὐτῷ Coislin. Reg. uterque. αὐτὸν edd. 2 Ἀποπλεύσας Venet.

que magna spoliorum vi onustus Carthaginem appulisset, tota in occursum eius civitas sese effudit, cum plausu laetisque acclamationibus eum excipiens & honorans, quod brevi temporis spatio res longe maiores, quam alii prius duces, peregisset.

LXIII. Tum Hermocrates Syracusanus in Siciliam rediit. Is, quod in bello adversus Athenienses praetor magno patriae adiumento fuisset, multum inter Syracusanos auctoritate & gratia poterat. Praetor deinde cum XXXV triremibus ad suppetias Lacedaemoniis ferendum missus fuerat. Sed contrariae factionis annixu damnatus exsilioque multatus fuit, subrogatisque classem ducibus in Peloponneso tradidit. Cumque Pharnabazi iam pridem amicitiam sibi conciliasset, magna pecuniae vi ab eo instructus Messanam traiecit, & V triremibus illic aedificatis, mille armatos suo aere conduxit. Himeraeorum

τιώτας. παραλαβὼν δὲ καὶ τῶν ἐκπεπτωκότων [1] Ἱμεραίων ὡς χιλίους, ἐπεχείρησε μὲν εἰς Συρακούσας κατελθεῖν, συναγωνιζομένων αὐτῷ τῶν φίλων· ἀποτυχὼν δὲ τῆς ἐπιβολῆς, ὥρμησε διὰ τῆς μεσογείου, καὶ καταλαβόμενος τὸν Σελινοῦντα, καὶ τῆς πόλεως μέρος [2] ἐτείχισε, καὶ πανταχόθεν κατεκάλει τοὺς [3] διασωζομένους τῶν Σελινουντίων. πολλοὺς δὲ καὶ ἄλλους ὑποδεχόμενος εἰς τὸν τόπον, συνήγαγε δύναμιν ἐπιλέκτων ἀνδρῶν ἑξακισχιλίων. ἐντεῦθεν δ' ὁρμώμενος, πρῶτον μὲν τὴν τῶν Μοτυηνῶν ἐπόρθησε χώραν, καὶ τοὺς ἐπεξελθόντας ἐκ τῆς πόλεως μάχῃ τε κρατήσας, πολλοὺς μὲν ἀνεῖλε, τοὺς δ' ἄλλους συνεδίωξεν ἐντὸς τοῦ τείχους. μετὰ δὲ ταῦτα τήν τε τῶν [4] Πανορμιτῶν χώραν λεηλατήσας, ἀναριθμήτου λείας ἐκυρίευσε. τῶν δὲ Πανορμιτῶν πανδημεὶ παραταξαμένων πρὸ τῆς πόλεως, εἰς πεντακοσίους μὲν [5] αὐτῶν ἀνεῖλε, τοὺς δ'

& agros Carthaginensibus subiectos depopulatus,

1 Ἱμεραίους Vat. Coisl.
2 Ἐπετείχισε Reg. 1. Vat. non absurde.
3 Διασεσωσμένους Venet.
4 Πανορμητῶν Clarom. Reg. 2. plerumque.
5 Omittit Clarom.

praeterea, urbe patria extorrium, circiter mille assumtis, redire Syracusas, amicis adiutantibus, tentabat. Verum ubi hoc conatu frustratur, per mediterranea properans, Selinuntem occupat, & parte urbis moenibus inclusa, Selinuntios excidio superstites undique convocat. Aliis quoque compluribus in eum locum receptis, IↃↃ CIↃ virûm agmen lectissimorum contrahit. Inde erumpens, initio Motyenorum agros populatur, & egressos urbe proelio vincens, non paucos ex illis occidit: reliquorum fugientium turbam insectatus, intra moenia compellit. Mox Parnormitarum etiam fines excursionibus infestans, ingenti praeda potitur. Cumque universa civium multitudo instructa ante urbem acie ipsi occurreret, cir-

ἄλλους συνέκλεισεν ἐντὸς τῶν τειχῶν. παραπλησίως δὲ καὶ τὴν ἄλλην χώραν ἅπασαν, τὴν ὑπὸ Καρχηδονίους οὖσαν, πορθῶν, ἐπαίνου [1] παρὰ τοῖς Σικελιώταις ἐτύγχανεν. *gratiam popularium recuperavit.* εὐθὺς δὲ καὶ τῶν Συρακουσίων οἱ πλεῖστοι μετεμελήθησαν, ἀναξίως τῆς ἰδίας ἀρετῆς ὁρῶντες [2] πεφυγαδευμένον τὸν Ἑρμοκράτην. διὸ καὶ περὶ αὐτοῦ πολλῶν λόγων γινομένων ἐν ταῖς ἐκκλησίαις, ὁ μὲν δῆμος φανερῶς ἦν βουλόμενος καταδέχεσθαι τὸν ἄνδρα· ὁ δ' Ἑρμοκράτης ἀκούων τὴν περὶ [3] αὐτοῦ φήμην ἐν ταῖς Συρακούσαις, παρεσκευάζετο πρὸς [4] τὴν αὐτοῦ κάθοδον ἐπιμελῶς, εἰδὼς τοὺς ἀντιπολιτευομένους ἀντιπράξοντας. καὶ τὰ μὲν [5] κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

*Belli Pelop. historia continuata.*

ξδ'. Κατὰ δὲ τὴν Ἑλλάδα, Θρασύβουλος πεμφ-

1 Πᾶσι Coisl.
2 Ἐφυγαδευμένον idem.
3 Αὐτοῦ Reg. 1.
4 Τὴν αὐτοῦ Clar. Reg. 2. Vulgo τὴν αὐτήν.
5 Κατὰ τὴν Reg. 1. Coisl. Cett. articulum non habent.

citer 10 illorum caedit, ceteros moenibus includit. Sic dum alias quoque regiones, quae Carthaginiensium ditioni suberant, depopulatur omnes, magnam apud Siculos laudem meretur. Statim Syracusanos etiam plerosque poenitentia incessit, ubi viderunt, se, contra quam virtus tanta merebatur, exsilium Hermocrati irrogasse. Quare cum crebri de illo sermones in conventibus publicis iactarentur, voluntatem suam populus de reducendo viro non obscuris indiciis testatam faciebat. Hermocrates igitur, de celebri nominis sui fama apud Syracusanos certior factus, ad reditum sese obnixo studio comparat, sciens, aemulos & inimicos omni contentione refragaturos. Hoc equidem modo res tum Siculae se habebant.

LXIV. In Graecia vero Thrasybulus, cum navibus

θεὶς παρ' Ἀθηναίων μετὰ νεῶν τριάκοντα καὶ πολλῶν ὁπλιτῶν, σὺν ἱππεῦσιν ἑκατὸν, κατέπλευσεν εἰς τὴν Ἔφεσον. ἐκβιβάσας δὲ τὴν δύναμιν, κατὰ δύο τόπους προσβολὰς ἐποιήσατο. τῶν δ' ἔνδον ἐπεξελθόντων, καρτερὰν συνέβη μάχην συστῆναι. πανδημεὶ δὲ τῶν Ἐφεσίων ἀγωνισαμένων, τετρακόσιοι μὲν τῶν Ἀθηναίων ἔπεσον, τοὺς δ' ἄλλους ὁ Θρασύβουλος ἀναλαβὼν εἰς τὰς ναῦς, ἐξέπλευσεν εἰς Λέσβον. οἱ δὲ περὶ Κύζικον ὄντες τῶν Ἀθηναίων στρατηγοὶ, πλεύσαντες ἐπὶ Χαλκηδόνα, Χρυσόπολιν [1] ᾤκισαν φρούριον, καὶ τὴν ἱκανὴν αὐτῷ κατέλιπον δύναμιν. τοῖς δ' ἐπὶ τούτων καταστάθεισι προσέταξαν δεκάτην πράττεσθαι τοὺς ἐκ τοῦ Πόντου πλέοντας. μετὰ δὲ ταῦτα διελομένων αὐτῶν τὰς δυνάμεις, Θηραμένης μὲν μετὰ πεντήκοντα νεῶν κατελείφθη, πολιορκήσων Χαλκηδόνα καὶ Βυζάντιον· Θρασύβουλος δὲ περὶ Θρᾴκην πεμφθεὶς, τὰς ἐν τούτοις τοῖς τόποις πόλεις προσηγάγετο. Ἀλκιβιά-

Thrasybulus, Athen. dux, Epheso repulsus, Lesbum petit;

Theramenes Chalcedonem & Byzantium obsidet;

1 Ωἴκησαν Coislin. frequenti peccato.

XXX, magnaque armatorum manu, & C equitum turma ab Atheniensibus emissus, Ephesum transmittit, & exercitu duobus in locis exposito, urbem oppugnat. Erumpentibus autem oppidanis, atrox pugna committitur. Et quia totius civitatis robore certabatur, de Atheniensibus CCCC cecidere. Ceteris intra naves receptis, Thrasybulus ad Lesbum inde solvit. At ductores Atheniensium, qui ad Cyzicum haerebant, Chalcedonem devecti, castellum quoddam Chrysopolim condunt, eique praesidium, quod tutando loco sufficeret, imponunt. Praefectis insuper mandant, ut decimas a navigantibus ex Ponto exigerent. Divisis inde copiis, Theramenes cum L navibus ad Chalcedonem & Byzantium obsidendum relinquitur. Thrasybulus autem, in Thraciam missus, regionis illius urbes imperio subiungit. Tum Alcibiades, Thrasy-

Alcibiades pecuniae vim e Pharnabazi provincia exigit.

δης δὲ [1] τὸν Θρασύβουλον μετὰ τῶν τριάκοντα νεῶν ἀπολύσας, [2] ἔπλευσεν εἰς τὴν ὑπὸ Φαρνάβαζον χώραν, καὶ κοινῇ πολλὴν αὐτῆς πορθήσαντες, τούς τε στρατιώτας ἐνέπλησαν ὠφελείας, καὶ αὐτοὶ χρήματα συνήγαγον ἐκ τῶν λαφύρων, βουλόμενοι κουφίσαι τὸν δῆμον τῶν εἰσφορῶν. Λακεδαιμόνιοι δὲ πυνθανόμενοι περὶ τὸν Ἑλλήσποντον ὑπάρχειν ἁπάσας τὰς τῶν Ἀθηναίων δυνάμεις, ἐστράτευσαν ἐπὶ Πύλον, ἣν Μεσσήνιοι φρουρᾷ κατεῖχον, κατὰ μὲν θάλατταν ἕνδεκα ναυσὶν, ὧν ἦσαν αἱ μὲν ἀπὸ Σικελίας πέντε, ἐκ τῶν πολιτῶν πεπληρωμέναι· πεζῇ δὲ παρήγαγον ἱκανὴν δύναμιν, καὶ περιστρατεύσαντες τὸ φρούριον, ἐπόρθουν ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ἃ δὴ πυθόμενος ὁ τῶν Ἀθηναίων δῆμος, ἐξαπέστειλε τοῖς πολιορκουμένοις εἰς βοήθειαν ναῦς τριάκοντα, καὶ στρατηγὸν Ἄνυτον τὸν Ἀνθεμίωνος. οὗτος μὲν οὖν ἐκπλεύσας, καὶ διά τινας

Pylus, quam Messenii tenebant, a Lacedaemoniis recuperata.

1 Τὸν μὲν Coislin. 2 Ἐπέπλευσεν Reg. 1.

bulo cum navibus XXX dimisso, ipse Pharnabazi provinciae classem appellit. Ibi communi excursione magnum eius tractum depraedantes, emolumentis militem amplissimis locupletant, ipsique duces magnam pecuniae vim ex spoliorum venumdatione colligunt, eo nimirum consilio, ut populum contributionis onere levarent. Lacedaemonii interim, audito, universas Atheniensium circa Hellespontum copias adhuc morari, Pylum, quam Messenii tunc praesidio tenebant, infesto exercitu petunt: mari quidem naves XI, quarum V erant Siculae, civibus Spartanis completae, terra vero non mediocre agmen expedierant. Tum castellum, exercitu undique cinctum, terra simul & mari oppugnant. Quo nuntio accepto, populus Atheniensis XXX naves ad defensionem obsessorum mittit, Anyto Praetore, Anthemionis filio. Hic iter

χειμῶνας οὐ δυνηθεὶς [1] τὸν Μαλέαν κάμψαι, ἀπέπλευσεν εἰς Ἀθήνας. ἐφ᾽ οἷς ὁ μὲν δῆμος ὀργισθεὶς, καὶ καταιτιασάμενος αὐτοῦ προδοσίαν, μετέστησεν εἰς κρίσιν. ὁ δ᾽ Ἄνυτος ἰσχυρῶς κινδυνεύων, ἐρρύσατο χρήμασι τὴν ἰδίαν ψυχὴν, καὶ πρῶτος Ἀθηναίων δοκεῖ δικαστήριον δωροδοκῆσαι. οἱ δ᾽ ἐν τῇ Πύλῳ Μεσσήνιοι μέχρι μέν τινος ἀντεῖχον, προσδοκῶντες παρὰ τῶν Ἀθηναίων βοήθειαν· ὡς δ᾽ οἱ μὲν πολέμιοι [2] τὰς προσβολὰς ἐκ διαδοχῆς ἐποιοῦντο, τῶν δὲ ἰδίων οἱ μὲν ἐκ τῶν τραυμάτων ἀπέθνησκον, οἱ δ᾽ ἐκ τῆς σιτοδείας [3] κακῶς ἀπήλλαττον, ὑπόσπονδοι τὸν τόπον ἐξέλιπον. Λακεδαιμόνιοι μὲν οὖν ἐγκρατεῖς ἐγένοντο τῆς Πύλου, πεντεκαίδεκα ἔτη τῶν Ἀθηναίων αὐτὴν κατεσχηκότων, [4] ἀφ᾽ ὅτου Δημοσθένης αὐτὴν ἐτείχισε.

ξε΄. Τούτων δὲ πραττομένων, Μεγαρεῖς μὲν Νι- Iidem & Megarenses

1 Articulus notam defectus habet in Steph. ed. Τὸν Μαλαῖον Vat. Reg. 1. Μαλλαῖον Coislin.
2 Τὰς μὲν Clarom.
3 Κακῶς τὸν βίον ἀπήλλαττον Ven. ex glossa, sed prava.
4 Ἀφότε Coisl. ἀφότου Reg. 2.

ingressus, cum adversantibus maris procellis Maleam superare nequiret, Athenas revertitur. Quo facto populus ad iram commotus, proditionis hominem incusat, diemque illi dicit. In magnum igitur periculum Anytus adductus, pecunia vitam redemit. Et hic primus exstitisse fertur, qui largitionibus iudicium Athenis corrupit. Interim circumsessi in Pylo Messenii hostis impetum ad tempus sustinent, auxilium Athenis exspectantes. At cum per novas subinde successiones impugnarentur, & hinc vulneribus confecti occumberent, inde annonae penuria affligerentur, salutem pacti, loco excesserunt. Sic Pylus in Lacedaemoniorum potestatem rediit, cum XV illam annis tenuissent Athenienses, ex quo Demosthenes locum illum munivit.

LXV. Dum haec geruntur, Megarenses Nisaeam,

Nisaeam capiunt, Chiumque.

σαίαν ὑπ' Ἀθηναίους οὖσαν εἷλον. Ἀθηναῖοι δ' ἐπ' αὐτοὺς ἀπέστειλαν Λεωτροφίδην καὶ Τίμαρχον, μετὰ μὲν πεζῶν χιλίων, ἱππέων δὲ τετρακοσίων. οἷς οἱ Μεγαρεῖς ἀπαντήσαντες μετὰ τῶν ὅπλων πανδημεὶ, καὶ παραλαβόντες τινὰς τῶν ἐκ Σικελίας, παρετάξαντο πρὸς τοῖς λόφοις, τοῖς Κέρασι καλουμένοις. τῶν δ' Ἀθηναίων λαμπρῶς ἀγωνισαμένων, καὶ [1] πολλαπλασίους ὄντας τοὺς πολεμίους τρεψαμένων, Μεγαρέων ἔπεσον μὲν πολλοὶ, τῶν δὲ Λακεδαιμονίων εἴκοσι μόνον. οἱ γὰρ Ἀθηναῖοι βαρέως φέροντες ἐπὶ τῷ τὴν Νισαίαν κατειλῆφθαι, τοὺς μὲν Λακεδαιμονίους οὐκ ἐδίωξαν, πρὸς δὲ τοὺς Μεγαρεῖς χαλεπῶς διακείμενοι, παμπληθεῖς ἀνεῖλον. Λακεδαιμόνιοι δὲ Κρατησιππίδαν ἑλόμενοι ναύαρχον, καὶ παρὰ τῶν συμμάχων ναῦς [2] αὐτῶν πληρώσαντες εἰκοσιπέντε, προσέταξαν παραβοηθεῖν τοῖς συμμάχοις. οὗτος δὲ χρόνον μέν τινα περὶ τὴν Ἰω-

1 Πολλαπλασίας Vat. Coislin. 2 Αὐτῶν Reg. 2.

quae sub Atheniensium iure tum erat, capiunt. Athenienses igitur contra illos Leotrophidem & Timarchum cum peditatu CIↃ, & CCCC equitatu mittunt. Quibus universa Megarensium multitudo in armis occursat, &, nonnullis e Sicilia assumtis, in collibus, qui Cornua dicuntur, aciem suam instruunt. Ibi cum strenue ab Atheniensibus dimicaretur, hostem, qui tamen numero longe superabat, in fugam coniiciunt. Ingens tum Megarensium strages facta: de Lacedaemoniis XX tantum ceciderunt. Athenienses enim, Nisaeam sibi ereptam permoleste ferentes, Lacedaemoniis omissis, totum persecutionis impetum in Megarenses convertunt, animisque exacerbatis, magnum illorum numerum trucidant. Lacedaemonii sub haec Cratesippidam, classis praetorem creatum, cum XXV navibus, quas sociorum auxiliis compleverant, confoederatis succurrere iubent. Hic nihil memo-

νίαν διέτριψεν, οὐθὲν ἄξιον λόγου πράξας· μετὰ δὲ ταῦτα παρὰ τῶν ἐκ Χίου φυγάδων λαβὼν χρήματα, κατήγαγεν αὐτοὺς, καὶ τὴν ἀκρόπολιν τῶν Χίων κατελάβετο. οἱ δὲ κατελθόντες τῶν Χίων τῶν ἀντιπολιτευομένων αὐτοῖς καὶ [1] τῆς ἐκπτώσεως αἰτίων ὄντων εἰς ἑξακοσίους τὸν ἀριθμὸν ὄντας ἐφυγάδευσαν. οὗτοι δὲ τῆς ἀντιπέραν ἠπείρου χωρίον Ἀταρνέα καλούμενον κατελάβοντο, σφόδρα τῇ φύσει καθεστηκὸς ὀχυρόν· καὶ τὸ λοιπὸν ἐκ τούτου τὰς ἀφορμὰς ἔχοντες ἐπολέμουν τοῖς τὸ [2] Ἰσχίον ἔχουσι.

ξστ'. Τούτων δὲ πραττομένων, Ἀλκιβιάδης καὶ Θρασύβουλος Λάβδακον τειχίσαντες, ἐν μὲν ταύτῃ τὴν ἱκανὴν φυλακὴν κατέλιπον, αὐτοὶ δὲ μετὰ τῆς δυνάμεως ἐξέπλευσαν πρὸς Θηραμένην, ὃς ἐπόρθει τὴν [3] Χαλκηδόνα, ναῦς μὲν ἔχων ἑβδομήκοντα, στρατιώτας δὲ πεντακισχιλίους. ἀθροισθεισῶν δὲ τῶν δυνάμεων εἰς ἕνα τόπον, ἀπετείχισαν τὴν πόλιν ἀπὸ θαλάττης εἰς θά-

Lacedaemonii ad Chalcedonem proelio victi,

1 Τῆς ἐκπτώσεως αἰτίους ὄντας X. Vat. solus. Cett. ignorant voces αἰτίους ὄντας.

2 Ἰσχίον ora Steph. Vat. Coisl. Clar. Reg. 2. Vulgo Ἰσχύον.

3 Χαλκηδόνων Coisl.

rabile gerens, tempus aliquod circa Ioniam contrivit. Poſt, eiectorum e Chio pecunia inſtructus, tum illos reduxit, tum arcem Chiorum occupavit. Reverſi igitur, adverſarios & exſilii ſui auctores numero IↃC urbe expellunt. Qui locum in oppoſita continente, natura ſua praeclare munitum, (Atarneus illi nomen,) occupant, & hinc deinceps praepotentes in Chio bello laceſſebant.

LXVI. In hoc negotiorum curſu Alcibiades & Thraſybulus, munita Labdaco, idoneum ibi praeſidium relinquunt, & ad Theramenem, qui tunc Chalcedonem oppugnabat, LXX naves & IↃↃ milites ſub imperio habens, exercitum tranſducunt. Contractis igitur in unum locum copiis, ligneo urbem muro, ex mari ad mare ducto,

λατταν ξυλίνῳ τείχει. ὁ δ᾽ ἐν τῇ πόλει καθιστάμενος ὑπὸ Λακεδαιμονίων Ἱπποκράτης ἡγεμὼν (ὃν οἱ Λάκωνες ἁρμοστὴν ἐκάλουν) τούς τ᾽ ἰδίους στρατιώτας ἀντεξήγαγε καὶ τοὺς Χαλκηδονίους ἅπαντας. γενομένης δὲ καρτερᾶς μάχης, καὶ τῶν περὶ τὸν Ἀλκιβιάδην [1] ἐῤῥωμένως ἀγωνισαμένων, ὅ, τε Ἱπποκράτης ἔπεσε, καὶ τῶν λοιπῶν οἱ μὲν ἀνῃρέθησαν, οἱ δὲ κατατρωθέντες συνέφυγον εἰς τὴν πόλιν. μετὰ δὲ ταῦτα Ἀλκιβιάδης μὲν εἰς Ἑλλήσποντον καὶ Χεῤῥόνησον ἐξέπλευσε, βουλόμενος ἀθροῖσαι χρήματα· οἱ δὲ περὶ τὸν Θηραμένην ὁμολογίαν ἐποιήσαντο πρὸς Χαλκηδονίους, φόρον λαμβάνειν παρ᾽ αὐτῶν ὅσον καὶ πρότερον. ἐντεῦθεν δὲ τὰς δυνάμεις ἀπαγαγόντες πρὸς Βυζάντιον, ἐπολιόρκουν τὴν πόλιν, καὶ μετὰ πολλῆς σπουδῆς ἀποτειχίζειν ἐπεχείρησαν. Ἀλκιβιάδης δὲ ἀθροίσας χρήματα, πολλοὺς [2] αὐτῷ τῶν Θρᾳκῶν ἔπεισε συστρατεύ-

Hippocrates, eorum imperator, caesus.

Alcibiadis in Thraciam expeditio.

1 Ἐῤῥαμένως Stephan. margo, Clar. Coisl. Reg. 1. Vat. Venet. Λαμπρῶς edd. Paullo ante ἀντεξήγαγε Venet. quod praefero. Edd. προσήγαγε.

2 Αὐτῷ Reg. uterque.

incluſerunt. Hippocrates ergo, Praetor a Lacedaemoniis illic conſtitutus, (Harmoſten illi vocant) & ſuos milites & Chalcedonios univerſos in aciem eduxit. Conſertoque proelio, cum Alcibiades cum ſuis fortiſſime decertaret, Hippocrates cecidit, & reliqui partim necati ſunt, partim vulneribus confecti ad urbem refugere. Hinc Alcibiades in Helleſpontum & Cherſoneſum traiecit, ut pecuniis colligendis operam daret. At Theramenes cum Chalcedoniis ita convenit, ut, quantum ſtipendii prius ſolviſſent, etiam deinceps contribuerent, & abductis inde copiis ad Byzantium, oppidum circumſedit, omnique ſtudio munimentis intercludere exitum contendit. Alcibiades interim, pecuniae vi contracta, Thracum plurimos ad ſtipendia ſecum facienda adducit. Univerſis quo-

σαι. παρέλαβε δὲ καὶ τοὺς Χεῤῥόνησον οἰκοῦντας πανδημεὶ, καὶ μετὰ πάσης δυνάμεως ἀναζεύξας, πρῶτον μὲν [1] Σηλυβρίαν διὰ προδοσίας εἷλεν, ἐξ ἧς πολλὰ χρήματα πραξάμενος, ἐν μὲν ταύτῃ φρουρὰν κατέλιπεν, αὐτὸς δὲ διὰ τάχους ἧκε πρὸς τοὺς περὶ Θηραμένην εἰς Βυζάντιον. ἀθροισθεισῶν δὲ τῶν δυνάμεων, οὗτοι μὲν τὰ πρὸς πολιορκίαν ἡτοιμάζοντο. ἤμελλον γὰρ [2] νικήσειν πόλιν βάρος ἔχουσαν, καὶ γέμουσαν τῶν ὑπὲρ αὐτῆς ἀμυνομένων. χωρὶς γὰρ τῶν Βυζαντίων πολλῶν ὄντων, Κλέαρχος ὁ Λακεδαιμόνιος ἁρμοστὴς εἶχε πολλοὺς ἐν τῇ πόλει τῶν Πελοποννησίων, καὶ μισθοφόρους. μέχρι μὲν οὖν τινος προσβολὰς [3] ποιούμενοι, κακὸν οὐδὲν ἀξιόλογον δρῶντες τοὺς ἔνδον διετέλουν· ἐπεὶ δ' ὁ τῆς πόλεως ἐπιστάτης ἀπῆλθε πρὸς Φαρνάβαζον ὅπως λάβῃ χρήματα, τηνικαῦτά τινες τῶν Βυζαντίων, μισοῦντες τὸ βάρος τῆς ἐπιστασίας (ἦν γὰρ ὁ Κλέαρ- Byzantium obsessum;

1 Σηλυβρίαν Clar. Reg. 2. Vulgo Σηλυμβρίαν.

2 Νικῆσαι Coisl. Reg. 1.

3 Ποιούμενος Coislin.

que Chersonesi incolis in societatem acceptis, cum toto inde exercitu solvit, & statim Selybriam deditione capiens, ingentem ab illa pecuniam extorquet, relictoque illic praesidio, citato ad Theramenem cursu Byzantium contendit. Coactisque denuo copiis, ad oppugnationem se totos comparant. Subigenda enim urbs erat molis non exiguae, & propugnatoribus strenuis referta. Nam praeter numerosam Byzantiorum multitudinem, Clearchus harmostes Lacedaemonius magnum ex Peloponnesiis & mercenariis praesidium in urbe habebat. Ad tempus igitur quamvis oppugnationem fortiter urgerent, nullum tamen memorabile obsessis damnum inferre poterant. Postquam vero civitatis praefectus ad Pharnabazum pecuniae accipiendae gratia se contulisset, Byzantiorum nonnulli, quos imperii illius odium taediumque ceperat,

χος χαλεπὸς) προὔδωκαν τὴν πόλιν τοῖς περὶ τὸν Ἀλκιβιάδην.

proditione tandem in Atheniensium potestatem redactum.

ξζ'. Οὗτοι δὲ ὡς [1] λύσοντες τὴν πολιορκίαν, καὶ τὰς δυνάμεις ἀπάξοντες εἰς Ἰωνίαν, δείλης ταῖς ναυσὶ πάσαις ἐξέπλευσαν, καὶ τὸ πεζὸν στράτευμα μέχρι τινὸς ἀπαγαγόντες, ὡς ἐπέλαβεν ἡ νὺξ, πάλιν ὑπέστρεψαν, καὶ περὶ μέσας τὰς νύκτας προσέμιξαν τῇ πόλει· καὶ τὰς μὲν τριήρεις ἀπέστειλαν, προστάξαντες ἀφέλκειν τὰ πλοῖα, καὶ κραυγὴν ποιεῖν ὡς ἁπάσης ἐκεῖ τῆς δυνάμεως οὔσης. αὐτοὶ δὲ μετὰ τοῦ πεζοῦ στρατεύματος πρὸς τοῖς τείχεσιν [2] ἐτήρουν τὸ συντεταγμένον παρὰ τῶν ἐνδιδόντων σύσσημον. τῶν δ' ἐν ταῖς τριήρεσι ποιησάντων τὸ προσταχθὲν, καὶ τῶν πλοίων τὰ μὲν συντριβόμενα ταῖς ἀποστολαῖς, τὰ δ' ἀπὸ τῶν χρωμένων ταῖς σιδηραῖς χερσὶν, ἔτι δὲ βοὴν ἐξαίσιον ποιούντων, οἱ μὲν κατὰ τὴν πόλιν ὄντες Πελοποννήσιοι,

1 Λύσαντες Reg. uterque, & Cl. 2 Ἐτηροῦντο συντεταγμένον Co.

(asper enim & immitis erat Clearchus) urbem hoc modo Alcibiadi produnt.

LXVII. Hostes obsidionem solvere, exercitumque in Ioniam traiicere se velle simulantes, ad vesperam cum tota classe inde solvunt, & pedestri agmine quodamtenus abducto, quamprimum nox ingruit, retro se convertunt, & intempesta nocte urbi succedunt. Praemiserant autem triremes cum his mandatis, ut navigia Byzantiorum avellerent, & ingentem simul vociferatum excitarent, ac si omnis adesset exercitus. Ipsi interea pedestribus cum copiis ad moenia signum, quod convenerat, ut a proditoribus daretur, exspectabant. Classiariis imperata exsequentibus, dum navium aliae incursu rostrorum franguntur, aliae ferrearum iniectu manuum trahuntur, & horrendus insuper clamor attollitur, Peloponnesii in urbe mi-

καὶ πάντες οἱ τὴν ἀπάτην ἀγνοοῦντες, ἐξεβοήθουν ἐπὶ τοὺς λιμένας. διόπερ οἱ τὴν πόλιν προδιδόντες ἦραν τὸ σύσσημον ἀπὸ τοῦ τείχους, καὶ παρεδέχοντο τοὺς περὶ τὸν Ἀλκιβιάδην διὰ τῶν κλιμάκων, κατὰ πολλὴν ἀσφάλειαν· ὡς ἂν τοῦ πλήθους ἐπὶ τὸν λιμένα συνδεδραμηκότος. οἱ δὲ Πελοποννήσιοι πυθόμενοι τὸ γεγονὸς, τὸ μὲν πρῶτον τοὺς ἡμίσεις ἐπὶ τοῦ λιμένος ἀπέλιπον, τοῖς δὲ λοιποῖς κατὰ σπουδὴν ἐξεβοήθουν ἐπὶ τὰ κατειλημμένα τείχη. ἤδη σχεδὸν πάσης τῆς δυνάμεως τῶν Ἀθηναίων παρεισπεπτωκυίας, ὅμως οὐ κατεπλάγησαν, ἀλλὰ πολὺν χρόνον [1] ἀντιστάντες, εὐρώστως [2] τοὺς Ἀθηναίους ἠμύνοντο, συναγωνιζομένων τῶν Βυζαντίων· καὶ πέρας, οὐκ ἂν ἐκράτησαν Ἀθηναῖοι τῆς πόλεως διὰ μάχης, εἰ μὴ συννοήσας τὸν καιρὸν Ἀλκιβιάδης ἐκήρυξε [3] μηδὲν ἀδίκημα ποιεῖν τοῖς Βυζαντίοις. οὕτω γὰρ οἱ πολιτικοὶ μεταβαλλόμενοι, τοὺς

1 Ἀντιστάντες Ven. Edd. ἀντιστάντων.

2 Desunt Reg. 1. duo haec.

3 Μηδὲ Clarom.

lites, & ceteri fraudis nescii, ad defensionem urbis in portus excurrunt. Interea proditores, signo de muris ostenso, Alcibiadis militem per scalas in urbem quam tutissime recipiunt, cum omnis iam turba in portum se effudisset. At Peloponnesii, fraude intellecta, divisis repente copiis dimidium in portu relinquunt, cum ceteris raptim ad muri iam occupati defensionem accurrunt. Quamquam vero totus iam Atheniensium exercitus irruperat, metu tamen nequaquam absterrentur, sed ad longum obnixi tempus, Athenienses magna roboris contentione reprimunt, auxiliantibus etiam Byzantinis, adeo, ut urbs tandem in Atheniensium potestatem non venisset, nisi, quid in rem tunc esset, probe consideratum habens Alcibiades, praeconis voce, nulla Byzantios iniuria affectum iri, proclamasset. Ita mutatis oppidani

Πελοποννησίους ἠμύνοντο. ὅθεν οἱ πλεῖστοι μὲν αὐτῶν ἀνῃρέθησαν,[1] εὐγενῶς ἀγωνισάμενοι, οἱ δὲ περιλειφθέντες εἰς πεντακοσίους κατέφυγον πρὸς[2] τοὺς ἐν τοῖς ἱεροῖς βωμούς. οἱ δ' Ἀθηναῖοι τοῖς μὲν Βυζαντίοις ἀπέδωκαν τὴν πόλιν, συμμάχους αὐτοὺς ποιησάμενοι· πρὸς δὲ τοὺς ἐπὶ τοῖς βωμοῖς ὄντας ἱκέτας ὁμολογίας ἔθεντο, τὰ μὲν ὅπλα παραλαβεῖν, τὰ δὲ σώματα εἰς Ἀθήνας[3] κομίσαντας, ἐπιτρέψαι τῷ δήμῳ περὶ αὐτῶν.

Olymp. XCIII, 1.

ξη'. Τοῦ δ' ἔτους διελθόντος Ἀθηναῖοι μὲν[4] Εὐκτήμονι παρέδωκαν τὴν ἀρχὴν, Ῥωμαῖοι δ' ὑπάτους κατέστησαν Μάρκον Παπίριον καὶ Σπόριον Ναύτιον, Ὀλυμπιὰς δ' ἐγένετο τρίτη πρὸς ταῖς ἐνενήκοντα, καθ' ἣν ἐνίκα στάδιον[5] Εὔβατος Κυρηναῖος. περὶ δὲ τούτους τοὺς χρόνους οἱ τῶν Ἀθηναίων στρατηγοὶ Βυζαντίου κυριεύσαντες, ἐπῆλθον τὸν Ἑλλήσποντον, καὶ τὰς ἐν αὐτῷ πόλεις πλὴν Ἀβύδου πάσας εἷλον. μετὰ δὲ ταῦτα

Relicto Byzantii praesidio, subactisque Hellesponti urbibus,

1 Λαμπρῶς Reg. 1.
2 Τοῖς -- βωμοῖς Clar.
3 Κομίσαντες Coislin.
4 Εὐκτίμονι Reg. 2. mox Παπύριον omnes.
5 Εὔατος Reg. 1.

animis in Lacedaemonios arma convertunt. Ex his ergo plerique, generosis animis dimicantes, occubuerunt. Reliqui circiter 10 ad aras Deûm in templis supplices confugere. Tum restituta Byzantiis urbe, societatis foedus cum illis renovatur. Supplices autem hac conditione in fidem recipiuntur, ut armis traditis Athenas transportentur, ubi populi arbitrio de ipsis statuatur.

LXVIII. Finito hoc anno, magistratum Euctemoni tradunt Athenienses, a Romanis vero M. Papirius & Spurius Nautius Consules creantur. Et tunc Olympias tertia supra nonagesimam celebrabatur, in qua stadii victoriam adeptus est Eubatus Cyrenaeus. Hoc tempore Atheniensium duces, Byzantio potiti, Hellespontum aggressi cunctas in eo urbes, praeter Abydum, sub imperium suum

Διόδωρον καὶ Μαντίθεον ἐπιμελητὰς μετὰ τῆς ἱκανῆς δυνάμεως κατέλιπον· αὐτοὶ δὲ μετὰ τῶν νεῶν καὶ τῶν λαφύρων ἔπλεον εἰς Ἀθήνας, πολλὰ καὶ μεγάλα [1] κατειργασμένοι τῇ πατρίδι. ὡς δ' ἐγγὺς ἦσαν, ὁ δῆμος ἅπας ἀπήντα περιχαρὴς ἐπὶ τοῖς εὐημερήμασι· συνέδραμον δ' εἰς τὸν Περαιᾶ πολλοὶ καὶ τῶν ξένων, ἔτι δὲ παίδων καὶ γυναικῶν. εἶχε γὰρ πολλὴν κατάπληξιν τῶν στρατηγῶν ὁ κατάπλους. ἦγον γὰρ τῶν ἡλωκυιῶν νεῶν οὐκ ἐλάττους διακοσίων, αἰχμαλώτων δὲ ἀνδρῶν καὶ λαφύρων πλῆθος· εἶχον δὲ τὰς ἰδίας τριήρεις ὅπλοις ἐπιχρύσοις καὶ στεφάνοις, ἔτι δὲ λαφύροις καὶ τοῖς ἄλλοις ἅπασιν ἐπιμελῶς κεκοσμημένας. πλεῖστοι δ' ἐπὶ τὴν Ἀλκιβιάδου θέαν συνέδραμον ἐπὶ τοὺς λιμένας, ὥστε παντελῶς ἐρημωθῆναι τὴν πόλιν, [2] συμφιλοτιμουμένων τοῖς ἐλευθέροις τῶν δούλων.

Athen. imperatores cum classe spoliis referta Athenas contendunt.

Accepti maximo applausu;

inprimis Alcibiades,

1 Κατεργασάμενοι Ven. κατηργασ. Clarom.

2 Φιλοτιμουμένων Coislin.

redigunt. Tum Diodorum & Mantitheum cum praesidio satis valido ibi relinquunt: ipsi vero cum classe spoliis onusta Athenas repetunt, multis & praeclaris rebus pro salute ac gloria patriae confectis. Iamque in propinquo erant, cum populus, ob rem bene gestam laetitia exsultabundus, in occursum illorum se effundit. Magnusque simul advenarum & puerorum, feminarumque numerus excurrit in Piraeeum, cum omnes praetorum reditus in admirationem sui raperet. Naves enim captas adducebant, non pauciores ducentis, magnamque captivorum & spoliorum multitudinem, suas etiam triremes, armis inauratis, & coronis manubiisque, & id genus aliis magnifice exornatas habebant. Alcibiadis inprimis visendi studio maximus in portu confluxus hominum fiebat, adeo quidem, ut urbs paene vacua relinqueretur, dum servi iuxta ac liberi spectaculi eius cupiditate flagrant.

cuius ingenii animique magnitudinem oriſque ſummam ſuavitatem hiſtoricus deſcribit.

κατ' ἐκείνους γὰρ τοὺς χρόνους οὕτω συνέβη θαυμασθῆναι τὸν ἄνδρα τοῦτον, ὥσθ' οἱ μὲν ὑπερέχοντες τῶν Ἀθηναίων μόγις ἐνόμιζον εὑρηκέναι δυνατὸν ἄνδρα [1] τοῦτον, φανερῶς καὶ θρασέως ἀντιτάξασθαι τῷ δήμῳ δυνάμενον, οἱ δ' ἄποροι [2] ὑπειλήφεισαν συναγωνιστὴν ἕξειν ἄριστον, τὸν ἀπονενοημένως συνταράξοντα τὴν πόλιν, καὶ τὴν ἑαυτῶν ἐπανορθώσοντα πενίαν. θράσει γὰρ πολὺ διέφερε τῶν ἄλλων, καὶ δεινότατος ἦν εἰπεῖν, καὶ κατὰ μὲν τὴν στρατείαν ἄριστος, κατὰ δὲ τὴν τόλμαν πρακτικώτατος. ἦν δὲ καὶ τὴν ὄψιν καθ' ὑπερβολὴν εὐπρεπής, καὶ τὴν ψυχὴν λαμπρὸς καὶ μεγαλεπήβολος. καθόλου δὲ τηλικαύτην ὑπόληψιν εἶχον ὑπὲρ αὐτοῦ σχεδὸν ἅπαντες, ὥσθ' ἅμα τῇ ἐκείνου καθόδῳ καὶ τὴν τῶν πραγμάτων εὐτυχίαν εἰς τὴν πόλιν ἥκειν [3] διελάμβανον. πρὸς δὲ τούτοις, ὥσπερ Λακεδαιμόνιοι τούτου συναγωνιζομένου [4] ἐπροτέρουν, οὕτως

1 Ὡς τοῦτον ſolus Venet.
2 Ὑπειλήφθησαν Vat. Cl. Reg. 1.
3 Ὑπελάμβανον Reg. 1.
4 Προετέρουν omnes.

Illa enim tempeſtate in tanta nomen Alcibiadis admiratione habebatur, ut primores Athenienſium vix parem huic viro inveniri poſſe iudicarent, qui tam aperte & confidenter populi conatibus opponere ſe poſſet: inopes vero optimum propugnatorem habituros ſperabant, qui temere perturbato reipublicae ſtatu egeſtatis ſibi onus allevaret. Singularis in homine prae ceteris audacia erat, ſummaque vis dicendi. In bellis tam miles, quam dux optimus, & ad res audacter gerendas apprime ſtrenuus. Adſpectum formae dignitas eximia commendabat: animus illi magnificus, & rerum maximarum appetens. Eam denique in omnium animis exſpectationem de ſe concitarat, fore nimirum, ut cum illius reditu ſimul etiam felicitas in urbem rediret. Praeterea, quemadmodum Lacedaemonii adiutante illo ſucceſſibus proſperis viciſſent,

ἑαυτοὺς πάλιν κατορθώσειν ἤλπιζον, σύμμαχον ἔχοντες τὸν ἄνδρα τοῦτον.

ξθʹ. Ἐπεὶ δ' οὖν κατέπλευσεν ὁ στόλος, ἐπέστρεψε τὸ πλῆθος ἐπὶ τὴν Ἀλκιβιάδου ναῦν, ἐξ ἧς ἐκβάντα τὸν ἄνδρα πάντες ἐδεξιοῦντο, τοῖς εὐημερήμασιν ἅμα καὶ τῇ καθόδῳ συγχαίροντες. ὁ δ' ἀσπασάμενος τὰ πλήθη φιλανθρώπως, ἐκκλησίαν συνήγαγε, καὶ πολλὰ τῶν καθ' ἑαυτὸν ἀπολογησάμενος, εἰς τοσαύτην εὔνοιαν τοὺς ὄχλους ἤγαγεν, ὥστε ὁμολογεῖν πάντας τὴν πόλιν αἰτίαν γεγονέναι [1] τῶν κατ' ἐκείνου ψηφισμάτων. διόπερ αὐτῷ τήν τε οὐσίαν ἀπέδωκαν, ἣν ἐδήμευσαν, ἔπειτα δὲ τὰς δίκας κατεπόντισαν, ἐν δ' ἴσῃ καταδίκῃ καὶ τἄλλα τὰ κατ' [2] ἐκείνου κυρωθέντα. ἐψηφίσαντο δὲ καὶ τοὺς Εὐμολπίδας ἆραι τὴν ἀρὰν, ἣν ἐποιήσαντο κατ' αὐτοῦ, καθ' ὃν καιρὸν ἔδοξεν ἀσεβεῖν περὶ τὰ μυστήρια. τὸ δὲ τελευταῖον, αὐτὸν στρατηγὸν

Huic omnia restituta; soli summum terra marique imperium commissum.

1 Κατὰ τῶν Clar. Reg. 1. 2 Ἐκεῖνον Coisl. Reg. 1.

ita, hoc bellorum socio tandem reddito, res suas iterum melius habituras sperabant.

LXIX. Quamprimum igitur classis portum ingressa est, Alcibiadis navi tota civium multitudo ora advertere, descensuque facto, magnis plausibus virum excipere, deque reditu ac rebus feliciter gestis ipsi gratulari. Ille, perhumaniter multitudine resalutata, concionem advocat, &, prolixa se defensione perpurgans, adeo in vulgi se benevolentiam insinuavit, ut omnes culpam psephismatum contra eum in civitatem conferrent. Idcirco facultates ipsi iam pridem publicatas restituunt, & condemnationis tabulas mari submergunt. Reliqua etiam adversus illum rogata & sancita abrogant. Psephisma quoque factum est, ut exsecrationem tollerent Eumolpidae, qua caput eius, cum nefas in mysteria commisisse videbatur, devoverant. Ad postremum dictatorem illum esse

καταστήσαντες αὐτοκράτορα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἁπάσας τὰς δυνάμεις ἐνεχείρισαν αὐτῷ. εἵλετο δὲ καὶ στρατηγοὺς ἑτέρους ἐκεῖνος, οὓς ἤθελεν, [1] Ἀδείμαντον καὶ Θρασύβουλον. ὁ δ' Ἀλκιβιάδης ἑκατὸν ναῦς πληρώσας, ἐξέπλευσεν εἰς Ἄνδρον, καὶ καταλαβόμενος Κάτριον φρούριον, ἐτείχισεν. ἐξελθόντων δὲ τῶν ἀνδρῶν πανδημεὶ μετὰ τῶν παραφυλαττόντων [2] τὴν πόλιν Πελοποννησίων, ἐγενήθη μάχη, καθ' ἣν ἐνίκησαν Ἀθηναῖοι. τῶν δ' ἐκ τῆς πόλεως πολλοὶ μὲν ἀνῃρέθησαν, τῶν δὲ διασωθέντων οἱ μὲν κατὰ τὴν χώραν διεσκεδάσθησαν, οἱ δ' ἐντὸς τῶν τειχῶν συνέφυγον. αὐτὸς δ' Ἀλκιβιάδης προσβολὰς ποιησάμενος τῇ πόλει, ἐν μὲν τῷ πεφρουρημένῳ τείχει τὴν ἱκανὴν φυλακὴν κατέλιπε, καὶ Θρασύβουλον ἡγεμόνα κατέστησεν, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἐκπλεύσας, τήν τε Κῶ καὶ Ῥόδον ἐδῄωσε, καὶ συχνὰς ὠφε-

Eius in Andrum, Con, Rhodum, expeditio.

1 Ἀδίμαντον Coisl. 2 Τῇ πόλει Coisl. Vat.

iubent, plenumque terra marique imperium tradentes, universas illi copias committunt. Tum alios ille praefectos pro arbitrio suo delegit, Adimantum scilicet & Thrasybulum. Ipse navibus C ad expeditionem instructis in Andrum transmittit, & Gaurium castellum, a se tum occupatum, muro cingit. Cumque Andrii cum universo civitatis robore, praesidiariis etiam ex Peloponneso adiunctis, obviam prodiissent, pugna initur, qua victores abeunt Athenienses, oppidanorum vero bona pars trucidatur. De ceteris e pugna elapsis alii passim per agros dissipantur, alii intra moenia refugiunt. Tum Alcibiades, cum semel atque iterum oppugnando nihil efficeret, in castello a se prius munito praesidium (cui Thrasybulus dux praeficitur) iustum relinquit. Ipse cum reliquo exercitu inde vela faciens, Con & Rhodum populatur,

λείας ὕβρισε πρὸς τὰς τῶν στρατιωτῶν διατροφάς.

ό. Λακεδαιμόνιοι δὲ τήν τε ναυτικὴν δύναμιν [1] καὶ τὴν ἀρχὴν ἀπολωλεκότες, καὶ μετ' αὐτῆς Μίνδαρον τὸν ἡγεμόνα, ταῖς ψυχαῖς ὅμως οὐκ ἐνέδωκαν, ἀλλὰ ναύαρχον εἵλοντο Λύσανδρον, δοκοῦντα στρατηγίᾳ διαφέρειν τῶν ἄλλων, καὶ τόλμαν ἔμπρακτον ἔχοντα πρὸς πᾶσαν περίστασιν. ὃς παραλαβὼν τὴν ἀρχὴν, ἐκ τῆς Πελοποννήσου στρατιώτας τε [2] κατέγραφε τοὺς ἱκανοὺς, καὶ ναῦς ἐπλήρωσεν [3] ὅσας ἠδύνατο πλείστας. ἐκπλεύσας δὲ εἰς Ῥόδον, καὶ προσλαβόμενος ἐκεῖθεν ναῦς ὅσας εἶχον [4] αἱ πόλεις, ἔπλευσεν εἰς Ἔφεσον καὶ Μίλητον. [5] καταρτίσας καὶ ταύτας τὰς ἐν ταῖς πόλεσι τριήρεις, μετεπέμψατο τὰς ἐκ Χίου, καὶ στόλον ἐξήρτυεν ἐξ Ἐφέσου νεῶν ὑπάρχοντα σχεδὸν ἑβδο-

Lysander, Laced. imperator, in locum Mindari substitutus, novam classem instruit,

1 Desunt καὶ τὴν Co. & Reg. 1.
2 Κατέγραφε Venet.
3 Πλείστας ὅσας ἠδύνατο Clar. Reg. 2. Desunt ὅσας ἠδυν. Reg. 1.
4 Αἱ πόλεις, ἔπλευσεν Venet. Cett. παραλαβὼν ἔπλευσεν. Paullo ante ναῦς desit Clar.
5 Καταρτήσας Reg. 1.

multumque 'ad alendos milites emolumenti & praedae sibi inde comparat.

LXX. Lacedaemonii autem, etsi copias navales, marisque imperium, unaque Mindarum ducem amiserant, non tamen animos idcirco desponderunt, sed classis imperatorem crearunt Lysandrum, qui & militaris rei peritia ceteris praestare videbatur, & promta ad quidvis agendum per omnes casus audacia praeditus erat. Is, simulac magistratum iniit, non exiguas ex tota Peloponneso militum copias conscripsit, &, quot praesens facultas sinit, naves classiariis refercit. Mox in Rhodum transvectus, cum inde, tum a ceteris quoque oppidis, navibus, quot habebant, assumtis, Ephesum & Miletum contendit, adornatisque etiam harum civitatum triremibus, tandem navibus Chiensium accitis, ex Epheso classem LXX circiter navium expedivit. Postquam vero co-

μήκοντα. ἀκούσας δὲ Κῦρον τὸν Δαρείου τοῦ βασιλέως υἱὸν ὑπὸ τοῦ πατρὸς ἀπεσταλμένον συμπολεμεῖν τοῖς Λακεδαιμονίοις, ἧκεν εἰς Σάρδεις πρὸς αὐτὸν, καὶ παροξύνας τὸν νεανίσκον εἰς τὸν κατὰ τῶν Ἀθηναίων πόλεμον, μυρίους μὲν Δαρεικοὺς παραχρῆμα ἔλαβεν εἰς τὸν τῶν στρατιωτῶν μισθόν· καὶ εἰς τὸ λοιπὸν δὲ Κῦρος ἐκέλευσεν αἰτεῖν, [1] μηδὲν ὑποστελλόμενον. ἐντολὰς γὰρ ἔχειν παρὰ τοῦ πατρὸς, [2] ὅπως ὅσα ἂν προαιρῶνται Λακεδαιμόνιοι χορηγῆσαι αὐτοῖς. ἀνακάμψας δὲ εἰς Ἔφεσον, ἀπὸ τῶν πόλεων μετεπέμπετο τοὺς δυνατωτάτους, πρὸς οὓς ἑταιρίας συνθέμενος, ἐπηγγέλλετο, τῶν πραγμάτων κατορθωθέντων, κυρίους ἑκάστους τῶν πόλεων ποιήσειν. δι' ἣν αἰτίαν συνέβη τούτους πρὸς ἀλλήλους ἁμιλλωμένους ὑπηρετεῖν πλείονα τῶν ἐπιταττομένων, καὶ ταχὺ παραδόξως εὐπορεῖν τὸν Λύσανδρον πάντων τῶν εἰς πόλεμον χρησίμων.

insuper a rege Persarum pecunia adiutus.

οα΄. Ἀλκιβιάδης δὲ πυθόμενος ἐν Ἐφέσῳ τὸν Λύ-

Athenienfium claffis

1 Abfunt duo haec Venet. 2 Omittit Clar.

gnovit, Cyrum Darii regis filium a patre miffum, ut in bello perfequendo Lacedaemonios adiuvaret, Sardeis ad eum fe contulit, iuvenemque ad bellum exhortatus, CCIↃↃ Daricorum in ftipendia militum extemplo accepit. In pofterum quoque Cyrus eum fine cunctatione petere iubet. In mandatis enim a parente fibi datum, ut, quidquid a Lacedaemoniis agitetur, ad hoc fumtus liberaliter fuppeditet. Ephefum inde regreffus, ex urbibus vicinis potentiffimos quofque arceffit, initoque cum illis foedere focietatis, re bene gefta, fuae quemque urbis principem fe effecturum pollicetur. Hinc evenit, ut illi ftudiis inter fe certantes plura imperatis fubminiftrarent, & opinione celerius Lyfander omnibus ad bellum conducibilibus abundaret.

LXXI. Alcibiades vero, ubi Lyfandrum claffem Ephefi

σανδρον ἐξαρτύειν τὸν στόλον, ἀνήχθη μετὰ πασῶν τῶν νεῶν εἰς Ἔφεσον. ἐπιπλεύσας δὲ τοῖς λιμέσιν, ὡς οὐδεὶς ἀντανήγετο, τὰς μὲν πολλὰς ναῦς καθώρμισε περὶ τὸ Νότιον, τὴν ἡγεμονίαν αὐτῶν παραδοὺς Ἀντιόχῳ τῷ ἰδίῳ κυβερνήτῃ. διακελευσάμενος δ' αὐτῷ μὴ ναυμαχεῖν, ἕως ἂν αὐτὸς παραγένηται, τὰς στρατιώτιδας ναῦς ἀνέλαβε, καὶ κατὰ σπουδὴν ἔπλευσεν εἰς Κλαζομένας. αὕτη γὰρ ἡ πόλις σύμμαχος Ἀθηναίων οὖσα, κακῶς ἔπασχεν ὑπό τινων φυγάδων πορθουμένη.

ad Notium fusa a Lysandro.

ὁ δ' Ἀντίοχος ὢν τῇ φύσει πρόχειρος, καὶ σπεύδων δι' ἑαυτοῦ τι πρᾶξαι λαμπρὸν, τῶν μὲν Ἀλκιβιάδου λόγων ἠμέλησε, δέκα δὲ ναῦς ἀρίστας πληρώσας, καὶ τὰς ἄλλας τοῖς τριηράρχαις παραγγείλας ἑτοίμας ἔχειν, ἂν ᾖ χρεία ναυμαχεῖν, ἐπέπλευσε τοῖς πολεμίοις, [1] προκαλεσάμενος εἰς ναυμαχίαν. ὁ δὲ Λύσανδρος [2] πεπυσμένος παρά τινων αὐτομόλων τὴν [3] ἄφο-

quem Antiochus, absente & invito Alcibiade, ad proelium provocarat.

1 Προσκαλ. ambo Reg. Vat.
2 Πεπεισμένος Clar.
3 Ἄφοδον Clar. & Reg. 1. quod praestat. Ἔφοδον edd.

instruere cognovit, cum omnibus eo navibus transmittit, portusque versus provectus, dum nemo occurrit, plerasque naves circa Notium in ancoris sistit, illisque Antiochum, praetoriae navis gubernatorem, praeficit, severe mandans, ne, priusquam ipse rediisset, proelio navali contendat. Ipse interim cum militaribus navigiis Clazomenas petit; quam urbem, in societate Atheniensium adhuc perstantem, exsulum quorundam populationes graviter affligebant. Tum Antiochus, praeceps natura, suoque Marte egregium aliquod facinus designare properans, Alcibiadis mandato susque deque habito, naves decem longe praestantissimas militibus complet: reliquas instructas paratasque habere, si qua pugnandi necessitas postulet, triremium praefectos iubet. In hostem itaque profectus, ad pugnam illum provocat. Lysander autem, a transfugis quibusdam de Alcibiadis & lectissimorum cum

δον Ἀλκιβιάδου καὶ τῶν ἀρίστων μετ' αὐτοῦ στρατιωτῶν, καιρὸν εἶναι διέλαβε πρᾶξαί τι τῆς Σπάρτης ἄξιον. διόπερ πάσαις ταῖς ναυσὶν ἀνταναχθεὶς, μίαν μὲν τὴν προπλέουσαν τῶν δέκα, καθ' ἣν Ἀντίοχος ἦν ἀντιτεταγμένος, κατέδυσε· τὰς δ' ἄλλας τρεψάμενος ἐδίωξε, μέχρις οὗ τὰς ἄλλας πληρώσαντες οἱ τριήραρχοι τῶν Ἀθηναίων παρεβοήθησαν ἐν οὐδεμιᾷ τάξει. γενομένης δὲ ναυμαχίας ἀθρόαις ταῖς ναυσὶν οὐ μακρὰν τῆς γῆς, Ἀθηναῖοι διὰ τὴν ἀταξίαν ἡλαττώθησαν, καὶ ναῦς ἀπέβαλον δύο πρὸς ταῖς εἴκοσι· τῶν δ' ἐν αὐταῖς ἀνδρῶν ὀλίγοι μὲν ἐζωγρήθησαν, οἱ δὲ λοιποὶ πρὸς τὴν γῆν διενήξαντο. Ἀλκιβιάδης δὲ πυθόμενος τὸ γεγενημένον, διὰ σπουδῆς ἀνέκαμψεν εἰς τὸ Νότιον, καὶ πάσας τὰς τριήρεις πληρώσας, ἐπέπλευσε τοῖς λιμέσι τῶν πολεμίων· οὐ τολμῶντος δ' ἀναχθῆναι τοῦ Λυσάνδρου, τὸν πλοῦν εἰς Σάμον ἐποιήσατο.

ipſo militum profectione edoctus, nunc commodum ſibi dari tempus exiſtimavit, quo dignum aliquid Sparta perpetraret. Univerſam igitur claſſem contra educens, ſtatim unam ex illis x, ceteras anteeuntem, in qua Antiochus pugnam ciebat, deprimit, & reliquas in fugam actas inſectatur; donec Athenienſium trierarchae, ceteris navibus utrinque expeditis, nullo prorſus ordine auxilium illis ferunt. Cunctis itaque navibus proelio inter ſe commiſſis non procul a terra, Athenienſes propter ordinis perturbationem XXII navibus deperditis vincuntur. Non multi tamen e claſſiariis vivi in hoſtis poteſtatem venerunt: reliqui ad litus enatarunt. De qua clade certior factus Alcibiades, ſumma celeritate ad Notium retrotendit, completiſque triremibus univerſis in hoſtium portus pergit; ſed non auſo in aciem progredi Lyſandro, Samum verſus navigationem inſtituit.

οβ'. Τούτων δὲ πραττομένων, Θρασύβουλος ὁ τῶν Ἀθηναίων στρατηγὸς μετὰ νεῶν πεντεκαίδεκα πλεύσας ἐπὶ Θάσον, ἐνίκησε μάχῃ τοὺς ἐκ τῆς πόλεως, καὶ περὶ διακοσίους αὐτῶν ἀνεῖλεν· ἐγκλείσας δ' αὐτοὺς εἰς πολιορκίαν, ἠνάγκασε τοὺς φυγάδας, τοὺς τὰ τῶν Ἀθηναίων φρονοῦντας, καταδέχεσθαι, [1] καὶ φρουρὰν λαβόντας, συμμάχους Ἀθηναίων εἶναι. μετὰ δὲ ταῦτα πλεύσας εἰς Ἄβδηρα, προσηγάγετο πόλιν ἐν ταῖς δυνατωτάταις οὖσαν τότε τῶν ἐπὶ Θρᾴκης. οἱ μὲν οὖν στρατηγοὶ τῶν Ἀθηναίων ταῦτα ἔπραξαν μετὰ τὸν οἴκοθεν ἔκπλουν. Ἆγις δ' ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἔτυχε μὲν ἐν τῇ Δεκελείᾳ διατρίβων μετὰ τῆς δυνάμεως, πυνθανόμενος δὲ τοὺς κρατίστους τῶν Ἀθηναίων μετ' Ἀλκιβιάδου στρατευομένους, νυκτὸς ἀσελήνου τὸ στρατόπεδον ἤγαγεν ἐπὶ τὰς Ἀθήνας. εἶχε δὲ πεζοὺς δισμυρίους ὀκτακισχιλίους, ὧν ἦσαν οἱ μὲν ἡ-

Thrasybulus Thasum & Abdera ad partes Atheniens. adigit.

Dum Athen. copiae sub Alcibiade procul a patria occupatae erant, Agis, Laced. rex, Athenas subito impetu infestat.

1 Non leguntur in Reg. 1. usque ad μετὰ δέ.

LXXII. Interea dum haec fiunt, Thrasybulus Atheniensium Praetor, XV navibus Thasum aggressus, oppidanos proelio vicit, caesisque CC circiter, & obsessos eo tandem adegit, ut exsules, qui Atheniensium partes fovebant, in urbem reciperent, impositoque praesidio, Atheniensium societatem denuo colerent. Post haec Abdera petit, urbem Thraciae potentissimis tunc annumeratam, eamque in partes suas pertraxit. Haec tum Atheniensium duces, ex quo domo solvissent, effecere. Sub haec Agis Lacedaemoniorum rex ad Deceliam cum exercitu stativa habuit. Is, ubi accepit, delectissimum Atheniensium robur per Alcibiadis expeditionem abductum, silente luna, per obscuram noctem exercitum Athenis applicat. Sub signis autem habebat CCIↃↃ CCIↃↃ IↃↃ CIↃ CIↃ CIↃ, quorum pars dimidia selecti, armisque probe mu-

μίσεις, ὁπλῖται κατ' ἐκλογὴν, οἱ δ' ἡμίσεις, ψιλοί. [1] κατηκολούθουν δ' αὐτῷ καὶ τῶν ἱππέων εἰς χιλίους διακοσίους, ὧν ἐννακοσίους μὲν Βοιωτοὶ παρείχοντο, τοὺς δὲ λοιποὺς Πελοποννήσιοι συνεξέπεμψαν. ὡς δ' ἐγγὺς [2] ἐγενήθη τῆς πόλεως, ἔλαθε ταῖς προφυλακαῖς ἐγγίσας, καὶ ῥαδίως αὐτοὺς τρεψάμενος διὰ τὸ παράδοξον, ὀλίγους μὲν ἀνεῖλε, τοὺς δ' ἄλλους συνεδίωξεν ἐντὸς τῶν τειχῶν. οἱ δ' Ἀθηναῖοι, μαθόντες τὸ γεγενημένον, ἅπασι παρήγγειλαν τοῖς πρεσβυτέροις καὶ τοῖς μεγίστοις παισὶν ἀπαντᾷν μετὰ τῶν ὅπλων. ὧν ταχὺ τὸ προσταχθὲν ποιησάντων, ὁ μὲν κύκλος τοῦ τείχους πλήρης ἐγένετο τῶν ἐπὶ τὸν κοινὸν κίνδυνον συνδεδραμηκότων. οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων ἅμ' ἡμέρᾳ θεωροῦντες ἐκτεταμένην τὴν τῶν πολεμίων δύναμιν εἰς φάλαγγα, τὸ μὲν βάθος εἰς τέτταρας ἄνδρας, τὸ δὲ μῆκος ἐπὶ σταδίους [3] ὀκτὼ, τότε πρῶτον κατεπλάγησαν, θεωροῦντες τὰ δύο μέρη σχεδὸν τοῦ τείχους ὑπὸ τῶν πολε-

1 Ἠκολούθουν Venet. 2 Ἐγένετο idem. 3 Πεντήκοντα Reg. 1.

niti, ceteri autem levis armaturae, minusque instructi erant. Sequebatur praeterea ipsum ad CIƆ CC equitum agmen, quorum C CIƆ Boeoti suppeditarant, reliquos Peloponnesii miserant. Ubi propius ad urbem accessit, excubiae hostem adesse non sentiunt: quas repentino impetu fugatas partim caedit, partim intra moenia compellit. Fraude Athenienses intellecta, universos tum senes, tum pueros grandiusculos, hosti cum armis occurrere iubent. Quibus extemplo imperata facessentibus, brevi totus murorum ambitus hominum plenus erat, qui ad repellendum commune periculum confluxerant. Ubi vero illuxit, duces Atheniensium agmen hostium in phalangem, altitudine ad homines IV, longitudine vero ad stadia VIII extentam conspicati, non mediocriter primum territantur, praesertim cum duas ferme muri partes ab

μίων περιειλημμένα. μετὰ δὲ ταῦτα τοὺς ἱππεῖς ἐξαπέστειλαν, ὄντας παραπλησίους τὸν ἀριθμὸν τοῖς ἐναντίοις· ὧν πρὸ τῆς πόλεως συστησαμένων ἱππομαχίαν, ἐπί τινα χρόνον ἐγένετο καρτερὰ μάχη. ἡ μὲν γὰρ φάλαγξ περὶ πέντε σταδίους ἀπεῖχε τοῦ τείχους, οἱ δ' ἱππεῖς συμπλακέντες ἀλλήλοις, πρὸς αὐτοῖς τοῖς τείχεσι [1] διηγωνίζοντο. οἱ μὲν οὖν Βοιωτοὶ καθ' αὑτοὺς [2] προνενικηκότες ἐπὶ Δηλίῳ τοὺς Ἀθηναίους, δεινὸν ἡγοῦντο [3] τῶν ἡττημένων φανῆναι καταδεέστεροι· οἱ δ' Ἀθηναῖοι θεατὰς ἔχοντες τῆς ἀρετῆς τοὺς ἐπὶ τῶν τειχῶν ἐφεστῶτας, καὶ κατὰ ἄνδρα γνωριζόμενοι, πᾶν ὑπέμενον ὑπὲρ τῆς νίκης. τέλος δὲ βιασάμενοι τοὺς ἀντιτεταγμένους, συχνοὺς μὲν αὐτῶν ἀνεῖλον, τοὺς δ' ἄλλους κατεδίωξαν μέχρι τῆς τῶν πεζῶν φάλαγγος· μετὰ δὲ ταῦτα οὗτοι μὲν, ἐπιπορευομένων τῶν πεζῶν, ἀνεχώρησαν εἰς τὴν πόλιν.

Repulſus, Attica vaſtata, in Peloponneſum redit.

1 Ἐμάχοντο Venet.
2 Νενικηκότες Reg. 1.
3 Τῶν ἡττημένων Venet. ἡττωμένων vulgo.

hoſte incinctas cernerent. Poſt equitatum, numero hoſtibus parem, emittunt. Equeſtri itaque pugna ante urbem commiſſa, ad tempus ſtrenue decertatur. Phalanx enim ad v ſtadia a moenibus adhuc aberat. Equites autem inter ſe conſerti ſub ipſis muris dimicabant. Boeoti igitur, qui ſua virtute ad Delium prius Athenienſes vicerant, grave ducebant, ſi victis nunc inferiores eſſe viderentur. Athenienſes contra, quod teſtes virtutis ſuae haberent in moenibus diſpoſitos, & unicuique illorum noti eſſent, pro victoria adipiſcenda quidvis audebant & tolerabant. Tandem vi depulſis adverſariis, magnam ipſorum caedem faciunt, & reliquos ad pedeſtrem uſque phalangem inſequuntur. Qua paullatim imminente, in urbem ſe recipiunt.

ογ΄. Ἆγις δὲ τότε μὲν οὐ κρίνας πολιορκεῖν, ἐν Ἀκαδημίᾳ κατεστρατοπέδευσε· τῇ δ᾽ ὑστεραίᾳ τῶν Ἀθηναίων στησάντων τρόπαιον, ἐξέταξε τὴν δύναμιν, καὶ [1] προεκαλεῖτο τοὺς ἐν τῇ πόλει περὶ τοῦ τροπαίου ἐξαγωνίσασθαι. τῶν δ᾽ Ἀθηναίων ἐξαγαγόντων τοὺς στρατιώτας καὶ παρὰ τὸ τεῖχος [2] παραταττομένων, τὸ μὲν πρῶτον [3] οἱ Λακεδαιμόνιοι πρὸς μάχην ὥρμησαν· ἀπὸ δὲ τῶν τειχῶν πολλοῦ πλήθους βελῶν ἐπ᾽ αὐτοὺς ῥιφέντος, ἀπήγαγον τὴν δύναμιν ἀπὸ τῆς πόλεως. μετὰ δὲ ταῦτα τὸ λοιπὸν τῆς [4] Ἀττικῆς δῃώσαντες, εἰς Πελοπόννησον ἀπηλλάγησαν. Ἀλκιβιάδης δὲ ἐκ Σάμου μετὰ πασῶν τῶν νεῶν πλεύσας εἰς Κύμην, ψευδεῖς αἰτίας ἐπέῤῥιψε τοῖς Κυμαίοις, βουλόμενος αὐτῶν μετὰ προφάσεως διαρπάσαι τὴν χώραν. καὶ τὸ μὲν πρῶτον πολλῶν αἰχμαλώτων σωμάτων κυριεύσας, [5] ἀπήγαγεν ἐπὶ ναῦς· ἐκβοηθησάντων δὲ τῶν ἐκ τῆς πόλεως πανδημεὶ, καὶ προσπεσόντων ἀπροσδοκήτως,

Alcibiades Cumam, sociam urbem, iniuste vexat,

1 Προσεκαλ. uterque Reg. deest articulus.
2 Παρατεταχότων Venet.
3 Οἱ Λακεδ. solus Reg. 1. Cett.
4 Ἀττικῆς δυνάμεως Coisl.
5 Ἀπῆγεν Venet.

LXXIII. Agis vero, tempus illud obsidioni non satis idoneum ratus, in Academia castra ponit. Cumque postridie Athenienses tropaeum excitarent, explicita acie oppidanos ad dimicandum pro tropaeo lacessit. Cum eductis ergo suis Athenienses sub moenibus aciem instruxissent, Lacedaemonii pugnam primi capessunt: at cum telorum multitudine desuper e muris obruerentur, copias ab urbe abducunt. Inde reliquam Atticae terram populati, in Peloponnesum regrediuntur. Alcibiades vero, classe universa Cumam transportata, falsa in oppidanos crimina iactat, agros ipsorum praetextu aliquo diripere cupiens: magnamque captivorum turbam, prima irruptione coactam, in naves suas abripit. At ubi coniunctis totius civitatis viribus Cumaei ex improviso ad defen-

χρόνον μέν τινα διεκαρτέρουν οἱ περὶ τὸν Ἀλκιβιάδην, μετὰ δὲ ταῦτα, τοῖς Κυμαίοις [1] προσγενομένων πολλῶν ἐκ τῆς πόλεως καὶ τῆς χώρας, ἠναγκάσθησαν καταλιπόντες τοὺς αἰχμαλώτους καταφυγεῖν ἐπὶ τὰς ναῦς. ὁ δ' Ἀλκιβιάδης ἐπὶ τοῖς ἐλαττώμασι περιαλγὴς γενόμενος, ἐκ Μιτυλήνης μετεπέμψατο τοὺς ὁπλίτας, καὶ πρὸ τῆς πόλεως ἐκτάξας τὴν δύναμιν, προεκαλεῖτο τοὺς Κυμαίους εἰς μάχην· οὐδενὸς δ' ἐξιόντος, δῃώσας τὴν χώραν ἀπέπλευσεν ἐπὶ Μιτυλήνην. [2] Κυμαίων δὲ πεμψάντων εἰς Ἀθήνας πρεσβείαν, καὶ κατηγορούντων Ἀλκιβιάδου, διότι σύμμαχον πόλιν οὐδὲν ἀδικήσασαν ἐπόρθησεν· ἐγίνοντο δὲ καὶ ἄλλαι πολλαὶ διαβολαὶ κατ' αὐτοῦ· τῶν γὰρ ἐν Σάμῳ τινὲς στρατιωτῶν, ἀλλοτρίως τὰ πρὸς αὐτὸν ἔχοντες, ἔπλευσαν εἰς Ἀθήνας, καὶ κατηγόρησαν ἐν ἐκκλησίᾳ κατ' Ἀλκιβιάδου, ὅτι τὰ Λακεδαιμονίων φρονεῖ, καὶ πρὸς Φαρ- & in crimen venit:

1 Προσγινομένων Reg. i.
2 Κυμαῖοι δὲ πέμψαντες εἰς Ἀθήνας πρεσβείαν κατηγόρουν Ἀλκ. Venet.

ſionem ſuorum hoſtem invaderent, manus Alcibiadis aliquousque ſuſtinebat. Cum vero ſubinde plures ex oppido & agro accurrerent, poſthabitis captivis, in naves refugere cogebantur. Alcibiades igitur, victum ſe aegre ferens, armatorum cohortes ex Mitylene arceſſit, & inſtructa ante urbem acie Cumaeos ad conflictum provocat. Sed nemine prodeunte, vaſtatis illorum agris, Mitylenen repetivit. Cumaei vero, legatis Athenas miſſis, actionem contra Alcibiadem inſtituunt, quod ſocii nominis urbem, quae ipſos nulla iniuria affecerit, populando vexaſſet. Multae quoque aliae de improbitate hominis querelae tum afferebantur. Nonnulli enim praeſidiariorum in Samo, Alcibiadi infenſi, Athenas traiecerant, & in publica Alcibiadem concione criminabantur, quod cum Lacedaemoniis colluderet, & familiarem

ναβάζον ἔχει φιλίαν, δι᾽ ἧς ἐλπίζει, καταλυθέντος τοῦ πολέμου, καταδυναστεύσειν τῶν πολιτῶν.

quo facto inter x duces imperium dividitur;

οδ΄. Ταχὺ δὲ τοῦ πλήθους [1] πιστεύσαντος ταῖς διαβολαῖς, ἡ μὲν πρὸς Ἀλκιβιάδην ἐθραύετο δόξα, διὰ τὸ περὶ τὴν ναυμαχίαν ἐλάττωμα, καὶ τὰ περὶ τὴν Κύμην ἡμαρτημένα. ὁ δὲ τῶν Ἀθηναίων δῆμος, ὑφορώμενος τὴν τοῦ ἀνδρὸς τόλμαν, δέκα στρατηγοὺς εἵλετο, Κόνωνα, Λυσανίαν, Διομέδοντα, Περικλέα, πρὸς δὲ τούτοις, Ἐρασινίδην, Ἀριστοκράτην, Ἀρχέστρατον, Πρωτόμαχον, Θρασύβουλον, [2] Ἀριστογένην. ἐκ δὲ τούτων προκρίνας Κόνωνα ταχέως [3] ἐξέπεμψεν, παρ᾽ Ἀλκιβιάδου [4] τὸ ναυτικὸν παραληψόμενον.

Alcibiades Pactyen, Thraciae urbem, in exsilium abit.

Ἀλκιβιάδης δὲ τῆς ἀρχῆς ἐκχωρήσας τῷ Κόνωνι καὶ τὰς δυνάμεις παραδοὺς, τὴν μὲν εἰς Ἀθήνας ἐπάνοδον ἀπέγνω, μετὰ δὲ τριήρους μιᾶς εἰς Πακτύην τῆς Θρᾴκης ἀπεχώρησε.

1 Πιστεύοντος Regius uterque, Coisl. Clar. Cett. πιστεύσαντος.

2 Ἀριστογένην Clar. & Xenoph. lib. I Hellen. p. 244. Vulgo Ἀρεστογένη. Vide Demetrium de Elocut. cap. 177.

3 Ἐξέπεμψαν Coisl. Clar.

4 Τὸν Clar.

cum Pharnabazo amicitiam contraxisset, in eam maxime spem, ut, bello confecto, civibus ipse dominaretur.

LXXIV. Cum igitur facile his calumniis fides a vulgo adhiberetur, ingens Alcibiadis gloria vulnus accepit, idque suspicionem auxit, quod & male pugnasset ad Ephesum, & quod peccatum illud in Cumaeos designasset. Hinc populus Atheniensis, suspectam habens viri audaciam, x alios exercitus ductores creavit, Cononem utique, Lysaniam, Diomedontem, Periclem, Erasinidem, Aristocratem, Archestratum, Protomachum, Thrasybulum, Aristogenem. Delectumque prae ceteris Cononem ad Alcibiadem confestim mittunt, ut classem cum imperio ab illo reposcat. Cedens ergo magistratu Alcibiades, Cononi exercitum tradit: sed desperato Athenas reditu, cum una triremi Pactyen Thraciae concessit. Nam

χωρὶς γὰρ τῆς τοῦ πλήθους ὀργῆς καὶ τὰς ἐπενηνεγμένας αὐτῷ δίκας εὐλαβεῖτο. πολλοὶ γὰρ θεωροῦντες αὐτὸν κακῶς φερόμενον, ἐπενηνόχεισαν ἐγκλήματα πολλά. μέγιστον δ' ἦν τὸ περὶ [1] τῶν ἵππων τετιμημένων ταλάντων [2] ὀκτώ. Διομήδους γάρ τινος τῶν φίλων συμπέμψαντος αὐτῷ τέθριππον εἰς Ὀλυμπίαν, ὁ Ἀλκιβιάδης κατὰ τὴν ὑπογραφὴν τὴν εἰωθυῖαν γίνεσθαι, [3] τοὺς ἵππους, τοὺς νικήσαντας τὸ τέθριππον, ἰδίους ὑπεγράψατο, τήν τε ἐκ τῆς νίκης δόξαν αὐτὸς ἀπηνέγκατο, καὶ τοὺς ἵππους οὐκ ἀπέδωκε τῷ πιστεύσαντι. ταῦτα δὴ πάντα διανοούμενος, ἐφοβεῖτο μή ποτε καιρὸν λαβόντες Ἀθηναῖοι τιμωρίαν [4] ἐπιθῶσι πάντων ὧν εἰς αὐτοὺς ἐξήμαρτεν· αὐτὸς αὑτοῦ κατέγνω φυγήν.

Synoris, ludis Olymp. adiecta, commemoratur.

οε'. Προσετέθη δὲ καὶ συνωρὶς κατὰ τὴν αὐτὴν

1 Ἱππέων Reg. 2. Vat. Coislin. Clarom.

2 Πεντήκοντα ora Steph. Coisl. Clar. Reg. uterque.

3 Καὶ τοὺς ἵππους τοὺς νικήσαντας τὸ τέθριππον ἰδίους ὑπεγράψατο, τήν τε &c. Venet. Vulgo ὑπεγράψατο. καὶ νικήσαντας τὸ τέθριππον, τήν τε &c.

4 Θῶσι Reg. 1.

praeter infeſtae multitudinis iram, crimina quoque ſibi ingeſta reformidabat. Multi enim, cum fortuna adverſa ipſum iam confligtari videntes, criminibus undecunque impingendis ſtudebant. Inter quae tamen maximum illud erat de equis, VIII talentis aeſtimatis. Cum enim Diomedes eius amicus quadrigas cum ipſo in Olympiam miſiſſet, in nominis ſubſcriptione uſitata non tantum equos, quadrigis victores, ſibi vindicavit, gloriamque eius victoriae abſtulit, ſed equos inſuper, bona fide ſibi creditos, non reſtituit. Haec omnia mente revolvens timuit, ne occaſionem Athenienſes nacti, omnium, quae prave in ipſos commiſerat, poenas ſibi irrogarent. Exſilii ergo poenam ſibi ipſe indixit.

LXXV. Hac Olympiade Synoris, (equorum iugum di-

Plistonax, rex Laced. moritur.

Hermocrates caesorum ossa Himera Syracusas transportanda curavit, a Diocle neglecta.

Ὀλυμπιάδα. καὶ παρὰ Λακεδαιμονίοις Πλειστώναξ ὁ βασιλεὺς ἐτελεύτησεν, ἄρξας ἔτη [1] πεντήκοντα. διαδεξάμενος δὲ τὴν ἀρχὴν Παυσανίας, ἦρξεν ἔτη δεκατέσσαρα. οἱ δὲ τὴν Ῥόδον νῆσον κατοικοῦντες [2] καὶ Ἰηλυσὸν καὶ Λίνδον καὶ [3] Κάμειρον μετῳκίσθησαν εἰς μίαν πόλιν τὴν νῦν καλουμένην Ῥόδον. Ἑρμοκράτης δ' ὁ Συρακούσιος ἀναλαβὼν τοὺς μετ' αὐτοῦ στρατεύοντας, ὥρμησεν ἐκ Σελινοῦντος, καὶ παραγενόμενος [4] εἰς τὴν Ἱμέραν, κατεστρατοπέδευσεν ἐν τοῖς προαστείοις τῆς ἀνατετραμμένης πόλεως. διαπυθόμενος ἐν ᾧ τόπῳ παρετάχθησαν οἱ Συρακούσιοι, τὰ τῶν τετελευτηκότων ὀστᾶ συνήθροιζε. παρασκευάσας δ' ἁμάξας πολυτελῶς κεκοσμημένας, ἐπὶ τούτων [5] παρεκόμισεν αὐτὰ ἐπὶ τὴν Συράκουσαν. αὐτὸς μὲν οὖν ἐπὶ τῶν [6] ὅρων κατέμεινε, διὰ τὸ κωλύεσθαι τοὺς φυγάδας ὑπὸ τῶν νόμων συνιέναι. τῶν δὲ μετ' αὐτοῦ τινας ἀπέστειλεν, οἳ τὰς ἁμά-

1 Πεντήκοντα Venet. Co. Clar. cum ambobus Reg. & Steph. margine. Edd. ὀκτώ.
2 Καὶ Ἰλυσὸν Coisl. Ἰκλυὸν Vat. Ἰηλυσὸν Regius 1. optime. Vulgo Ἠλυσόν.
3 Κάμιρον Coisl.
4 Πρὸς τὴν Coisl. & Reg. 1.
5 Παρεκόμισαν Clar.
6 Ὁρῶν Reg. 1. Edd. ὁρῶν.

xer is) insuper adiecta fuit. Apud Lacedaemonios vero Plistonax, illorum rex, fato concessit, cum annis L regnasset: cui Pausanias succedens, XIV annos regno praefuit. Rhodi vero insulae habitatores, ex Ialyso, Lindo & Camiro, in unam urbem, quae Rhodi nomen iam obtinet, commigrarunt. Hermocrates autem, cohortibus suis Selinunte eductis, Himeram petiit, & in suburbio eversae pridem civitatis castra metatus, cum diligenter percontando cognovisset, quo in loco Syracusiorum acies stetisset, defunctorum ossa collegit, & curribus magnifice instructis imposita Syracusas transportavit. Ipse quidem ad fines territorii substitit, quos transgredi exsulibus lege interdictum est; sed ex comitatu nonnullis trans-

ξας παρεκόμισαν εἰς τὰς Συρακούσας. [1] ὁ δ' Ἑρμοκράτης ταῦτα ἔπραττεν ὅπως ὁ μὲν Διοκλῆς ἀντιπράττων αὐτοῦ περὶ τῆς καθόδου, δοκῶν δ' αἴτιος εἶναι τοῦ [2] περιεωρακέναι τοὺς τετελευτηκότας ἀτάφους, προσκόψαι τοῖς πλήθεσιν· αὐτὸς δὲ φιλανθρώπως τούτοις προσενεχθεὶς, ἐπαγάγῃ τὸ πλῆθος εἰς τὴν προτέραν εὔνοιαν. τῶν οὖν ὀστῶν παρακομισθέντων ἐνέπεσεν εἰς τὰ πλήθη στάσις, τοῦ μὲν Διοκλέους κωλύοντος θάπτειν, τῶν δὲ πολλῶν συγκατατιθεμένων. τέλος δ' οἱ Συρακούσιοι θάψαντες τὰ λείψανα τῶν τετελευτηκότων, καὶ πανδημεὶ τὴν ἐκφορὰν ἐτίμησαν. καὶ ὁ μὲν Διοκλῆς ἐφυγαδεύθη, τὸν δ' Ἑρμοκράτην οὐδ' ὣς προσεδέξαντο· ὑπώπτευον γὰρ τὴν τἀνδρὸς τόλμαν, μή ποτε τυχὼν ἡγεμονίας, ἀναδείξῃ ἑαυτὸν τύραννον. ὁ μὲν οὖν Ἑρμοκράτης τότε τὸν καιρὸν οὐχ ὁρῶν [3] εὔθετον εἰς τὸ

1 Desunt omnia Coisl. usque ad ὁ μὲν Ἑρμοκ. μετ' ὀλιγ.

2 Περιεωρακότος Reg. 1.

3 Εὔκαιρον Reg. 1. Alterutrum ex glossa est.

vehendorum Syracusas negotium commisit. Hoc eo consilio faciebat, ut Diocles, reditum eius impediens, cum in culpa neglectae funerationis esse deprehenderetur, odium multitudinis incurreret, ipse vero ob humanitatem mortuis praestitam, benevolentiam vulgi pristinam recuperaret. Allatis demum ossibus, dissidium inter vulgus oritur: Diocles enim sepulturae sese opponit: at vulgus contrariam sententiam concorditer tuetur. Ad extremum iusta mortuorum reliquiis peragenda decernunt, & tota civitas funebrem pompam frequentia sua cohonestat. Tum Diocles exsilio multatus est. At nihilo tamen magis Hermocrates revocatur. Audaciam namque viri suspectam habebant, ne, si quando magistratum adeptus foret, regnum occuparet. Cum ergo ad vim experiundam tempus minime commodum tunc esse cer-

βιάσασθαι, πάλιν ἀνεχώρησεν εἰς Σελινοῦντα. μετὰ δέ τινα χρόνον τῶν Φίλων αὐτὸν μεταπεμπομένων, ὥρμησε μετὰ τρισχιλίων στρατιωτῶν, καὶ πορευθεὶς διὰ τῆς Γελώας, ἧκε νυκτὸς ἐπὶ τὸν συντεταγμένον τόπον. οὐ δυνηθέντων δὲ ἁπάντων ἀκολουθῆσαι τῶν στρατιωτῶν, [1] ὁ μὲν Ἑρμοκράτης μετ' [2] ὀλίγων προσελθὼν τῷ κατὰ τὴν Ἀχραδινὴν πυλῶνι, καὶ τῶν Φίλων τινὰς εὑρὼν προκατειλημμένους τοὺς τόπους, ἀνελάμβανε τοὺς ἀφυστεροῦντας. οἱ δὲ Συρακούσιοι τὸ γεγενημένον ἀκούσαντες, σὺν τοῖς ὅπλοις ἦλθον ἐπὶ τὴν ἀγοράν· καθ' ἣν μετὰ πολλοῦ πλήθους ἐπιφανέντες, τόν τε Ἑρμοκράτην καὶ τῶν συμπραττόντων αὐτῷ τοὺς πλείστους ἀπέκτειναν· τοὺς δὲ ἀπὸ τῆς μάχης διασωθέντας μεθιστάντες εἰς κρίσιν, φυγῇ κατεδίκαζον. διόπερ τινὲς αὐτῶν πολλοῖς περιπεσόντες τραύμασιν, ὡς τετελευτηκότες ὑπὸ τῶν συγγενῶν παρεδόθησαν, [3] ὅπως μὴ τῇ τοῦ

1 Ὁ δ' Ἑρμοκράτης Coisl.
2 Ὀλίγων Reg. Vulgo ὀλίγον.
3 Absunt usque ἂν καὶ Venet. & Reg. 2.

neret, Selinuntem se iterum recipit. Aliquanto vero post, ab amicorum factione accitus, cum tribus armatorum millibus approperavit, ductoque per Geloam agmine, noctu ad locum ex composito praefinitum devenit: cumque non omnes eum milites consequi tunc possent, ipse cum paucis ad portam in Achradina progressus, ubi amicorum nonnullos invenit, quod loca illa iam occupassent, tardius etiam subsecutos assumit. At proditis Syracusani molitionibus armati in forum procurrunt, ubi magna hominum multitudine congregata, Hermocratem maioremque complicum eius partem obtruncant. Ceteros, qui e pugna evaserant, ad iudicium citatos, exsilio damnant. Idcirco nonnulli ex ipsis, quod multis vulneribus essent confixi, pro mortuis a cognatis proclamati sunt, ne multitudinis furori obiicerentur. Inter

πλήθους ὀργῇ παραδοθῶσιν· ὧν καὶ Διονύσιος, ὁ μετὰ ταῦτα τῶν Συρακουσίων τυραννήσας.

ος΄. Τῶν δὲ κατὰ τὸν ἐνιαυτὸν τοῦτον πράξεων τέλος ἐχουσῶν, Ἀθήνησι μὲν Ἀντιγένης τὴν ἀρχὴν παρέλαβε, Ῥωμαῖοι δ᾽ ὑπάτους κατέστησαν Γάϊον Μάνιον Αἰμίλιον καὶ Γάϊον Οὐαλέριον. περὶ δὲ τούτους τοὺς χρόνους Κόνων ὁ τῶν Ἀθηναίων στρατηγὸς, ἐπειδὴ παρέλαβε τὰς δυνάμεις ἐν Σάμῳ, τάς τε παρούσας τῶν νεῶν ἐξηρτύετο, καὶ τὰς παρὰ τῶν συμμάχων ἤθροιζε, σπεύδων ἐφάμιλλον κατασκευάσαι τὸν στόλον ταῖς τῶν πολεμίων ναυσίν. οἱ δὲ Σπαρτιᾶται, [1] τῷ Λυσάνδρῳ διεληλυθότος ἤδη τοῦ τῆς ναυαρχίας χρόνου, Καλλικρατίδην ἐπὶ τὴν διαδοχὴν ἀπέστειλαν. οὗτος δὲ νέος μὲν ἦν παντελῶς, ἄκακος δὲ καὶ τὴν ψυχὴν ἁπλοῦς, οὔπω τῶν ξενικῶν ἠθῶν πεπειραμένος, δικαιότατος δὲ Σπαρτιατῶν· ὁμολογουμένως δὲ [2] κατὰ τὴν ἀρχὴν οὐδὲν ἔπραξεν ἄδικον οὔτ᾽ εἰς πόλιν, οὔτ᾽ εἰς ἰδιώτην· ἀλ-

Olymp. XCIII, 2.

Apud Lacedaemonios Callicratides in imperio Lysandro succedit.

1 Duo haec deficiunt Coisl. 2 Καὶ κατὰ Coisl. Clar.

quos fuit etiam Dionysius, qui dominatum in Syracusas postmodum sibi usurpavit.

LXXVI. Rebus per hunc annum ita confectis, Antigenes magistratum Athenis iniit, & Romae Consules creati sunt Manius Aemilius, & C. Valerius. Circa hoc tempus Conon, Atheniensium dux, acceptis in Samo copiis, naves, quae tum aderant, instaurat, & a sociis quas potest arcessens, magnitudine classis cum hoste certare properat. Lacedaemonii autem Lysandro, praetura navali per statutum tempus defuncto, Callicratidem substituunt. Is in primo iuventutis flore, vitae innocentis & simplicis animi vir erat, moresque peregrinos nondum expertus, summa iustitiae laude inter Spartanos excellebat, omniumque confessione nihil praeter ius & aequum, vel in civitatem, vel privatum quemquam,

Is, tota recepta classe, in Chio, apud Teios, ad Lesbum, rem prospere contra Athenienses gerit.

λὰ καὶ τοῖς ἐπιχειροῦσιν αὐτὸν διαφθείρειν χρήμασι χαλεπῶς ἔφερε, καὶ δίκην παρ' αὐτῶν ἐλάμβανεν. οὗτος καταπλεύσας εἰς [1] τὴν Ἔφεσον, παρέλαβε τὰς ναῦς, μεταπεμψάμενος [2] τὰς πάσας σὺν ταῖς παρὰ Λυσάνδρου παρέλαβεν ἑκατὸν τεσσαράκοντα. ἐν δὲ τῇ Χίων χώρᾳ [3] Δελφίνιον κατεχόντων Ἀθηναίων, ἐπὶ τούτους ἔπλευσε μετὰ πασῶν τῶν νεῶν, καὶ πολιορκεῖν ἐπεχείρησεν. οἱ δ' Ἀθηναῖοι περὶ πεντακοσίους ὄντες, κατεπλάγησαν τὸ μέγεθος τῆς δυνάμεως, καὶ διεξελθόντες, ἐξέλιπον τὸ χωρίον ὑπόσπονδον. Καλλικρατίδας δὲ τὸ μὲν φρούριον παραλαβὼν κατέσκαψεν, ἐπὶ δὲ Τηίους πλεύσας, καὶ νυκτὸς παρεισπεσὼν ἐντὸς τῶν τειχῶν, διήρπασε τὴν πόλιν. μετὰ δὲ ταῦτα πλεύσας εἰς Λέσβον, [4] τῇ Μηθύμνῃ προσέβαλε μετὰ τῆς δυνάμεως, παρ' Ἀθηναίων ἐχούσῃ φρουράν. ποιησάμενος δὲ συνεχεῖς προσβολὰς, ἐν ἀρχῇ μὲν οὐ-

1 Desit iisdem.
2 Καὶ τὰς Venet.
3 Κατὰ τῶν Δελφίνιον κατεχόντων Ἀθηναίων ἔπλευσεν Venet.
4 Τῇ Μιθ. Coislin. & Clarom. ubique.

commisit. Quin immo si qui largitionibus ipsum corrumpere tentarent, molestissime tulit, & severe in eius farinae homines animadvertit. Hic ergo Ephesum profectus, naves a Lysandro accepit, quibus ceteris omnibus aggregatis, CXL sub imperio habebat. Delphinium tum in Chio Athenienses tenebant. In hos ergo cum tota classe movens, castellum oppugnare incipit. Sed Atheniense praesidium, in quo circiter IↃ milites erant, magnitudine classis territatum, sub tuti commeatus fide, castello hostibus tradito, inde abscedit. Hoc in potestatem redactum Callicratides diruit, & adversus Teios pergens, & noctu moenibus illapsus, urbem diripit. Inde ad Lesbum profectus, Methymnae exercitum admovet, in qua Atticum tunc praesidium excubabat. Etsi vero assiduo oppugnationem conatu urgebat, initio ta-

δεν ἤνυε· [1] μετ' ὀλίγον δὲ, τινῶν ἐνδόντων αὐτῷ τὴν πόλιν, παρεισέπεσεν ἐντὸς τῶν τειχῶν, καὶ τὰς μὲν κτήσεις διήρπασε, τῶν δ' ἀνδρῶν φεισάμενος, [2] ἀπέδωκε τοῖς Μηθυμναίοις τὴν πόλιν. τούτων δὲ πραχθέντων, ἐπὶ τὴν Μιτυλήνην ὥρμησεν, καὶ τοὺς μὲν ὁπλίτας Θώρακι τῷ Λακεδαιμονίῳ παραδοὺς, ἐκέλευσε πεζῇ κατὰ σπουδὴν ἐπιγενέσθαι· ταῖς δὲ ναυσὶν αὐτὸς παρέπλευσε.

οζ'. Κόνων δ' ὁ τῶν Ἀθηναίων στρατηγὸς εἶχε μὲν ἑβδομήκοντα ναῦς οὕτως ἐξηρτυμένας τὰ πρὸς ναυμαχίαν, ὡς οὐδεὶς ἕτερος τῶν πρότερον στρατηγῶν ἦν κατεσκευακώς. ἔτυχε μὲν οὖν ἁπάσαις ἀνηγμένος ἐπὶ τὴν βοήθειαν τῆς Μηθύμνης. εὑρὼν δὲ αὐτὴν ἡλωκυῖαν, τότε μὲν ηὐλίσθη πρός τινι νήσῳ τῶν Ἑκατὸν [3] καλουμένων. ἅμα δ' ἡμέρᾳ κατανοήσας τὰς τῶν πολεμίων ναῦς προσπλεούσας, τότε μὲν [4] αὐτοὺς διαναυμαχεῖν

Conon, instaurata nova classe, hosti ad Lesbum instat.

1 Μετ' ὀλίγων Reg. 2.
2 Μετέδωκε Reg. 1.
3 Καλουμένη Venet.
4 Non est in Veneto.

men nihil profecit. Sed brevi post, proditione quorundam intra moenia receptus, urbem quidem diripit, sed a caede hominum abstinet, & Methymnaeis civitatem restituit. His prospere gestis ad Mitylenen accelerat, & gravis armaturae militibus Thoraci Lacedaemonio traditis, iubet, ut pedestri exercitu non cunctanter accedat: ipse litus interim cum navibus legit.

LXXVII. Interea Conon Atheniensium imperator LXX naves ita instructas ad proelium navale reddiderat, ut superiorum ducum nemo classem instructam habuit. Cum his omnibus ad ferendum Methymnae auxilium venerat. Sed ubi captam offendit, tunc sane in quadam ex numero illarum, quae Centum vocantur, insula stativa habuit. Sub insequentis diei ortum, ubi totam hostium classem imminere vidit, periculosum fore ratus, si cum

ἔκρινεν ἐπισφαλὲς εἶναι πρὸς διπλασίας τριήρεις, διενοεῖτο δὲ ἔξω πλέων φυγεῖν, καὶ προσεπισπασάμενός τινας τῶν πολεμίων τριήρων, ναυμαχῆσαι πρὸς τὴν Μιτυλήνην. [1] οὕτω γὰρ ὑπελάμβανε, νικῶν μὲν ἕξειν ἀναστροφὴν εἰς τὸ διώκειν, ἡττώμενος δ' εἰς τὸν λιμένα καταφεύξεσθαι. ἐκβιβάσας οὖν τοὺς στρατιώτας, ἔπλει [2] ταῖς εἰρεσίαις σχολαίως χρώμενος, ὅπως αἱ τῶν Πελοποννησίων ἐγγίσωσιν. οἱ δὲ Λακεδαιμόνιοι προσιόντες ἀεὶ μᾶλλον ἤλαυνον τὰς ναῦς, ἐλπίζοντες αἱρήσειν τὰς ἐσχάτας τῶν πολεμίων. τοῦ δὲ Κόνωνος ὑποχωροῦντος, οἱ τὰς ἀρίστας ἔχοντες ναῦς τῶν Πελοποννησίων, κατὰ σπουδὴν ἐδίωκον, καὶ τοὺς μὲν ἐρέτας διὰ τὴν συνέχειαν τῆς εἰρεσίας, ἐξέλυσαν, αὐτοὶ δὲ πολὺ τῶν ἄλλων ἀπεσπάσθησαν. ἃ δὴ συνιδὼν ὁ Κόνων, ὡς ἤδη τῆς Μιτυλήνης ἤγγιζον, ἦρεν ἀπὸ τῆς ἰδίας νεὼς φοινικίδα

Ad Mytilenen proelium commissum.

1 Οὕτως Coisl. 2 Σχολαίως ταῖς τριηρεσίαις Coisl.

duplo maiori numero fortunam belli tentaret, ulterius reductis navibus certamen subterfugere, & nonnullis hostium triremibus obiter deceptis, ad Mitylenen confligere statuit; ita futurum ratiocinatus, ut, si vicisset, idoneam ad insequendum facultatem, sin cedere cogeretur, in portum fugae receptum haberet. Impositis ergo in naves militibus, remigia lentius agere iubet, ut propius hostium classis accederet. Lacedaemonii autem quo propius adnavigaverunt, eo magis navigia impulerunt, omnino sperantes, extremum se hostium agmen consecuturos. At Conone paullatim se subducente, qui lectissimas Peloponnesiorum naves ducebant, concitatis remis insequebantur. Quo factum, ut remiges labore defatigati languescerent, ipsique longius ab reliquis abstraherentur. Qua occasione Conon observata, cum iam proximius ad Mitylenen processissent, puniceum e navi praetoria vexillum extulit. Quae pugnae inceptandae

τοῦτο γὰρ [1] ἦν τὸ σύσσημον τοῖς τριηράρχαις. διόπερ αἱ μὲν [2] ναῦς τῶν πολεμίων ἐξαπτομένων, ἐξαίφνης πρὸς ἕνα καιρὸν ἐπέστρεψαν· καὶ τὸ μὲν πλῆθος ἐπαιάνισεν, οἱ δὲ σαλπιγκταὶ τὸ πολεμικὸν ἐσήμηναν. οἱ δὲ Πελοποννήσιοι καταπλαγέντες ἐπὶ τῷ γεγονότι, ταχέως ἐπεχείρουν ἀντιπράττειν τὰς ναῦς. τοῦ καιροῦ δ' ἀναστροφὴν οὐ διδόντος, οὗτοι μὲν ἐν πολλῷ θορύβῳ καθειστήκεισαν, διὰ τὸ τὰς [3] ἀφυστερούσας ναῦς τὴν εἰθισμένην λελοιπέναι τάξιν.

οη'. Ὁ δὲ Κόνων δεξιῶς τῷ καιρῷ χρησάμενος, εὐθὺς ἐνέκειτο, καὶ τὴν παράταξιν αὐτῶν διεκώλυεν, ἃς μὲν τιτρώσκων, ὧν δὲ τοὺς ταρσοὺς παρασύρων. τῶν μὲν οὖν κατὰ τὸν Κόνωνα ταχθεισῶν οὐδεμία πρὸς φυγὴν ἐπέστρεψεν, ἀλλὰ πρύμναν ἀνακρουόμεναι διεκαρτέρουν, [4] τὰς ἀφυστερούσας προσδεχόμεναι. οἱ δὲ τὴν

1 Σύσσημον ἦν Coisl.
2 Ναῦς ἐπὶ τῶν Venet.
3 Ὑστερούσας Reg. 1. tum ἀπολελοιπέναι idem.
4 Προσδεχόμεναι τὰς ἀφυστερούσας Coisl. Reg. 1.

tessera Trierarchis erat. Confestim igitur, hostibus iam assecutis, naves Atheniensium uno temporis momento se convertunt: vulgus paeanem ingeminat, tubicines classicum sonant. Quo facto Peloponnesii exsternati, subito in iustum aciei ordinem naves distribuere properabant: cum vero tantillum otii ad convertendum naves tempus haud permitteret, in magna perturbatione versabantur, quod naves tardius subsequentes ordinem institutum reliquissent.

LXXVIII. Conon igitur, occasione illa dextre utens, recta illos invadit, & aciei structionem impediens, navium alias sauciat, aliis remos deterget. At ex navibus Cononi oppositis nulla in fugam se convertit, sed remis inhibentes, omnes fortiter uno loco substiterunt, dum relicta a tergo classis adventaret. At sinistrum Athe-

εὐώνυμον τάξιν ἔχοντες Ἀθηναῖοι, τρεψάμενοι τοὺς καθ' αὐτοὺς, ἐπέκειντο φιλοτιμότερον, ἐπὶ πολὺν χρόνον διώκοντες. ἤδη δὲ πασῶν τῶν νεῶν τοῖς Πελοποννησίοις ἠθροισμένων, ὁ μὲν Κόνων, εὐλαβηθεὶς τὸ πλῆθος τῶν πολεμίων, τοῦ μὲν διώκειν ἀπέστη, μετὰ τεσσαράκοντα δὲ νεῶν ἀπέπλευσεν εἰς Μιτυλήνην. τοὺς δὲ διώξαντας Ἀθηναίους αἱ τῶν Πελοποννησίων ναῦς ἅπασαι περιχυθεῖσαι κατεπλήξαντο, καὶ τῆς ἐπὶ τὴν πόλιν ἐπανόδου διακλείσασαι, φυγεῖν πρὸς τὴν γῆν ἐβιάσαντο. ἐπικειμένων δὲ τῶν Πελοποννησίων πάσαις ταῖς ναυσὶν, Ἀθηναῖοι θεωροῦντες μηδεμίαν σωτηρίαν ἄλλην ὑποκειμένην, κατέφυγον πρὸς τὴν γῆν, καὶ καταλιπόντες τὰ σκάφη, διεσώθησαν εἰς Μιτυλήνην. Καλλικρατίδας δὲ τριάκοντα νεῶν κυριεύσας, τὸ μὲν ναυτικὸν ἐθεώρει τῶν πολεμίων κατελελυμένον, πεζῇ δὲ τοὺς ἀγῶνας ἤλπιζεν ὑπολείπεσθαι. διόπερ οὗτος μὲν ἐπὶ

Athenienſium claſſis in portum urbis ſe recipit;

nienſium cornu, verſis in fugam, quos oppoſitos habebant, ardentius perſequendo ad longum tempus fugientibus incubuit. Ubi vero tota Peloponneſiorum claſſis undequaque coivit, Conon hoſtium multitudine deterritus, ab inſectando deſtitit, & cum navibus XL Mitylenen ſe recepit. Athenienſes interim, qui fugientibus inſtiterant, omnes Peloponneſiorum naves circumfuſae in ſummum adduxerunt pavorem, &, interclufo ad urbem reditu, ad terram fugere compulerunt. Sed cum tota Peloponneſiorum claſſis eos premeret, Athenienſes, aliam evadendi ſpem non ſubeſſe cernentes, ad litus profugerunt, & navibus poſthabitis Mitylenen fuga ſe receperunt. Sic XXX navibus potitus Callicratides, ubi claſſem hoſtium iam diſſolutam vidit, terra ſibi deinceps confligendum eſſe exiſtimavit. Ad urbem igitur naviga-

τὴν πόλιν διέπλει· Κόνων δ᾽ ἅμα τῷ καταπλεῦσαι προσδεχόμενος τὴν πολιορκίαν, τὰ περὶ τὸν εἴσπλουν τοῦ λιμένος κατεσκεύαζεν. εἰς μὲν γὰρ βράχη τοῦ λιμένος πλοῖα μικρὰ πληρώσας λίθων κατεπόντισε, πρὸς δὲ τοῖς βάθεσιν ὁλκάδας [1] καθώρμιζεν οὔσας λιθοφόρους. οἱ μὲν οὖν Ἀθηναῖοι καὶ τῶν Μιτυληναίων ὄχλος πολὺς ἐκ τῶν ἀγρῶν διὰ τὸν πόλεμον διεληλυθὼς, ταχέως κατεσκεύασε τὰ πρὸς τὴν πολιορκίαν. ὁ δὲ Καλλικρατίδας ἐκβιβάσας τοὺς στρατιώτας εἰς τὸν πλησίον τῆς πόλεως αἰγιαλὸν, ἐποιήσατο παρεμβολὴν, καὶ τρόπαιον ἀπὸ τῆς ναυμαχίας ἔστησε· τῇ δ᾽ ὑστεραίᾳ τὰς κρατίστας τῶν νεῶν ἐπιλέξας, καὶ παρακελευσάμενος μὴ ἀπολείπεσθαι τῆς ἰδίας νεὼς, ἀνήχθη, σπεύδων εἰς τὸν λιμένα πλεῦσαι, [2] καὶ λῦσαι τὸ διάφραγμα τῶν πολεμίων. ὁ δὲ Κόνων τοὺς μὲν εἰς τὰς τριήρεις ἀνεβίβασε, καὶ κατὰ τὸν διέκπλουν ἀντιπρώ-

urbem ipſam oppugnat Callicratides.

1 Καθώρμιζεν Vat. Reg. 1. Co. καθορμίζων edd.

2 Duo haec deſunt Reg. 1. & Coisl.

tionem intendit. Cum qua obſidionem ſimul exſpectandam ratus Conon, quae ad obſtruendum portus oſtium facerent, procurat. Nam qua parte brevia portus erant & vada, ibi navigia parva ſaxis onuſta demergit. In alto vero, ubi maior aquae profunditas, onerarias lapidibus refertas ancoris firmat. Athenienſes itaque & numeroſa Mitylenaeorum turba ex agris in urbem metu belli confluens, repente ad obſidionem neceſſaria comparant. Callicratides autem, iuſſis deſcendere militibus, in vicino urbis litore caſtris locum occupat, & tropaeum victoriae navalis extollit. Poſtridie validiſſimis navium delectis, &, ne longius a praetoria navi abſcederent, iuſſis, verſus urbem tendit, intrare ſimul portum, & impedimenta ab hoſtibus obiecta diſſolvere properans. At Conon partem militum triremibus impoſitam circa aditus

ρους κατέστησε, τοὺς δ' ἐπὶ τὰ μεγάλα πλοῖα διέταξε· τινὰς δ' ἐπὶ τὰς χηλὰς τοῦ λιμένος παρέπεμψεν, ὅπως πανταχόθεν ᾖ πεφραγμένος καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. αὐτὸς μὲν οὖν ὁ Κόνων τὰς τριήρεις ἔχων ἐναυμάχει, πληρώσας τὸν μεταξὺ τόπον τῶν διαφραγμάτων· οἱ δ' ἐπὶ τῶν μεγάλων πλοίων ἐφεστῶτες [1] ἐπέρριψαν ταῖς τῶν πολεμίων ναυσὶ τοὺς ἀπὸ τῶν κεραιῶν λίθους· οἱ δ' ἐπὶ ταῖς χηλαῖς τοῦ λιμένος τεταγμένοι διεκώλυον τοὺς ἀποτολμῶντας εἰς τὴν γῆν ἀποβαίνειν.

οθ'. Οἱ δὲ Πελοποννήσιοι τῆς τῶν Ἀθηναίων φιλοτιμίας [2] οὐκ ἐλείποντο. ταῖς γὰρ ναυσὶν ἀθρόαις ἐπιπλεύσαντες, καὶ τοὺς ἀρίστους ἄνδρας ἐπὶ τὰ καταστρώματα τάξαντες, τὴν ναυμαχίαν ἅμα καὶ πεζὴν ἐποιοῦντο μάχην. βιαζόμενοι μὲν γὰρ ἅμα εἰς τὰς τῶν ἀντιτεταγμένων ναῦς, ταῖς πρώραις ἐπέβαινον τετολ-

1 Ἐπέρριπτον Venet. 2 Deest οὐκ Reg. 1. & Clar.

obverſas hoſti proras tenere iubet, partem maioribus in navigiis diſponit, nonnullos ad portus brachia dimittit, ut undique terra marique circumſeptus foret. Tum ipſe, intervallum loci utrinque obſtructi triremibus ſuis occupans, pugnam ciebat. In maioribus autem navigiis collocati, ex antennis deſuper lapidibus hoſtium naves impetebant. Ad portus autem extremitates conſtituti e navibus ad terram deſcendere conantes prohibebant.

LXXIX. At Peloponneſii ſtudiorum viriumque contentione nihilo hoſtibus inferiores erant. Nam conſerto navium agmine ſe inferentes, diſpoſitis per foros fortiſſimis quibuſque, navale ſimul & terreſtre certamen peragebant. Impetu enim violento hoſtium naves aggreſſi, in proras ipſorum tranſmittere ſe non verentur,

μηκότες, ὡς οὐχ ὑποστησομένων τὸ δεινὸν τῶν προηττημένων. οἱ δ' Ἀθηναῖοι καὶ Μιτυληναῖοι μίαν ὁρῶντες [1] ἀπολειπομένην σωτηρίαν τὴν ἐκ τῆς νίκης, εὐγενῶς ἀποθνήσκειν ἔσπευδον ὑπὲρ τοῦ μὴ λιπεῖν τὴν τάξιν. κατεχούσης δὲ φιλοτιμίας ἀνυπερβλήτου τὰ στρατόπεδα, πολὺς ἐγένετο πόλεμος, ἁπάντων ἀφειδῶς τὰ σώματα τοῖς κινδύνοις παραῤῥιπτόντων. οἱ μὲν γὰρ ἀπὸ τῶν καταστρωμάτων ὑπὸ τοῦ πλήθους τῶν εἰς [2] αὐτοὺς φερομένων βελῶν κατετιτρώσκοντο, καὶ τινὲς μὲν ἐπικαίρως πληγέντες ἔπιπτον εἰς τὴν θάλατταν, τινὲς δ' οὐκ αἰσθανόμενοι, θερμῶν ἔτι τῶν πληγῶν οὐσῶν, διηγωνίζοντο· πλεῖστοι δ' ὑπὸ τῶν λιθοφόρων κεραιῶν ἔπιπτον, ὡς ἂν ἐξ ὑπερδεξίων τόπων [3] βαλλόντων λίθους ὑπερμεγέθεις τῶν Ἀθηναίων. οὐ μὴν ἀλλὰ τῆς μάχης ἐπὶ πολὺν χρόνον γενομένης, καὶ πολλῶν παρ' ἀμφοτέροις ἀπολλυμένων, ὁ Καλλικρατίδας ἀνεκαλέσατο

1 Ἀπολιπομένην Reg. 2. Cl. 2 Αὐτὸν Cl. 3 Βαλλομένων Cl. Reg. 2.

paullo ante victos fugatoſque diſcrimen hoc nequaquam ſubituros arbitrantes. Athenienſes & Mitylenaei vero unam in victoria ſalutis ſpem reliquam eſſe videntes, ſtrenue potius mortem oppetere, quam ordinis ſtationem deſerere, promti ſunt. Tam pertinaci igitur contentione dum exercitus inter ſe rem gerunt, prolixum oritur certamen, cum quiſque intrepide corpus periculis obiectaret. Pars de foris pugnantium multitudine iaculorum undique ingruentium ſauciari; quorum nonnulli letaliter vulnerati, in mare praecipites ibant: pars recentes adhuc ictus non ſentientes, in conflictu perſiſtere. Plurimi tamen ex antennis, quae lapides gerebant, icti cadere, quod praegrandes ex altiori loco lapides ab Athenienſibus incuterentur. Tandem vero, cum proelio ad tempus bene longum extracto, plurimi utrinque cecidiſſent, receptui Callicratides ſuis cani iuſſit,

τῇ σάλπιγγι τοὺς στρατιώτας, βουλόμενος αὐτοὺς διαναπαῦσαι. μετὰ δέ τινα καιρὸν πάλιν πληρώσας τὰς ναῦς, καὶ πολὺν διαγωνισάμενος χρόνον, μεγίστῳ τε πλήθει τῶν νεῶν καὶ τῇ ῥώμῃ τῶν ἐπιβατῶν ἐξέωσε τοὺς Ἀθηναίους. ὧν συμφυγόντων εἰς τὸν ἐν τῇ πόλει λιμένα, διέπλευσε τὰ διαφράγματα, καὶ καθωρμίσθη πλησίον τῆς πόλεως τῶν Μιτυληναίων. ὁ γὰρ εἴσπλους, ὑπὲρ οὗ [1] διηγωνίζοντο, λιμένα μὲν εἶχε καλὸν, ἐκτὸς δὲ πόλεώς ἐστιν. ἡ μὲν γὰρ ἀρχαία πόλις, μικρὰ νῆσός τίς ἐστιν· ἡ δ' ὕστερον προσοικισθεῖσα, [2] τῆς ἀντιπέραν ἐστὶ Λέσβου, ἀνὰ μέσον δ' αὐτῶν ἐστιν εὔριπος στενὸς, καὶ ποιῶν τὴν πόλιν ὀχυράν. ὁ δὲ Καλλικρατίδας ἐκβιβάσας τὴν δύναμιν, περιεστρατοπέδευσε τὴν πόλιν, καὶ πανταχόθεν προσβολὰς ἐποιεῖτο. καὶ τὰ μὲν κατὰ [3] Μιτυλήνην ἐν τούτοις ἦν. κατὰ δὲ Σικελίαν, [4] Συρακούσιοι πέμψαντες εἰς

Syracusani Carthaginiensibus

1 Διηγωνίζοντο Reg. 1. Vulgo διηγωνίζετο.
2 Ἐπὶ τῆς Venet. Paullo ante νῆσος ἐστίν. Coisl. Reg. 2. Clar.
3 Deest Reg. 1.
4 Πέμψαντες οἱ Συρακ. idem.

ut data quiete illos recrearet. Aliquanto post naves rursus onerat, & certamine redintegrato, & ad longum tempus producto, multitudine navium (quae maxima fuit) & epibatarum robore pervicit, ut Athenienses statione illa depellerentur. Qui cum ad interiorem urbis portum refugissent; ingressu per obstacula sibi patefacto, quam proxime Mitylenaeorum urbem ancoras iecit. Ostia enim, de quibus certamen fuerat, perelegans excepit portus, extra tamen moenia situs. Nam vetus urbs parva quaedam insula est. Deinceps autem illi adiecta in adversa Lesbi regione iacet. In medio harum strictus quidam est Euripus, quo urbs redditur munitior. Callicratides igitur, deductis in terram copiis, urbem castris & stationibus cinctam ab omni parte oppugnabat. Et tum res ad Mitylenen in hoc erant statu. In Sicilia

Καρχηδόνα πρέσβεις, περί τε τοῦ πολέμου κατεμέμφοντο, καὶ εἰς τὸ λοιπὸν ἠξίουν παύσασθαι τῆς διαφορᾶς. οἷς οἱ Καρχηδόνιοι τὰς ἀποκρίσεις ἀμφιβόλους [1] δόντες, ἐν μὲν τῇ Λιβύῃ μεγάλας παρεσκευάζοντο δυνάμεις, ἐπιθυμοῦντες ἁπάσας τὰς ἐν τῇ νήσῳ πόλεις καταδουλώσασθαι· πρὶν ἢ δὲ τὰ στρατόπεδα διαβιβάζειν, καταλέξαντες τῶν πολιτῶν τινας, καὶ τῶν ἄλλων Λιβύων τοὺς βουλομένους, ἔκτισαν ἐν τῇ Σικελίᾳ πρὸς αὐτοῖς τοῖς θερμοῖς ὕδασι πόλιν, ὀνομάσαντες Θέρμα.

pacis conditiones proponunt, ab his non acceptas.

Thermarum urbs in Sicilia a Carthaginiensibus condita.

π΄. Τῶν δὲ κατὰ τοῦτον τὸν ἐνιαυτὸν πράξεων τέλος ἐχουσῶν, Ἀθήνησι μὲν παρέλαβε τὴν ἀρχὴν Καλλίας, ἐν δὲ τῇ Ῥώμῃ κατεστάθησαν ὕπατοι Λεύκιος [2] Φούριος καὶ Γναῖος Πομπήϊος. περὶ δὲ τούτους τοὺς χρόνους Καρχηδόνιοι, τοῖς περὶ Σικελίαν εὐτυχήμασι μετεωριζόμενοι, καὶ σπεύδοντες ἁπάσης τῆς νήσου κυριεῦ-

Olymp. XCIII, 3.

Hannibal novam expeditionem in Siciliam parat,

1 Διδόντες idem. 2 Φρούριος Venet.

vero Syracusii, missis Carthaginem legatis, de bello conqueruntur, utque ab ista armorum contentione desistant, adhortantur. Quibus ambigue a Carthaginiensibus responsum. Interim numerosum denuo exercitum cogunt, & in hoc omni studio & cupiditatis annixu toti sunt, ut omnes Siciliae urbes servitutis iugo subiiciant. Antequam vero copias in Siciliam transportassent, volonum ex civibus aliisque Afris delectu habito, novam ad calidas aquas in Sicilia urbem, Therma vocatam, condunt.

LXXX. Rebus anni illius ad exitum ita deductis, Athenis Archontis magistratum accepit Callias, Romaeque Consules facti L. Furius & Cn. Pompeius. Hoc tempore Carthaginienses, rebus per Siciliam prospere gestis elati, totiusque insulae possessionem affectantes, de in-

σαι, μεγάλας δυνάμεις ἐψηφίσαντο παρασκευάζεσθαι. ἑλόμενοι δὲ στρατηγὸν Ἀννίβαν, τὸν κατασκάψαντα τήν τε τῶν Σελινουντίων καὶ τὴν τῶν Ἱμεραίων πόλιν, ἅπασαν αὐτῷ τὴν κατὰ τὸν πόλεμον ἐξουσίαν ἐπέτρεψαν. παραιτουμένου δὲ διὰ τὸ γῆρας, προσκατέστησαν καὶ ἄλλον στρατηγὸν, Ἰμίλκωνα τὸν Ἄννωνος, ἐκ τῆς αὐτῆς ὄντα συγγενείας. οὗτοι δὲ κοινῇ συνεδρεύσαντες, ἔπεμψάν τινας τῶν ἐν ἀξιώματι παρὰ τοῖς Καρχηδονίοις ὄντων μετὰ πολλῶν χρημάτων, τοὺς μὲν εἰς Ἰβηρίαν, τοὺς δ' εἰς τὰς [1] Βαλλιαρίδας νήσους, παρακελευσάμενοι ξενολογεῖν ὡς πλείστους. αὐτοὶ δ' ἐπῄεσαν τὴν Λιβύην, καταγράφοντες στρατιώτας Λίβυας καὶ Φοίνικας, καὶ [2] τῶν πολιτῶν τοὺς κρατίστους. μετεπέμποντο δὲ καὶ παρὰ τῶν συμμαχούντων αὐτοῖς ἐθνῶν καὶ βασιλέων στρατιώτας Μαυρουσίους καὶ Νομάδας, καί τινας τῶν οἰκούντων τὰ πρὸς τὴν Κυρήνην κεκλιμένα μέρη. ἐκ δὲ τῆς Ἰταλίας μισθωσάμενοι

ob fenectutem Imilcone adiuncto focio.

1 Καλλιαρ. Coisl. Edd. Βαλιαρ. 2 Τῶν πολιτικῶν Reg. 2. Co. Cl.

gentis exercitus apparatu decretum fecere. Imperatorem ergo creant Hannibalem, qui Selinuntiorum & Himerensium urbem exciderat, totiusque belli administrandi potestatem ei tradunt. Qui cum ingravescentis praetextu aetatis se excusaret, legatum ei adiungunt Imilconem, filium Hannonis, ex eadem prosapia ortum. Hi, communi rem deliberantes consilio, quosdam e Carthaginiensium numero praecipuae dignitatis viros cum magna pecuniae vi partim in Hispaniam, partim ad Balearicas insulas dimittunt; quibus mandatum, ut quamplurimos mercede milites conducerent. Ipsi per Libyam, Afros, & Poenos militem conscribunt, & e civibus optimum quemque deligunt. A confoederatis etiam populis & regibus Mauros, Numidasque, & nonnullos ex partibus ad Cyrenen sitis, ad militiae societatem arcessunt. Tum Cam-

Καμπανοὺς, διεβίβασαν εἰς Λιβύην. ᾔδεισαν γὰρ τὴν μὲν χρείαν αὐτῶν μεγάλα συμβαλλομένην, τοὺς δ' ἐν Σικελίᾳ καταλελειμμένους Καμπανοὺς, διὰ τὸ [1] προσκεκόφθαι τοὺς Καρχηδονίους, μετὰ τῶν Σικελιωτῶν ταχθησομένους. τέλος δὲ τῶν δυνάμεων ἀθροισθεισῶν εἰς Καρχηδόνα, συνήχθησαν αὐτοῖς οἱ πάντες σὺν ἱππεῦσιν, οὐ πολλῷ πλείους, ὡς μὲν Τίμαιος, τῶν δώδεκα μυριάδων, ὡς δ' Ἔφορος, τριάκοντα μυριάδων. Καρχηδόνιοι μὲν οὖν τὰ πρὸς τὴν διάβασιν ἑτοιμάζοντες, τάς τε τριήρεις πάσας κατήρτιζον, καὶ φορτηγὰ πλοῖα συνήγαγον πλείω τῶν χιλίων. προαποστειλάντων δ' αὐτῶν εἰς Σικελίαν τεσσαράκοντα τριήρεις, οἱ Συρακούσιοι κατὰ τάχος ταῖς παραπλησίαις ναυσὶν ἐπεφάνησαν ἐν τοῖς περὶ τὸν Ἔρυκα τόποις. γενομένης δὲ ναυμαχίας ἐπὶ πολὺν χρόνον, πεντεκαίδεκα μὲν τῶν Φοινισσῶν νεῶν διεφθάρησαν, αἱ δ' ἄλλαι νυκτὸς ἐπι-

Praemissae XL naves proelio apud Erycem a Syracusanis funduntur.

1 Προσκεκοφέναι Coisl. Reg. 1. Tum πρὸς τοὺς Καρχ. Venet.

panos, ex Italia stipendiis invitatos, in Africam transportant. Hos enim magno sibi usui fore compertum habebant: cum illos, quos in Sicilia reliquerant, propter simultates adversus Carthaginienses pridem susceptas, pro Siculis arma gesturos suspicarentur. Tandem ubi copiae hinc inde Carthagine convenissent, recensiti sunt, ut Timaeus refert, haud multo plures centum & XX millibus; ut Ephorus autem numerat, millia trecenta. Carthaginienses igitur, quaecunque ad traiiciendum exercitum requirentur, praeparant, triremesque omnes instaurant, & onerarias plus quam mille cogunt. Hinc triremibus XL in Siciliam praemissis, Syracusani haud cunctanter cum totidem navibus circa Erycem occurrunt, consertoque proelio, cum diu acriter dimicatum esset, de Punicis XV naves interiere: ceterae per noctis inter-

Ipſe cum L navibus ſequitur.

γενομένης [1] διέφυγον εἰς τὸ πέλαγος. ἀπαγγελθείσης δὲ τῆς ἥττης τοῖς Καρχηδονίοις, Ἀννίβας ὁ στρατηγὸς ἐξέπλευσε μετὰ νεῶν πεντήκοντα. ἔσπευδε γὰρ τοὺς μὲν Συρακουσίους κωλῦσαι χρήσασθαι τῷ προτερήματι, ταῖς δὲ ἰδίαις δυνάμεσιν ἀσφαλῆ παρασκευάσαι τὸν κατάπλουν.

Syracuſani & Agrigentini exterorum auxilia appetunt,

πα΄. Διαβοηθείσης δὲ τῆς Ἀννίβα βοηθείας κατὰ τὴν νῆσον, ἅπαντες προσεδόκων καὶ τὰς δυνάμεις εὐθέως διαβιβασθήσεσθαι. αἱ δὲ πόλεις τὸ μέγεθος τῆς παρασκευῆς ἀκούσασαι, καὶ συλλογιζόμεναι τὸν ἀγῶνα περὶ τῶν ὅλων ἐσόμενον, οὐ μετρίως ἠγωνίων. οἱ μὲν οὖν Συρακούσιοι πρός τε τοὺς κατ' Ἰταλίαν Ἕλληνας καὶ πρὸς Λακεδαιμονίους περὶ συμμαχίας διεπέμποντο· ἐπέστελλον δὲ καὶ πρὸς τὰς ἐν Σικελίᾳ πόλεις, πρὸς τοὺς παρορμήσοντας τὰ πλήθη πρὸς τὸν ὑπὲρ τῆς κοινῆς ἐλευθερίας κίνδυνον. Ἀκραγαντῖνοι δὲ ὁρῶντες

1 Διέφυγον Reg. 1. quod praeſtat. Ἔφυγον edd.

ventum fuga ſe in altum ſubduxere. Hac clade Carthaginem renuntiata, Hannibal imperator cum L navium claſſe abnavigat, tum ut uſum victoriae hoſti praeriperet, tum ut tutiorem ſuis tranſitum pararet, maturans.

LXXXI. Divulgato per inſulam Hannibalis adventu, haec cunctos opinio ſuſpenſos tenebat, fore, ut omnes ſtatim copias tranſportaret. Civitates igitur, magnitudine apparatus cognita, cum de ſumma rerum diſceptandum ſibi eſſe arbitrarentur, in ſollicitudine metuque non mediocri erant. Syracuſani inprimis tum ad Graecos in Italia, tum ad Lacedaemonios, ſocietatem & auxilia petitum, legatos mittunt. Per literas etiam huc illuc ad civitates miſſas a primoribus contendunt, ut populum ad commune pro libertate omnium certamen ſuſcipiendum exhortentur. Agrigentini vero, conſiderata Carthaginien-

τὴν τῶν Καρχηδονίων ἐπικράτειαν, διελάμβανον, ὅπερ ἦν, ἐπ' αὐτοὺς πρώτους ἥξειν τὸ τοῦ πολέμου βάρος. ἔδοξεν οὖν [1] αὐτοῖς τόν τε σῖτον καὶ τοὺς ἄλλους καρποὺς, ἔτι δὲ τὰς κτήσεις ἁπάσας ἀπὸ τῆς χώρας [2] κατακομίζειν ἐντὸς τῶν τειχῶν. κατ' ἐκείνους δὲ τοὺς καιροὺς [3] τήν τε χώραν καὶ τὴν πόλιν τῶν Ἀκραγαντίνων συνέβαινεν εὐδαιμονίας ὑπάρχειν πλήρη. περὶ ἧς οὐκ ἀνάρμοστον μοι φαίνεται διελθεῖν. καὶ γὰρ [4] ἀμπελῶνες τοῖς μεγέθεσι καὶ τῷ κάλλει διαφέροντες, καὶ τὸ πλεῖστον τῆς χώρας ἐλαίαις κατάφυτον, ἐξ ἧς παμπληθῆ κομιζόμενοι καρπὸν ἐπώλουν εἰς Καρχηδόνα· οὔπω γὰρ κατ' ἐκείνους τοὺς χρόνους τῆς Λιβύης πεφυτευμένης, οἱ τὴν Ἀκραγαντίνην νεμόμενοι, τὸν ἐκ τῆς Λιβύης ἀντιφορτιζόμενοι πλοῦτον, οὐσίας ἀπίστους τοῖς μεγέθεσιν ἐκέκτηντο. πολλὰ δὲ τοῦ πλούτου παρ' αὐτοῖς διαμένει σημεῖα, περὶ ὧν οὐκ ἀνοίκειόν ἐστι βραχέα διελθεῖν.

& moenibus ſua tutari annituntur.

Excurrit hiſtoricus in deſcriptionem urbis & agri Agrigentini, tum fertilitate tum opulentia florentiſſimi.

1 Αὐτοὺς Reg. 1.
2 Εἰσκομίζειν Venet.
3 Τήν τε πολ. καὶ τὴν χώραν Co.
4 Ἀμπέλων δὲ Coisl. ſed prave.

ſium potentia, tantam belli molem ſibi omnium primis excipiendam eſſe, (ut vere etiam ſe res habebat, ſuſpicantur. Conſultiſſimum igitur viſum, ut frumenta, alioſque terrae foetus, & opes univerſas, ex agris intra moenia comportarent. Nam tempeſtate illa & regio Agrigentinorum, & urbs, felici bonorum copia exuberabant. De quo ut luculentius diſſeram, haud inconveniens hic videtur. Nam vineta illis amplitudinis ſpatioſae, & amoenitatis eximiae. Maxima regionis pars olivis conſita: unde uberrima fructus copia venumdatum Carthaginem aſportabatur. Nam quia temporibus illis Africa nondum plantis conſita erat, Agrigentini territorii cultores ex permutatione opes immenſas lucrabantur. Opulentiae huius plurima etiamnum indicia illis reſtant; de quibus pauca referre non alienum eſſe arbitror.

Aedium magnificentia.

πβ'. Ἥ τε γὰρ τῶν ἱερῶν κατασκευὴ, καὶ μάλιστα ὁ τοῦ Διὸς νεὼς, ἐμφαίνει τὴν μεγαλοπρέπειαν τῶν τότε ἀνθρώπων. τῶν μὲν γὰρ ἄλλων ἱερῶν τὰ μὲν κατεκαύθη, τὰ δὲ τελείως κατεσκάφη, διὰ τὸ πολλάκις ἡλωκέναι τὴν πόλιν· τὸ δ' οὖν Ὀλύμπιον μέλλον λαμβάνειν τὴν ὀροφὴν ὁ πόλεμος ἐκώλυσεν. ἐξ οὗ τῆς πόλεως κατασκαφείσης, οὐδέποτε ὕστερον ἴσχυσαν Ἀκραγαντῖνοι τέλος ἐπιθεῖναι τοῖς οἰκοδομήμασιν. ἔστι δὲ ὁ νεὼς ἔχων τὸ μὲν μῆκος πόδας τριακοσίους τεσσαράκοντα, τὸ δὲ πλάτος ἑξήκοντα, τὸ δὲ ὕψος ἑκατὸν εἴκοσι, χωρὶς τοῦ κρηπιδώματος. μέγιστος δ' ὢν τῶν ἐν Σικελίᾳ, καὶ τοῖς ἐκτὸς οὐκ ἀλόγως ἂν συγκρίνοιτο κατὰ τὸ μέγεθος τῆς ὑποστάσεως. καὶ γὰρ [1] εἰ μὴ τέλος λαβεῖν συνέβη τὴν ἐπιβολὴν, ἥ γε [2] προδιαίρεσις ὑπάρχει φανερά. τῶν δ' ἄλλων ἢ μέχρι τοίχων τοὺς νεὼς οἰκοδομούντων, ἢ [3] κυκλώσει τοὺς οἴκους

1 Εἰ καὶ μὴ Ven. 2 Προαναίρεσις Reg. 1. 3 Sic Ven. vulg. ἡ κύκλωσις.

LXXXII. Nam templorum ſtructura & ornatus, inprimis vero Iovis fanum, magnificentiam illius aetatis hominum oſtendit. Ceterae enim aedes ſacrae vel exuſtae ſunt, vel funditus deſtructae, per crebras urbis expugnationes. Olympio, cum iam prope eſſet, ut tectum induceretur, bellum impedimento fuit. Ab eo deinceps tempore exciſo oppido, nunquam poſtea colophonem aedificiis imponere Agrigentini valuerunt. Fanum illud pedum CCCXL longitudine porrectum eſt, ad LX vero latitudinem patet, & ad CXX altitudinem, fundamento tamen excepto, attollitur. Maximum hoc omnium eſt, quae per inſulam habentur, & magnitudine ſubſtructionum cum exteris quoque comparari meretur. Nam etiamſi molitio iſta ad finem perducta non fuit, priſtina tamen deformatio adhuc in conſpectu eſt. Cum enim alii ad parietes uſque templa educant, aut columnis aedes

περιλαμβανόντων, οὗτος [1] ἑκατέρας τούτων μετέχει τῶν ὑποστάσεων. [2] συνῳκοδομοῦντο γὰρ οἱ τοῖχοι τοῖς κίοσιν, ἔξωθεν μὲν στρογγύλοι, τὸ δ' ἐντὸς τοῦ [3] νεὼ ἔχοντες τετράγωνον· καὶ τοῦ μὲν ἐκτὸς μέρους ἐστὶν αὐτῶν ἡ περιφέρεια ποδῶν εἴκοσι, καθ' ἣν εἰς τὰ διαξύσματα δύναται ἀνθρώπινον ἐναρμόζεσθαι σῶμα· τὸ δ' ἐντὸς, ποδῶν δώδεκα. τῶν δὲ στοῶν τὸ μέγεθος καὶ τὸ ὕψος ἐξαίσιον [4] ἐχουσῶν, ἐν μὲν τῷ πρὸς ἕω μέρει τὴν γιγαντομαχίαν ἐποιήσαντο, ταῖς [5] τε γλυφαῖς καὶ τῷ μεγέθει καὶ τῷ κάλλει [6] διαφέρουσαν· ἐν δὲ τῷ πρὸς δυσμὰς, τὴν ἅλωσιν τῆς Τροίας, ἐν ᾗ τῶν ἡρώων ἕκαστον ἰδεῖν ἐστιν οἰκείως τῆς περιστάσεως δεδημιουργημένον. ἦν δὲ καὶ λίμνη κατ' ἐκεῖνον τὸν χρόνον ἐκτὸς τῆς πόλεως χειροποίητος, ἔχουσα τὴν περίμετρον σταδίων ἑπτὰ, τὸ δὲ βάθος εἴκοσι πηχῶν· εἰς ἣν ἐπαγομένων ὑδάτων, ἐφιλοτέχνησαν πλῆθος ἰχθύων ἐν αὐτῇ

1 Ἑκατέρους Co. Tum μετέχειν.
2 Συνοικοδομοῦντο Coisl.
3 Νεὼς Clar.
4 Ἐχόντων Coisl.
5 Deest Clar.
6 Διαφερούσας idem & Coisl.

complectantur, utriusque structurae genus huic fano commune est. Nam una cum parietibus columnae assurgunt rotundae extrinsecus, sed quadrata intus forma. Ambitus harum ab exteriori parte XX pedes habet, tanta strigum amplitudine, ut corpus humanum inserere se apte queat: intrinsecus vero XII pedes continet. Magnitudo porticuum & sublimitas stupenda est: in quarum parte orientali, Gigantum conflictus est, caelatura, magnitudine, & elegantia operis excellens. Ad occasum Troiae expugnatio effecta habetur, ubi heroum unumquemque videre est, ad habitus sui formam elaborate fabricatum. Lacus etiam fuit tempestate illa extra urbem manu factus, VII stadiorum ambitu, & profunditate XX cubitorum. In quem derivatis aquis, mira quadam arte effecerant, ut omnis generis pisces magna copia illic ha-

ποιῆσαι παντοίων, εἰς τὰς δημοσίας ἑστιάσεις· μεθ' ὧν συνδιέτριβον κύκνοι, καὶ τῶν ἄλλων ὀρνέων πολὺ πλῆθος, ὥστε μεγάλην τέρψιν παρασκευάζειν τοῖς θεωμένοις. [1] δηλοῖ δὲ τὴν τρυφὴν αὐτῶν [2] καὶ ἡ πολυτέλεια τῶν μνημείων, ἅ τινα μὲν τοῖς ἀθληταῖς ἵπποις κατεσκεύασαν, τινὰ δὲ τοῖς ὑπὸ τῶν παρθένων καὶ παίδων ἐν οἴκῳ [3] τρεφομένοις ὀρνιθαρίοις, ἃ Τίμαιος ἑωρακέναι φησὶ μέχρι τοῦ καθ' ἑαυτὸν βίου διαμένοντα. καὶ κατὰ τὴν προτέραν δὲ ταύτης Ὀλυμπιάδα, δευτέραν ἐπὶ ταῖς ἐνενήκοντα, νικήσαντος Ἐξαινέτου Ἀκραγαντίνου κατήγαγον αὐτὸν εἰς τὴν πόλιν ἐφ' ἅρματος· [4] συνεπόμπευον δ' αὐτῷ, χωρὶς τῶν ἄλλων, συνωρίδες τριακόσιαι λευκῶν ἵππων, πᾶσαι παρ' αὐτῶν τῶν Ἀκραγαντίνων. καθόλου δὲ καὶ τὰς ἀγωγὰς εὐθὺς ἐκ παίδων ἐποιοῦντο τρυφερὰς, τὴν τ' ἐσθῆτα μαλακὴν φοροῦντες [5] καθ' ὑπερβολὴν, καὶ χρυσοφοροῦντες, ἔτι δὲ [6] στλεγ-

1 Δῆλον Clar.
2 Non eſt in Coisl.
3 Τρεφομένων Coisl. Vat. Clar.
4 Συνεπόμπευε Clar.
5 Haec uſque ad ἔτι δὲ non ſunt in Reg. 1.
6 Στλεγγίσι Coislin. optime. Edd. στεγίσι.

berentur ad publicos conviviorum apparatus. Frequentes illic olores, aliaeque magno numero volucres, quae magna ſpectatores voluptate permulcebant. Faſtum & delicias civitatis etiam ſepulcrorum magnificentia declarat. Quorum nonnulla equis in certamine quondam probatis exſtructa, quaedam aviculis, quae domi a virgunculis & puſionibus educantur, concinnata fuere. Eaque ſua etiamnum aetate reſtantia, Timaeus ſe vidiſſe teſtatur. Et proxima ante hanc Olympiade, quae ſecunda eſt poſt nonageſimam, Exaenetum, Olympicis victorem, invectum curru in urbem, bigae CCC candidis equis omnes Agrigentinae feſtiva pompa comitabantur. In ſumma, a pueris inde uſque delicata illis vitae ratio, veſtituſque nimium quantum mollis; aurumque geſtare, & ex auro argen-

γίσι καὶ ληκύθοις ἀργυραῖς τε καὶ χρυσαῖς χρώμενοι.

πγ΄. Ὁ δὲ τῶν Ἀκραγαντίνων σχεδὸν [1] πλουσιώτατος κατ᾽ ἐκεῖνον τὸν χρόνον Γελλίας, ὃς κατὰ τὴν οἰκίαν [2] ξενῶνας ἔχων πλείους, πρὸς ταῖς πύλαις ἔταττεν οἰκέτας· οἷς παρηγγελμένον ἦν ἅπαντας τοὺς ξένους καλεῖν ἐπὶ ξενίᾳ. πολλοὶ δὲ καὶ τῶν ἄλλων Ἀκραγαντίνων ἐποίουν τὸ παραπλήσιον, ἀρχαϊκῶς καὶ φιλανθρώπως ὁμιλοῦντες. διόπερ καὶ Ἐμπεδοκλῆς λέγει περὶ αὐτῶν·

Gellias, singulare divitiarum & summae liberalitatis exemplum.

Ξένων αἰδοῖοι λιμένες, κακότητος ἄπειροι.

καὶ δή ποτε πεντακοσίων ἱππέων παραγενομένων ἐκ Γέλας, χειμερίου περιστάσεως οὔσης, καθάπερ φησὶ Τίμαιος ἐν τῇ πεντεκαιδεκάτῃ βίβλῳ, πάντας αὐτοὺς ὑπεδέξατο, καὶ παραχρῆμα πᾶσιν ἱμάτια καὶ χιτῶνας ἔνδοθεν [3] προενέγκας ἔδωκε. καὶ Πολύκλειτος ἐν ταῖς ἱστορίαις ἐξηγεῖται περὶ τοῦ κατὰ τὴν οἰκίαν πι-

1 Πλουσιώτατος ἦν Venet.
2 Ξενῶσας Coisl.
3 Προσενέγκας Coisl. Clar.

toque ſtrigiles & lecythos in uſu habere, mos illis erat.

LXXXIII. Ditiſſimus vero omnium inter Agrigentinos eo tempore Gellias erat. Is, compluribus domi ſuae diverſoriis ad excipiendos hoſpites exſtructis, ad portas ianitores conſtituit, quibus imperatum erat, ut, quoſcunque viderent, ad hoſpitium invitarent. Exemplum hoc etiam alii imitati fuere, quibus priſco more humaniter & benigne cum hominibus verſari ſtudium erat. Idcirco Empedocles hunc ad modum de illis canit:

*Hoſpitibus ſancti portus, ſine labe malorum.*

Contigit aliquando, ut ɪɔ illuc equites hiberna tempeſtate, ut Timaeus libro XV memorat, diverterent. Hos omnes liberaliter ille ſuſcepit, & confeſtim ſingulis chlamydes tunicaſque, ex arcis depromtas, diſtribuit. Et Polyclitus in hiſtoriis ſuis narrat de cella in ipſius do-

θεῶνος, [1] λέγων ὡς διαμείναντος αὐτοῦ στρατευομένου ἐν Ἀκράγαντι, τεθεωρηκέναι. εἶναι δ' ἐν αὐτῷ τριακοσίους μὲν πίθους, ἐξ αὐτῆς τῆς πέτρας [2] τετμημένους, ἕκαστον ἑκατὸν ἀμφορεῖς χωροῦντα· κολυμβήθραν δὲ παρ' αὐτοῖς ὑπάρχειν κεκονιαμένην, χωροῦσαν ἀμφορεῖς χιλίους, ἐξ ἧς τὴν ῥύσιν εἰς τοὺς πίθους γίνεσθαι. γεγονέναι δέ φασι τὸν Γελλίαν τὸ μὲν εἶδος εὐτελῆ [3] παντελῶς, τὸ δὲ ἦθος θαυμαστόν. ἀποσταλέντος οὖν αὐτοῦ πρὸς Κεντοριπίνους κατὰ πρεσβείαν, καὶ παρεληλυθότος εἰς [4] τὴν ἐκκλησίαν, τὸ μὲν πλῆθος προσέπεσεν εἰς ἄκαιρον γέλωτα, θεωροῦν καταδεέστερον τῆς περὶ αὐτοῦ δόξης. ὁ δ' ὑπολαβὼν εἶπε μὴ θαυμάζειν· ἐν ἔθει γὰρ εἶναι τοῖς Ἀκραγαντίνοις πρὸς μὲν τὰς ἐπιδόξους πόλεις ἀποστέλλειν τοὺς κρατίστους [5] τῷ κάλλει, πρὸς δὲ τὰς ταπεινὰς καὶ λίαν εὐτελεῖς, [6] ὁμοίους.

πδ'. Οὐ μόνον δὲ περὶ τὸν Γελλίαν συνέβαινεν εἶναι

1 Λέγων τοῦτον διαμ. Venet.
2 Τετμημένον Clar.
3 Παντελῶς δὲ τὸ ἦθος Reg. 1.
4 Abeſt articulus Coiſl.
5 Non eſt in Reg. 2. neque Cl.
6 Ὡσαύτως Reg. 1.

mo vinaria, quam ſe, dum militans Agrigenti ſubſiſteret, vidiſſe atteſtatur: quod tum fuerint in illa CCC dolia uno ſaxo exciſa, quorum unumquodque centum amphoras ceperit. Iuxta vero labrum exſtitiſſe incruſtatum CIↃ amphorarum capax, ex quo liquor in vaſa defluxerit. Forma Gellias exili & deſpecta fuiſſe dicitur, ſed ingenio & moribus admirandus. Cum legati aliquando ad Centuripinos munere fungeretur, in concionem progreſſo, importunum in riſum ſe vulgus effudit, formam nominis celebritati minime parem videns. Ad quod ille reſpondit: Hoc tantopere mirandum non eſſe, ſiquidem Agrigentini pro more id obſervent, ut forma praeſtantiſſimos ad incliti nominis civitates mittant, ad humiles vero, nec magni faciendos, ſibi ſimiles.

LXXXIV. Nec vero Gelliae tantum, ſed multis quo-

τοῦ πλούτου μεγαλοπρέπειαν, ἀλλὰ καὶ περὶ πολλοὺς ἄλλους Ἀκραγαντίνους. Ἀντισθένης γοῦν ὁ ἐπικαλούμενος Ῥόδος γάμους ἐπιτελῶν τῆς θυγατρὸς, εἱστίασε τοὺς πολίτας ἐπὶ τῶν στενωπῶν, ὧν ᾤκουν ἕκαστοι, καὶ ζεύγη τῇ νύμφῃ συνηκολούθησε πλείω τῶν ὀκτακοσίων· πρὸς δὲ τούτοις οὐ μόνον οἱ κατ' [1] αὐτὴν τὴν πόλιν ἱππεῖς, ἀλλὰ καὶ τῶν ἀστυγειτόνων πολλοὶ, κληθέντες ἐπὶ τὸν γάμον, συμπροέπεμψαν τὴν νύμφην. περιττότατον δέ φασι γενέσθαι τὸ περὶ τὴν τοῦ φωτὸς κατασκευήν. τούς τε γὰρ βωμοὺς τοὺς ἐν [2] πᾶσι τοῖς ἱεροῖς καὶ τοὺς ἐν τοῖς στενωποῖς καθ' ὅλην τὴν πόλιν ἐπλήρωσε ξύλων, καὶ τοῖς ἐπὶ τῶν [3] ἐργαστηρίων ἔδωκε σχίδακας καὶ κληματίδας, παραγγείλας, ὅταν ἀπὸ τῆς ἀκροπόλεως ἀναφθῇ [4] πῦρ, ἅπαντας ἐπιβαλεῖν τὸ παραπλήσιον. ὧν ποιησάντων τὸ προσταχθὲν, καθ' ὃν καιρὸν ἤγετο ἡ νύμφη, προη-

Antisthenes, aliud affluentiae & magnificentiae exemplum.

1 Deest Reg. 1. non male. Mox κλιματίδας Clar.
2 Ἅπασι Coisl.
3 Ἐργαστηρίων ἔδωκε solus Ven. e quo verbum deficiens revocavi.
4 Παρὰ πάντας Coisl. πῦρ quoque abest Reg. 1.

que aliis Agrigentinis, tanta opum magnificentia contigit. Antisthenes sane, cui Rhodi cognomentum, cum nuptias filiae perageret, cives in suis quosque vicis liberali convivio excepit, &, ut plus quam IↃCCC sponsam iuga comitarentur, procuravit. Ad haec non tantum equites oppidani, sed e vicinis quoque multi, ad nuptias arcessiti, pompa frequente novam nuptam deduxerunt. Cum summa vero magnificentia festivae in urbe lucis apparatus fuit coniunctus. In omnibus enim templis aras, & quotquot per totius oppidi vicos erant, strue lignorum onustas, assulasque praeterea in tabernis & sarmenta, quamprimum flammantem in arce ignem viderent, eodem ubique momento accendi iussit. Cui mandato cum mos gereretur, illo ipso tempore, quo sponsa

γουμένων πολλῶν τῶν τὰς δᾳδας φερόντων, ἡ μὲν πόλις ἔγεμε φωτὸς, τὸ δὲ συνακολουθοῦν πλῆθος οὐκ ἐχώρουν αἱ δημόσιαι [1] κατὰ τὸ ἑξῆς ὁδοὶ, πάντων συμφιλοτιμουμένων τῇ [2] τἀνδρὸς μεγαλοπρεπείᾳ. κατ᾽ ἐκεῖνον γὰρ τὸν χρόνον Ἀκραγαντῖνοι μὲν ἦσαν [3] πλείους τῶν δισμυρίων, σὺν δὲ τοῖς κατοικοῦσι ξένοις οὐκ ἐλάττους τῶν εἴκοσι μυριάδων. Φασὶ δὲ τὸν Ἀντισθένην, ἐπειδὴ τὸν υἱὸν ἑώρα πολεμοῦντά τινα τῶν ἀπὸ γειτόνων πένητα, καὶ βιαζόμενον ἑαυτῷ τὸ ἀγρίδιον πωλῆσαι, μέχρι μέν τινος ἐπέπληττε, τῆς δ᾽ ἐπιθυμίας ἐπίτασιν λαμβανούσης, φῆσαι δεῖν μὴ σπεύδειν, πῶς ἄπορον [4] ποιήσῃ τὸν γείτονα, ἀλλὰ τοὐναντίον ὅπως πλούσιος ὑπάρχῃ· οὕτως γὰρ αὐτὸν ἐπιθυμήσειν μὲν ἀγροῦ μείζονος, οὐ δυνάμενον δὲ παρὰ τοῦ γείτονος προσαγοράσαι, τὸν ὑπάρχοντα πωλήσειν. διὰ δὲ τὸ μέγεθος

Incolarum numerus

1 Καθεξῆς Reg. 1.
2 Τοῦ ἀνδρὸς Reg. 2.
3 Πλείω Reg. Coisl. Clar. Non male pro scriptoris nostri more.
4 Ποιεῖ Reg. 1. Coisl. & mox ὑπάρχει. Tum ἀγοράσαι Coisl.

ingenti faces praeferentium comitatu deducitur, tota urbs ignibus undequaque excitatis reluxit, nec publicae urbis viae tantam comitatus multitudinem capere poterant; adeo magnificentiam viri impenso cuncti favore prosequebantur. Per illud enim tempus Agrigentinorum plures erant quam CCIↃↃ CCIↃↃ; adiunctis vero inquilinis, non pauciores ducentis millibus. De Antisthene hoc memorant, cum filium infensius aliquando cum vicino pauperculo contendere, & ad vendendum sibi agellum cogere velle animadverteret, obiurgando illum ad tempus deterruisse; cupiditate vero hominis subinde magis aucta, monuisse tandem, ne vicinum ad inopiam adigere properaret, sed locupletare potius eum studeret: ita enim plus agri illum affectaturum. Quod ubi parato sibi aere a vicino redimere nequiverit, hunc ipsum, quem in possessione hactenus retinuerit, venditurum.

τῆς κατὰ τὴν πόλιν εὐπορίας τοσαύτην συνέβαινε τρυφὴν εἶναι παρὰ τοῖς Ἀκραγαντίνοις, ὥστε μετ' ὀλίγον τῆς πολιορκίας γινομένης, ποιῆσαι ψήφισμα περὶ τῶν ἐν τοῖς φυλακείοις διανυκτερευόντων, ὅπως μή τις ἔχῃ πλεῖον τύλης, καὶ περιστρώματος, καὶ κωδίου, καὶ δυοῖν προσκεφαλαίων. τοιαύτης δὲ τῆς σκληροτάτης [1] στρωμνῆς ὑπαρχούσης, ἔξεστι λογίζεσθαι τὴν κατὰ τὸν λοιπὸν βίον τρυφήν. περὶ μὲν οὖν τούτων οὔτε παραδραμεῖν ἠθελήσαμεν, οὔτ' ἐπὶ πλέον μακρολογεῖν, ἵνα μὴ τῶν ἀναγκαιοτέρων ἀποπίπτωμεν. & vita luxuriosa.

πε΄. Οἱ δὲ Καρχηδόνιοι τὰς δυνάμεις διαβιβάσαντες εἰς τὴν Σικελίαν, ἀνέζευξαν ἐπὶ τὴν πόλιν τῶν Ἀκραγαντίνων, καὶ δύο παρεμβολὰς ἐποιήσαντο, μίαν μὲν [2] ἐπί τινων λόφων, ἐφ' ὧν τούς τε Ἴβηρας καί τινας τῶν Λιβύων ἔταξαν εἰς τετρακισμυρίους· τὴν δ' ἄλλην οὐκ ἄποθεν τῆς πόλεως ποιησάμενοι, τάφρῳ In Agrigentinorum urbem Carthaginienses totam vim convertunt.

1 Ζωῆς Reg. 1.
2 Ἐπί τινων λόφων, ἐφ' ὧν solus Venet. Deerant edd. voces postremae.

Summa igitur civitatis opulentia effecit, ut tanto Agrigentini luxu diffluerent, usque adeo etiam, ut brevi post, licet exitiali obsidione pressi, decreto tamen publico sciscerent, ne quis in excubiis pernoctantium plus quam culcitram, stragulam, gausape laneum, & duo cervicalia haberet. Cum haec igitur durissima lecti sternendi ratio ipsis fuerit, facile hinc aestimare licet, quantus in reliqua vita luxus apud eos invaluerit. Haec nec praeterire libuit, nec prolixius tractare placet, ne magis necessaria praetermittantur.

LXXXV. Carthaginienses ergo, copiis in Siciliam traiectis, in Agrigentinos expeditionem faciunt, & bina in diversis locis castra faciunt: altera in collibus quibusdam, ubi Hispanos, & Afrorum manum ad CCIↃↃ CCIↃↃ CCIↃↃ CCIↃↃ collocant; altera non procul ab urbe fossa

βαθεία καὶ χάρακι περιέβαλον· καὶ πρῶτον μὲν ἀπέστειλαν πρέσβεις πρὸς τοὺς Ἀκραγαντίνους, ἀξιοῦντες μάλιστα μὲν συμμαχεῖν αὐτοῖς, εἰ δὲ μή γε, [1] ἡσυχίαν ἔχειν, καὶ φίλους εἶναι [2] Καρχηδονίοις, ἐν εἰρήνῃ μένοντας. οὐ προσδεξαμένων δὲ τῶν ἐν τῇ πόλει τοὺς λόγους, εὐθὺς τὰ τῆς πολιορκίας ἐνηργεῖτο. οἱ μὲν οὖν Ἀκραγαντῖνοι τοὺς ἐν ἡλικίᾳ πάντας καθώπλισαν, καὶ καταστήσαντες εἰς τάξιν, τοὺς μὲν ἐπὶ τῶν τειχῶν ἔστησαν, τοὺς δὲ ἐφέδρους πρὸς τὰς τῶν καταπονουμένων διαδοχάς. συνεμάχει δ' αὐτοῖς Δέξιππός τε ὁ Λακεδαιμόνιος, προσφάτως ἐκ Γέλας παρὼν, μετὰ ξένων χιλίων πεντακοσίων· οὗτος γὰρ κατ' ἐκεῖνον τὸν χρόνον, ὡς Τίμαιός φησιν, ἐν Γέλᾳ διέτριβεν, ἔχων ἀξίωμα διὰ τὴν πατρίδα. διόπερ ἠξίωσαν οἱ Ἀκραγαντῖνοι, μισθωσάμενον στρατιώτας ὡς πλείστους, ἐλθεῖν

1 Ἡσυχίας Reg. 1. Coisl. 2 Καρχηδονίων Reg. 1.

profunda valloque circummuniunt. Initio autem per legatos ab Agrigentinis contendunt inprimis, ut societatem & arma secum iungant: sin id non placeret, ut quieti a bello abstinerent, & in pace amicitiam cum Carthaginiensibus colant. Cum neutra conditionum ab oppidanis reciperetur, ad oppugnationem strenue processum est. Agrigentini igitur, armatis, quicunque per aetatem arma ferre possent, & in ordinem digestis, partem horum ad defensionem moenium constituunt, partem in subsidiis, ad succedendum fessis, collocant. Auxiliarem vero ipsis operam navabat Dexippus Lacedaemonius, qui recens a Gela CIↃ IↃ peregrinorum militum agmen ipsis adduxerat. Is enim sub id tempus, ut Timaeus refert, Gelae vitam agebat, in magna propter patriam dignatione habitus. Rogatus igitur fuerat a civitate Agrigentinorum, ut numero militum, quam maximo posset,

εἰς Ἀκράγαντα. ἅμα δὲ τούτοις [1] ἐμισθώθησαν καὶ οἱ πρότερον Ἀμίλκα συμμαχήσαντες Καμπανοὶ, περὶ ὀκτακοσίους ὄντες. οὗτοι δὲ κατέσχον τὸν ὑπὲρ τῆς πόλεως λόφον, τὸν Ἀθηναῖον μὲν ὀνομαζόμενον, κατὰ δὲ τῆς πόλεως εὐφυῶς κείμενον. Ἀμίλκας δὲ καὶ Ἀννίβας οἱ τῶν Καρχηδονίων στρατηγοὶ, διασκεψάμενοι τὰ τείχη, καὶ καθ' ἕνα τόπον θεωροῦντες εὐέφοδον οὖσαν τὴν πόλιν, δύο πύργους προσήγαγον τοῖς τείχεσιν ὑπερμεγέθεις. τὴν μὲν οὖν πρώτην ἡμέραν ἐπὶ τούτων τειχομαχήσαντες, καὶ συχνοὺς ἀνελόντες, ἀνεκαλέσαντο τῇ σάλπιγγι τοὺς μαχομένους· τῆς δὲ νυκτὸς ἐπιγενομένης, οἱ κατὰ τὴν πόλιν ἐπεξελθόντες ἐνεπύρισαν τὰς μηχανάς.

πϛʹ. Οἱ δὲ περὶ τὸν Ἀννίβαν σπεύδοντες κατὰ πλείονα μέρη τὰς προσβολὰς ποιεῖσθαι, παρήγγειλαν τοῖς στρατιώταις καθαιρεῖν τὰ μνήματα, καὶ χώματα [2] κατασκευάζειν μέχρι τῶν τειχῶν. ταχὺ δὲ τῶν

1 Ἐμισθώθησαν unus Venetus. Cett. ἐμίσθωσαν.
2 Σκευάζειν Coisl. Reg. 1.

conducto, auxilium sibi ferret. Mercenariam praeterea operam illis locabant, qui cum Hamilcare prius militaverant, Campani circiter IↃ CCC. Hi collem urbi imminentem, quem Athenaeum vocitant, percommodo equidem situ, occupant. Tum Hamilcar & Hannibal, Carthaginiensium Praetores, exploratis urbis moenibus, cum uno tantum loco facilem esse irruptionem viderent, duas stupendae magnitudinis turres illic applicant. Primo igitur die ex his moenia oppugnant, multisque hostium interfectis, receptui cani iubent. Insequenti nocte, eruptione facta oppidani machinas incendunt.

LXXXVI. Hannibal vero, diversis in locis oppugnationem intentare properans, sepulcra milites demoliri, & aggeres ad ipsos usque muros extollere iubet. Opus

ἔργων διὰ τὴν πολυχειρίαν συντελουμένων, συνέπεσεν εἰς τὸ στρατόπεδον πολλὴ δεισιδαιμονία. τὸν γὰρ τοῦ Θήρωνος τάφον, ὄντα κατ' ὑπερβολὴν μέγαν, συνέβαινεν ὑπὸ κεραυνοῦ διασεσεῖσθαι. διόπερ αὐτοῦ καθαιρομένου, τῶν τε μάντεών τινες προνοήσαντες διεκώλυσαν· εὐθὺς δὲ καὶ λοιμὸς ἐνέπεσεν εἰς τὸ στρατόπεδον, [1] καὶ πολλοὶ μὲν ἐτελεύτων, οὐκ ὀλίγοι δὲ στρέβλαις καὶ δειναῖς ταλαιπωρίαις περιέπιπτον. ἀπέθανε δὲ καὶ Ἀννίβας ὁ στρατηγὸς, καὶ τῶν ἐπὶ τὰς φυλακὰς προπεμπομένων [2] ἤγγελλόν τινες διὰ νυκτὸς εἴδωλα φαίνεσθαι τῶν τετελευτηκότων. Ἀμίλκας δὲ θεωρῶν τὰ πλήθη δεισιδαιμονοῦντα, πρῶτον μὲν ἐπαύσατο καθαιρῶν τὰ μνημεῖα. μετὰ δὲ ταῦτα ἱκέτευε τοὺς θεοὺς κατὰ τὸ πάτριον ἔθος, τῷ μὲν Κρόνῳ παῖδα σφαγιάσας, τῷ δὲ Ποσειδῶνι πλῆθος ἱερείων καταποντίσας. οὐ μὴν ἀπέστη γε τῶν ἔργων, ἀλλὰ χώσας τὸν πα-

Peſtis Carthaginienſium caſtra corripit, qua Hannibal exſtinguitur.

1 Quatuor ſequentia non legit Reg. 1. Paullo ante εὐθὺ Coislin. Praeſtiterat quoque καθαιρουμένου. 2 Ἤγγελον uterque Reg.

id ſubito a tanta hominum multitudine perfectum datur. Sed ingens tum religio exercitum invadit. Nam Theronis monumentum, magnificae ſtructurae ac molis opus, fulminis ictu disiicitur. Quod repurgari coeptum, nonnullorum, qui tum praeſto erant, vatum providentia inhibetur. Tum illico peſtis caſtra invadit, qua multi ſtatim intereunt; non pauci atrocibus tormentis & miſeriis corripiuntur. Inter quos etiam Hannibal exſtinctus eſt. Quidam ad excubias praemiſſi, ſimulacra defunctorum per noctem a ſe conſpecta renuntiant. Hamilcar igitur, Deûm formidine vulgus perterritum videns, primum ab eruendis ſepulcris abſtinet. Hinc Diis ſupplicationes ritu patrio inſtituens, puerum Saturno mactat, & Neptuno turbam victimarum in mare demergit. Nec tamen ab inceptis propterea deſiſtit: ſed fluvio prope ur-

ρὰ τὴν πόλιν ποταμὸν μέχρι τῶν τειχῶν, ἐπέστησε πάσας τὰς μηχανὰς, καὶ καθ' ἡμέραν προσβολὰς ἐποιεῖτο. οἱ δὲ Συρακούσιοι θεωροῦντες τὴν Ἀκράγαντος πολιορκίαν, καὶ φοβούμενοι μὴ τῆς αὐτῆς τοῖς Σελινουντίοις [1] καὶ τοῖς Ἱμεραίοις τύχωσιν οἱ πολιορκούμενοι τύχης, πάλαι μὲν [2] ἔσπευδον ἐκπέμψαι τὴν βοήθειαν· τότε δὲ παραγενομένων τῶν ἐξ Ἰταλίας καὶ Μεσσήνης συμμάχων, στρατηγὸν Δαφναῖον εἵλοντο. τὴν δὲ δύναμιν ἀθροίσαντες, παρέλαβον κατὰ τὴν ὁδὸν Καμαρίνους καὶ Γελώους, [3] ἔτι δὲ τῶν ἐκ τῆς μεσογείου μεταπεμψάμενοί τινας, ἐπ' Ἀκράγαντος τὴν πορείαν ἐποιοῦντο, συμπαραπλεουσῶν αὐτοῖς καὶ τῶν τριάκοντα νεῶν. εἶχε δὲ τοὺς [4] πάντας, πεζοὺς μὲν πλείους τῶν τρισμυρίων, ἱππεῖς δ' οὐκ ἐλάττον τῶν πεντακισχιλίων.

Syracusani, duce Daphnaeo, urbi obsessae auxilio veniunt.

πζ'. Ἰμίλκων δὲ πυθόμενος τὴν τῶν πολεμίων ἔφο-

1 Καὶ τοῖς Coisl. e quo articulum addidi.
2 Ἔσπευσαν Clar. Reg. 1.
3 Ἐπεὶ Coisl. Reg. 2.
4 Πίτας Coisl. An ὁπλίτας voluit?

bem aggeribus ad moenia usque obstructo, machinas statim omnes admovet, & de die in diem oppugnationem urget. Interea Syracusani, obsidione Agrigentinorum considerata, ne eandem, quam nuper Selinuntii & Himerenses, fortunam experiantur, veriti, iam pridem ad ferendum obsessis auxilium promti erant. Tunc igitur sociorum ab Italia & Messana copiis aucti, Daphnaeum imperatorem designant. Coactoque ad expeditionem exercitu, in itinere Camarinaeos & Geloos, nonnullosque ex mediterraneis arcessitos assumunt, & continuatis itineribus Agrigentum versus, classe XXX navium iuxta litus praeterlegente, ducunt. Plures autem, quam CCIↃↃ CCIↃↃ CCIↃↃ peditum, equitesque IↃↃ non pauciores sub signis ille habebat.

LXXXVII. Hamilcar, explorato hostium adventu, Ibe-

δον, ἀπέστειλεν αὐτοῖς ἀπαντᾷν τούς τε Ἴβηρας καὶ Καμπανοὺς, καὶ τῶν ἄλλων οὐκ ἐλάττους [1] τετρακισμυρίων. ἤδη δὲ τῶν Συρακουσίων τὸν Ἱμέραν ποταμὸν διαβεβηκότων, ἀπήντησαν οἱ βάρβαροι, καὶ παρατάξεως γενομένης ἐπὶ πολὺν χρόνον, ἐνίκησαν οἱ Συρακούσιοι, καὶ πλείους τῶν ἑξακισχιλίων ἀνεῖλον, τελέως δὲ ὅλον τὸ στρατόπεδον διέφθειραν, καὶ μέχρι τῆς πόλεως κατεδίωξαν. ἀλλὰ τῶν στρατιωτῶν ἀτάκτως διωκόντων, ὁ στρατηγὸς [2] ηὐλαβήθη, μήποτε μετὰ τοῦ λοιποῦ στρατεύματος Ἀμίλκας ἐπιφανεὶς ἀναλάβῃ τὴν ἧτταν. καὶ γὰρ τοὺς Ἱμεραίους ἐγίνωσκε παρὰ τὴν αὐτὴν αἰτίαν τοῖς ὅλοις ἐπταικότας· οὐ μὴν ἀλλὰ τῶν βαρβάρων φευγόντων εἰς τὴν πρὸς Ἀκράγαντι παρεμβολὴν, οἱ κατὰ τὴν πόλιν στρατιῶται θεωροῦντες τὴν τῶν Καρχηδονίων ἧτταν, ἐδέοντο τῶν στρατηγῶν ἐξάγειν αὐτοὺς, καιρὸν εἶναι φάσκοντες τοῦ φθεί-

Pugna commiſſa, Poeni in fugam acti.

1 Τῶν τετρακισμυρίων Reg. 1. 2 Εὐλαβηθεὶς Reg. 2. Clar.

ros & Campanos, & ex reliqua turba non multo minus CCIↃↃ CCIↃↃ CCIↃↃ CCIↃↃ, adverſum mittit. Iamque Himeram fluvium tranſgreſſis Syracuſanis, Barbari occurrunt, & collatis utrinque aciebus poſt longi temporis conflictum, Syracuſiis tandem victoria ceſſit. Qui caeſis plus quam IↃↃ CIↃ, totam aciem fundunt diſſipantque, & ad urbem uſque inſectantur. Sed ductor, laxato ſuos ordine inſtare fugientibus cernens, vereri coepit, ne cum reliquo prorumpens agmine Hamilcar acceptum damnum repararet. Simili enim caſu Himeraeos rerum omnium iacturam feciſſe, meminerat. Tum Barbaris fuga in vicina Agrigento caſtra dilapſis, milites oppidani, cladem fugamque Poenorum ſuſpicati, duces, ut ſe educant, orant & obteſtantur, iam opprimendi delendique exercitum hoſtilem tempus percommodum

ραι τὴν τῶν πολεμίων δύναμιν. οἱ δ', εἴτε χρήμασιν [1] ἐφθαρμένοι, καθάπερ ἦν λόγος, εἴτε φοβηθέντες μὴ τῆς πόλεως ἐρημωθείσης Ἰμίλκων αὐτὴν καταλάβηται, τῆς ὁρμῆς ἐπέσχον τοὺς στρατιώτας. οἱ μὲν οὖν φεύγοντες μετὰ πάσης ἀσφαλείας διεσώθησαν εἰς τὴν πρὸς τῇ πόλει παρεμβολήν· ὁ δὲ Δαφναῖος μετὰ τῆς δυνάμεως παραγενηθεὶς εἰς τὴν ὑπὸ τῶν βαρβάρων ἐκλελειμμένην στρατοπεδείαν, καὶ ταύτῃ παρενέβαλεν. εὐθὺς δὲ καὶ τῶν ἐκ τῆς πόλεως στρατιωτῶν ἐπιμιχθέντων, καὶ τοῦ Δεξίππου συγκαταβάντος αὐτοῖς, ἀπὸ συνδρομῆς εἰς ἐκκλησίαν τὰ πλήθη συνῆλθε. πάντων δ' ἀγανακτούντων ἐπὶ τῷ παρεῖσθαι τὸν καιρὸν, καὶ κεκρατηκότας τῶν βαρβάρων τὴν προσήκουσαν τιμωρίαν παρ' αὐτῶν μὴ λαβεῖν, ἀλλὰ δυναμένους τοὺς ἐκ τῆς πόλεως στρατηγοὺς ἐπεξελθεῖν, καὶ διαφθεῖραι τὴν τῶν πολεμίων δύναμιν, [2] ἀφεικέναι τοσαύτας μυριάδας. θορύβου δὲ καὶ πολλῆς κραυγῆς ἐπεχούσης τὴν ἐκκλη-

1 Διεφθαρμένοι Reg. 1. 2 Ἀφηκέναι idem.

esse dictitantes. At illi, sive pecunia (ut rumor erat) corrupti, sive metu, ne desertam interea urbem caperet Hamilcar, retracti, ab eruptione milites prohibuerunt. Quo factum, ut in fugam versi, se tutos incolumesque in castra referrent. Daphnaeus vero, cum exercitu progressus, in castris Barbarorum pridem desertis stativa habuit. Ad quem ubi extemplo milites ex oppido, quibus etiam Dexippus comes erat, sese aggregarent, mox e concursu illo ad concionem multitudo processit. Ibi omnes fremere ac permoleste ferre, quod, neglecta occasione, de Barbaris iam devictis non meritas statim poenas sumsissent, & quod ductores, cum eruptione ex urbe facta hostium copias facile ad internecionem redigere possent, tot dena millia tam impune dimisissent. Tumultu igitur cum immani vociferatu per

σίαν, παρελθὼν Μένης ὁ Καμαριναῖος, ἐφ' ἡγεμονίας τεταγμένος, κατηγόρησε τῶν Ἀκραγαντίνων στρατηγῶν, καὶ πάντας οὕτω παρώξυνεν, ὥστε τῶν κατηγορουμένων ἐγχειρούντων ἀπολογεῖσθαι, μηδένα προσδέχεσθαι τοὺς λόγους, καὶ τὸ πλῆθος ὁρμήσαν [1] ἐπὶ τὸ βάλλειν τοῖς λίθοις, [2] τέσσαρας αὐτῶν καταλεῦσαι· τὸν δὲ πέμπτον Ἀργεῖον καλούμενον, τὴν δ' ἡλικίαν παντελῶς ὄντα νεώτερον, ἀφεθῆναι· βλασφημίας δὲ τυγχάνειν καὶ τὸν Λακεδαιμόνιον Δέξιππον, ὅτι τεταγμένος ἐφ' ἡγεμονίας, καὶ δοκῶν εἶναι τῶν πολεμικῶν ἔργων οὐκ ἄπειρος, τοῦτ' ἔπραξε προδοσίας ἕνεκα.

In duces oppidanos animadversum, quod milites ab eruptione prohibuerant.

πη'. Μετὰ δὲ τὴν ἐκκλησίαν [3] οἱ περὶ τὸν Δαφναῖον προαγαγόντες τὰς δυνάμεις, ἐπεχείρουν μὲν πολιορκεῖν τὴν παρεμβολὴν τῶν Καρχηδονίων· πολυτελῶς δ' αὐτὴν ὁρῶντες ὠχυρωμένην, ταύτης μὲν τῆς ἐπιβολῆς [4] ἀπέστησαν, τὰς δ' ὁδοὺς ἱππαζόμενοι, τούς τ' ἐν ταῖς προνομαῖς αὐτῶν κατελάμβανον, καὶ τῶν σι-

Sero Daphnaeus castra Poenorum obsidere conatur,

1 Ἐπιβάλλειν Reg. 1.
2 Τέσσαρες Coisl.
3 Οἱ περὶ τὸν Δαφναῖον Venet. Reg. 1. praeclare. Cett. vulgo οἱ περὶ τῶν τόν.
4 Ἐπέστησαν Clar.

concionem exorto, Menes Camarinaeus, praefecti munus gerens, in medium progressus, Agrigentinorum duces accusando, tantopere omnium animos concitavit, ut reis defendere se paratis nullum dicendi locum praeberent, & saxis repente correptis, IV ex ipsis a multitudine obruerentur. Quintus vero, Argeus nomine, propter iuvenilem plane aetatem dimissus fuit. Male etiam audiebat Dexippus Lacedaemonius, quod cum imperio copiis praefectus, & prae ceteris res bellicas intelligere existimatus, proditionis causa, tum foede deliquisset.

LXXXVIII. Concione dimissa, Daphnaeus copiis eductis, castra Poenorum obsidere nititur: sed praeclare munita cernens, incepto supersedit. Equitatu igitur suo vias insidens, & pabulatum exeuntes intercipiens, com-

τοπομπίων ἀποκλείοντες εἰς πολλὴν ἀπορίαν ἦγον. οἱ δὲ Καρχηδόνιοι παρατάττεσθαι μὲν οὐ τολμῶντες, τῇ δὲ σιτοδείᾳ δεινῶς πιεζόμενοι, μεγάλοις ἀτυχήμασι περιέπιπτον· τῶν μὲν γὰρ στρατιωτῶν πολλοὶ διὰ τὴν σπάνιν ἀπέθνησκον. οἱ δὲ Καμπανοὶ μετὰ τῶν ἄλλων μισθοφόρων σχεδὸν ἅπαντες ἐπὶ τὴν Ἀμίλκα σκηνὴν ὠθούμενοι, τὰς σιτομετρίας τὰς [1] προτεταγμένας ᾔτουν· εἰ δὲ μὴ, [2] διηπειλοῦντο μεταβάλλεσθαι πρὸς τοὺς πολεμίους. ὁ δ' Ἀμίλκας ἦν ἀκηκοὼς τινος, ὅτι Συρακούσιοι πλῆθος σίτου παρακομίζοιεν εἰς Ἀκράγαντα κατὰ θάλατταν. διόπερ ταύτην μόνην ἔχων ἐλπίδα σωτηρίας, τοὺς μὲν στρατιώτας ἔπεισεν ὀλίγας ἐπισχεῖν ἡμέρας, ἐνέχυρα δοὺς τὰ παρὰ τῶν ἐκ Καρχηδόνος στρατευομένων ποτήρια. καὶ αὐτὸς μὲν ἐκ Πανόρμου καὶ Μοτύης μεταπεμψάμενος τεσσαράκοντα τριήρεις, ἐπέθετο τοῖς τὴν ἀγορὰν παρακομίζουσιν. οἱ δὲ

& cum Poenos commeatu aliquamdiu interclusisset,

Hamilcar per insidias magnam frumenti vim a Syracusanis advectam rapit.

1 Προστεταγμένας Reg. 1. modo eum modum. Edd. Ἰμίλκα. Ἀμίλκα Coisl. qui plerumque ad

2 Διηπείλουν Venet.

meatusque facultatem praecludens, in magnas hostem angustias deduxit. Cum enim in aciem prodire non auderent, & interim magna annonae penuria laborarent, maiorem in modum Poeni afflictabantur, multosque fames absumsit. Campani igitur, cum reliquis mercenariis, ferme omnes concursu ad Praetorium Hamilcaris facto, statutam frumenti mensuram exposcunt: quae si negetur, ad hostem se transituros minitantur. At Hamilcar, per indicium cuiusdam edoctus, Syracusios magnam frumenti vim Agrigentum navibus deportare; quod unica haec spes superesset, militibus persuasit, ut pauculos adhuc dies sese continerent, poculis Carthaginiensium militum ad maiorem rei fidem pignori traditis. Tum ex Panormo & Motya triremibus XL arcessitis, insidias commeatum advehentibus struit. Nam Syracusii, quod iam

Συρακούσιοι, τὸν ἔμπροσθεν χρόνον [1] τῶν βαρβάρων τῆς θαλάττης παρακεχωρηκότων, καὶ τοῦ χειμῶνος ἐνεστηκότος ἤδη, κατεφρόνουν τῶν Καρχηδονίων, [2] ὡς οὐκέτι τολμησόντων πληροῦν τὰς τριήρεις· διόπερ ὀλιγώρως αὐτῶν παραπεμψάντων τὴν ἀγορὰν, [3] Ἀμίλκας ἐκπλεύσας τεσσαράκοντα τριήρεσιν, ἄφνω κατέδυσε μὲν τῶν μακρῶν νεῶν ὀκτὼ, τὰς δ' ἄλλας εἰς τὸν αἰγιαλὸν κατεδίωξε· τῶν δ' ἄλλων πλοίων ἁπάντων κυριεύσας, τοσοῦτον εἰς τοὐναντίον τὰς ἑκατέρων ἐλπίδας μεταπεσεῖν ἐποίησεν, ὥστε τοὺς παρὰ τοῖς Ἀκραγαντίνοις Καμπανοὺς, καταγνόντας τῆς τῶν Ἑλλήνων ὑποθέσεως, πεντεκαίδεκα ταλάντοις φθαρῆναι, καὶ μεταβαλέσθαι πρὸς τοὺς Καρχηδονίους. οἱ δὲ Ἀκραγαντῖνοι τὸ μὲν πρῶτον, κακῶς ἀπαλλαττόντων τῶν Καρχηδονίων, ἀφθόνως ἀπήλαυον τοῦ τε σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων, ἀεὶ [4] προσδοκῶντες ταχέως λυθήσε-

Tum Agrigentini ingenti penuria premuntur.

1 Τοῖς βαρβάροις Clar.

2 Ὡς οὐκέτι Ven. Tum τολμησάντων Vat. & Reg. 1. ὡς deerat edd.

3 Ἀμίλκας Clar. Mox pro νεῶν ὀκτὼ Reg. 1. πεντήκοντα. In edd. Ἰμίλκας.

4 Προσδοκώντων omnes.

pridem maris imperio cessissent Poeni, & iam hiems appeteret, nihil periculi a Carthaginiensibus, quos minime triremes conscendere ausuros putarent, metuebant. Dum itaque incautius annonam deducunt, Hamilcar cum XL triremibus occurrens, confestim longas naves VIII depressit, ceterasque ad litus usque fugavit. Quibus omnibus in potestatem redactis, adeo spes utriusque partis immutavit, ut Campani, Agrigentinorum socii, rebus Graecorum desperatis, XV talentis se corrumpendos darent, & in Carthaginiensium castra transirent. Enimvero Agrigentini sub obsidionis principium, cum res Carthaginiensibus non satis prospere succederent, frumento ceterisque rebus ad victum necessariis liberius ac

σθαι τὴν πολιορκίαν· ἐπεὶ δ' αἱ τῶν βαρβάρων ἐλπίδες ἀνέκυψαν, καὶ τοσαῦται μυριάδες εἰς μίαν ἠθροίσθησαν πόλιν, ἔλαθεν αὐτοὺς ὁ σῖτος ἐξαναλωθείς. λέγεται δὲ καὶ Δέξιππος [1] ὁ Λακεδαιμόνιος πεντεκαίδεκα ταλάντοις διαφθαρῆναι. εὐθὺς γὰρ ἀπεκρίνατο πρὸς τοὺς τῶν Ἰταλιωτῶν στρατηγοὺς, ὅτι συμφέρει τὸν πόλεμον ἐν ἄλλῳ συστήσασθαι τόπῳ· τὴν γὰρ τροφὴν ἐκλιπεῖν. διόπερ οἱ στρατηγοὶ πρόφασιν ἐνέγκαντες, ὡς διεληλύθασιν οἱ ταχθέντες τῆς στρατηγίας χρόνοι, τὰς δυνάμεις [2] ἀπήγαγον ἐπὶ τὸν πορθμόν. μετὰ δὲ τὴν τούτων ἀπαλλαγὴν, συνελθόντες οἱ στρατηγοὶ μετὰ τῶν [3] ἐφ' ἡγεμονίας τεταγμένων, διέγνωσαν ἐξετάσαι τὸν ἐν τῇ πόλει σῖτον· ὃν εὑρόντες παντελῶς ὀλίγον, ἐθεώρουν ἀναγκαῖον ὑπάρχειν ἐκλιπεῖν τὴν πόλιν. εὐθὺς οὖν ἐπιγινομένης τῆς νυκτὸς [4] παρήγγειλαν ἀναζευγνύειν ἅπαντας.

1 Deficit in Clar.
2 Ἐπήγαγον Reg. 1.
3 Ἀφ' ἡγεμ. Coisl. prave.
4 Παρήγγειλεν idem.

profusius uti: post ubi Barbarorum spes denuo se erigere coepit, tot millibus in unum oppidum coactis, fruges incautis nec sentientibus illis absumi ac deficere. Dexippum quoque aiunt XV talentis fuisse corruptum. Statim enim Italicorum praefectis respondit, praestare bellum alio loco geri. Hic enim deficere alimenta. Idcirco eum duces praetextum commenti, quasi definitum sui magistratus tempus iam elapsum sit, copias suas ad fretum abducunt. Post quorum discessum imperatores cum praefectis congressi, quidquid in urbe supersit alimoniae, exquirere instituunt. Ubi exiguum restare comperiunt, necessitatem urbis deserendae ingruere sibi vident. Proxima igitur nocte universos ad discessum expeditos esse iubent.

Fame itaque coacti Agrigentini, relictis in urbe senibus & infirmis,

πθ'. Τοσούτου δὲ πλήθους ἀνδρῶν, γυναικῶν, παίδων ἐκλιπόντων τὴν πόλιν, ἄφνω πολὺς οἶκτος καὶ δάκρυα κατεῖχε τὰς οἰκίας· ἅμα γὰρ ὁ τῶν πολεμίων ἐξέπληττε φόβος, ἅμα δὲ διὰ τὴν σπουδὴν ἠναγκάζοντο καταλιπεῖν εἰς διαρπαγὴν τοῖς βαρβάροις ταῦτ', ἐφ' οἷς ἑαυτοὺς ἐμακάριζον. ἀφαιρουμένης γὰρ τῆς τύχης τὴν ἐξουσίαν τῶν [1] οἴκοι καλῶν, ἀγαπητὸν ἡγοῦντο τὰ σώματα γοῦν αὐτῶν διασῶσαι. οὐ μόνον δὲ τῆς τοιαύτης πόλεως εὐδαιμονίαν παρῆν ὁρᾶν ἀπολειπομένην, ἀλλὰ καὶ σωμάτων πλῆθος. οἱ μὲν [2] γὰρ ἐν ἀρρωστίαις ὑπὸ τῶν οἰκείων περιεωρῶντο, [3] τῆς καθ' ἑαυτὸν σωτηρίας ἑκάστου φροντίζοντος· οἱ δὲ ταῖς ἡλικίαις ἤδη προβεβηκότες, ὑπὸ τῆς τοῦ γήρως ἀσθενείας κατελείποντο· πολλοὶ δὲ [4] καὶ τὴν ἀλλαγὴν τῆς πατρίδος [5] θανάτου τιμώμενοι, τὰς χεῖρας ἑαυτοῖς προσήνεγ-

1 Οἰκιοκάλων Reg. 1.
2 Non legitur in Regio 2. & Clar.
3 Τὸ τῆς Reg. 1.
4 Exsulat ex Coisl.
5 Θανάτῳ Venet.

LXXXIX. Cum tanta igitur virorum, mulierum, puerorum turba ad emigrationem sese accingeret, per omnes ubique aedes miserabilis lamentatio, & immodicus erat fletus; dum inde hostium terror percellit, inde carissimarum facultatum cura angit, quas raptim excedendo Barbarorum direptioni prostituerent, ea quippe omnia, quibus iam pridem beatos sese existimaverant. Sed tamen, cum tantam bonorum copiam a fortuna sibi adimi viderent, boni consulendum esse ducebant, si corpora dumtaxat ab interitu vindicarent. Tum vero non beatas modo tam magnificae urbis fortunas, sed magnam quoque mortalium turbam relinqui, cernere erat. Nam corporum debilitate afflictos a domesticis suis negligi, dum suae quisque saluti prospicit. Multi aetate provectiores ob senectutis infirmitatem relinqui. Nec pauci, mortem emigrationi ex patria anteponentes, sibi ipsi

καν, ὅπως ταῖς πατρῴαις οἰκίαις ἐναποπνεύσωσιν. οὐ μὴν ἀλλὰ τὸ μὲν ἐκ τῆς πόλεως ἐξιὸν πλῆθος οἱ στρατιῶται μετὰ τῶν ὅπλων παρέπεμπον εἰς τὴν Γέλαν· ἡ δ' ὁδὸς καὶ πάντα τὰ πρὸς τὴν [1] Γέλαν ἀποκεκλιμένα τῆς χώρας μέρη ἔγεμε γυναικῶν καὶ παίδων, ἀναμὶξ παρθένοις, αἳ τὴν συνήθη τρυφὴν εἰς ὁδοιπορίαν σύντονον καὶ κακοπάθειαν ὑπεράγουσαν μεταβαλλόμεναι διεκαρτέρουν, τοῦ φόβου τὰς ψυχὰς ἐκτέμνοντος. οὗτοι μὲν οὖν ἀσφαλῶς διασωθέντες εἰς Γέλαν, ὕστερον εἰς Λεοντίνους κατῴκησαν, Συρακουσίων αὐτοῖς δόντων τὴν πόλιν ταύτην οἰκητήριον.

Gelam, deinde in Leontinorum urbem migrant.

ϛ'. Ὁ δ' [2] Ἀμίλκας ἅμα τῷ φόβῳ δύναμιν ἐντὸς τῶν τειχῶν παρεισαγαγὼν, σχεδὸν ἅπαντας τοὺς ἐγκαταλειφθέντας ἀνεῖλεν. ὅτε δὲ καὶ τοὺς ἐν τοῖς ναοῖς καταπεφευγότας ἀποσπῶντες οἱ Καρχηδόνιοι [3] ἀνῄρουν. λέγεται δὲ τὸν Γελλίαν τὸν πρωτεύοντα τῶν πολιτῶν

Urbs capta a Poenis & everſa; ſuperſtites omnes caeſi.

1 Γελάαν Cl. tum κεκλιμ. Reg. 1. Ven. quos ſequor. Vulg. Ἰμίλκας.
2 Ἀμίλκας Coisl. & ſic ſemper 3 Παρεκάλουν Coisl. Reg. 1.

manus inferre, ut cum domibus una paternis occumbentes animam efflarent. Multitudinem tamen ex urbe properantem milites cum armis Gelam deduxere. Omnis igitur via, omniſque regio, Gelam verſus ducens, promiſcua feminarum & puerorum multitudine fervebat. Quos inter virgines, licet conſuetas vitae delicias cum itineris contenti laboribus & aerumnis immodicis permutarent, patienter tamen quidvis, excutiente animos metu, ſufferebant. Haec ergo profugorum turba incolumis Gelam pervenit, & Leontinorum deinceps urbem, Syracuſiorum beneficio, inhabitandam accepit.

XC. Hamilcar verò, pariter cum metu intromiſſis in urbem copiis, quotquot ibi relictos offendit, prope omnes interemit. Tum etiam illos, qui intra templa confugerant, ab aris & delubris abſtractos, immaniter contrucidarunt. Ibi Gellias etiam, qui opum magnificentia &

πλούτῳ καὶ καλοκαγαθίᾳ συνατυχῆσαι τῇ πατρίδι, βουληθέντα καταφυγεῖν σύν τισιν ἑτέροις εἰς το τῆς Ἀθηνᾶς ἱερὸν, νομίζοντα τῆς εἰς θεοὺς παρανομίας ἀφέξεσθαι τοὺς Καρχηδονίους· θεωροῦντα δὲ αὐτῶν τὴν ἀσέβειαν, ἐμπρῆσαι τον νεὼν, καὶ μετὰ τῶν ἐν τούτῳ ἀναθημάτων ἑαυτὸν συγκατακαῦσαι. μιᾷ γὰρ πράξει διελάμβανεν ἀφελέσθαι θεῶν ἀσέβειαν [1] πολεμίων, ἁρπαγὰς πολλῶν χρημάτων, μέγιστον, ἑαυτοῦ τὴν εἰς τὸ σῶμα ἐσομένην ὕβριν. ὁ δὲ [2] Ἀμίλκας τὰ ἱερὰ καὶ τὰς οἰκίας συλήσας, καὶ φιλοτίμως ἐρευνήσας, τοσαύτην ὠφέλειαν συνήθροισεν, ὅσην εἰκός ἐστιν ἐσχηκέναι πόλιν οἰκουμένην ὑπὸ ἀνδρῶν εἴκοσι μυριάδων, ἀπόρθητον δὲ ἀπὸ τῆς κτίσεως γεγενημένην, [3] πλουσιωτάτην δὲ σχεδὸν τῶν τότε Ἑλληνίδων πόλεων γεγενημένην· καὶ ταῦτα τῶν ἐν αὐτῇ φιλοκαλησάντων

1 Ὑπὸ τῶν πολεμίων Venet.
2 Ἀμίλκας Coisl.
3 Desunt Reg. 1. usque καὶ ταῦτα.

vitae integritate populares anteibat, eundem cum patria interitum expertus esse dicitur. Nam perfugio in Minervae templum salutem sibi cum sociis tueri volebat, Carthaginienses a sanguinaria in Deos crudelitate sibi temperaturos sperans. At ubi nefandam hominum impietatem vidit, ignem templo subiecit, & una cum sacris Deûm opibus conflagravit, uno facinore tribus se malis occursurum ratus, hostium impietati in Deos, magnarum illic opum rapinis, &, quod maximum, contumeliae suo corpori alias inferendae. Hamilcar igitur, domibus tum sacris, tum profanis, accurata inquisitione dispoliatis, tantum ex praeda emolumenti contraxit, quantum facile aestimari potest urbem a CCCIƆƆƆ CCCIƆƆƆ habitatam, & nunquam a primordiis suis direptam, & omnium prope Graecarum civitatum tunc opulentissimam, possedisse: praesertim cum cives miro elegantiae

εἰς παντοίαν κατασκευασμάτων πολυτέλειαν. καὶ γὰρ γραφαὶ παμπληθεῖς ηὑρέθησαν εἰς ἄκρον ἐκπεπονημέναι, καὶ παντοίων ἀνδριάντων φιλοτέχνως δεδημιουργημένων ὑπεράγων ἀριθμός. τὰ μὲν οὖν πολυτέλεστατα τῶν ἔργων [1] ἀπέστειλεν εἰς Καρχηδόνα, (ἐν οἷς καὶ τὸν Φαλάριδος συνέβη κομισθῆναι ταῦρον) τὴν δ' ἄλλην ὠφέλειαν ἐλαφυροπώλησε. τοῦτον δὲ τὸν ταῦρον ὁ Τίμαιος ἐν ταῖς ἱστορίαις διαβεβαιωσάμενος μὴ γεγονέναι τὸ σύνολον, ὑπ' αὐτῆς τῆς τύχης ἠλέγχθη. [2] Σκιπίων γὰρ ὕστερον ταύτης τῆς ἁλώσεως σχεδὸν ἑξήκοντα καὶ διακοσίοις ἔτεσιν ἐκπορθήσας Καρχηδόνα, τοῖς Ἀκραγαντίνοις μετὰ τῶν ἄλλων, τῶν διαμεινάντων παρὰ τοῖς Καρχηδονίοις, ἀποκατέστησε τὸν ταῦρον, ὃς καὶ τῶνδε τῶν ἱστοριῶν γραφομένων ἦν ἐν Ἀκράγαντι. περὶ δὲ τούτου φιλοτιμότερον εἰπεῖν προήχθην, διότι Τί-

Praedae pars praecipua, praesertim, artis opera & in his Phalaridis taurus, Carthaginem missa.

Obiter reprehensus Timaeus, qui taurum illum unquam exstitisse negaverat.

1 Ἀπέστειλαν Clar. & Co. qui mox εἰς Καρχηδονίους solus.

2 Σκιπίων Coislin. Cett. Σκηπίων.

ſtudio in quorumvis operum magnificentiam incumberent. Quamplurimas enim picturas ſummo artificio elaboratas, & ſtatuas omnis generis, ſingulari ingenio fabricatas, infinito numero, tum victor illic invenit. Et pretioſiſſima quidem, (inter quae Phalaridis etiam taurus erat,) Carthaginem miſit. Praedam vero ceteram ſub haſta vendendam curavit. Taurum illum unquam fuiſſe magna contentione Timaeus in hiſtoriis ſuis negat, cum tamen ab ipſo fortunae eventu redarguatur. Nam Scipio Africanus, ducentis ferme & LX annis poſt hoc excidium Carthagine everſa, inter alia, quae ad illud uſque tempus aetatem tulerant, etiam taurum illum famoſum Agrigentinis reſtituit, qui etiam, cum praeſens hiſtoria contexeretur, Agrigenti ſuperſtes erat. Qua de re ſtudioſius diſſerere mihi libuit, quod Timaeus, cum

μαιος ὁ τῶν πρό [1] γε αὐτοῦ συγγραφέων πικρότατα κατηγορήσας, καὶ συγγνώμην οὐδεμίαν τοῖς ἱστοριογράφοις ἀπολιπὼν, αὐτὸς εὑρίσκεται σχεδιάζων, ἐν οἷς μάλιστα ἑαυτὸν [2] ἀποπέφαγκεν ἀκριβολογούμενον. δεῖ γὰρ, οἶμαι, τοὺς συγγραφεῖς ἐν μὲν τοῖς ἀγνοήμασι τυγχάνειν συγγνώμης, ὡς [3] ἂν ἀνθρώπους ὄντας, [4] καὶ τῆς ἐν τοῖς παρῳχημένοις χρόνοις ἀληθείας οὔσης δυσευρέτου· τοὺς μέντοιγε κατὰ προαίρεσιν οὐ τυγχάνοντας τοῦ ἀκριβοῦς, προσηκόντως κατηγορίας τυγχάνειν, ὅταν κολακεύοντές τινας, ἢ δι' ἔχθραν πικρότερον προσβάλλοντες, ἀποσφάλλωνται τῆς ἀληθείας.

Ob urbis Agrigentinae cladem maxima per universam Siciliam consternatio orta,

ϛα'. [5] Ἀμίλκας δὲ ὀκτὼ μῆνας πολιορκήσας τὴν πόλιν, καὶ μικρὸν πρὸ τῆς χειμερινῆς τροπῆς κυριεύσας αὐτῆς, οὐκ εὐθὺς κατέσκαψεν, ὅπως αἱ δυνάμεις ἐν ταῖς οἰκίαις παραχειμάσωσι. τῆς δὲ περὶ τὴν Ἀκρά-

1 Γε solus Reg. 2. Cett. deest.
2 Ἀποπεφάνηκεν Coisl.
3 Abest Reg. 1.
4 Καὶ διὰ τὸ τὴν --- ἀλήθειαν εἶναι δυσεύρετον Venet.
5 Ἀμίλκας Clar. Ἰμίλκας edd.

magna acerbitate scriptores aetatem suam antecedentes reprehendat, nullumque historicis veniae locum relinquat, ipse tamen, ubi diligentissimum veritatis studium profitetur, nugari & hallucinari deprehendatur. Scriptoribus enim in iis, quae non assequuntur, veniam (meo quidem iudicio) tribui aequum est, quippe cum homines sint, & temporum praeterlapsorum veritas difficulter e caligine eruatur. Contra vero, qui data opera exactam inquisitionem negligunt, hos merito accusandos arbitror, quando nimirum nonnullis adulando, vel per odium virulentius alios impugnando, a regia veritatis via exorbitant & aberrant.

XCI. Hamilcar porro, cum post VIII mensium obsidionem, paullo ante hibernam solis conversionem, urbe potitus esset, non statim illam evertit, ut milites in aedibus hibernare possent. Hac tunc Agrigenti clade di-

γαντα συμφορᾶς διαγγελθείσης, τοσοῦτος [1] κατέσχε τὴν νῆσον φόβος, ὥστε τῶν Σικελιωτῶν τοὺς μὲν εἰς Συρακούσας μεθίστασθαι, τοὺς δὲ εἰς τὴν Ἰταλίαν τέκνα καὶ γυναῖκας καὶ τὴν ἄλλην κτῆσιν ἀποσκευάζεσθαι. οἱ δὲ διαφυγόντες τὴν αἰχμαλωσίαν Ἀκραγαντῖνοι, παραγενηθέντες εἰς Συρακούσας, κατηγόρουν τῶν στρατηγῶν, φάσκοντες διὰ τὴν ἐκείνων παρουσίαν ἀπολωλέναι τὴν πατρίδα. συνέβαινε δὲ καὶ ὑπὸ τῶν ἄλλων Σικελιωτῶν ἐπιτιμήσεως τυγχάνειν τοὺς Συρακουσίους, ὅτι τοιούτους προστάτας αἱροῦνται, δι' οὓς ἀπολέσθαι κινδυνεύει πᾶσα Σικελία. [2] οὐ μὴν συναχθείσης ἐκκλησίας ἐν Συρακούσαις, καὶ μεγάλων φόβων [3] ἐπικρεμαμένων, οὐθεὶς ἐτόλμα περὶ τοῦ πολέμου συμβουλεύειν. ἀπορουμένων δὲ πάντων παρελθὼν Διονύσιος [4] ὁ Ἑρμοκράτους, τῶν μὲν στρατηγῶν κατηγόρησεν, ὡς προδιδόντων τὰ πράγματα τοῖς Καρχηδονίοις· τὰ δὲ πλήθη παρώξυνε πρὸς τὴν αὐτῶν τιμωρίαν,

& praesertim contra Syracusanorum duces indignatio.

Hac Dionysius, vilissimae sortis homo, in sua commoda usus,

1 Τὴν νῆσον κατέσχε Reg. 1. Co.
2 Καὶ μὴν Venet.
3 Ἐπικεκραμένων idem.
4 Θερμοκράτους Vat. Coisl.

vulgata, tantus repente insulam terror invasit, ut Siculorum pars Syracusas commigrarent, pars in Italiam liberos, uxores, & fortunas suas transportarent. Agrigentini vero, ex captivitatis periculo elapsi, cum Syracusas pervenissent, duces accusarunt, proditione illorum patriam sibi perditam dictitantes. Quin apud alios etiam Siculos reprehensionem incurrerunt Syracusani, quod eius farinae Praetores delegissent, qui totam improbitate sua Siciliam in extremum discrimen adduxissent. Conventu tamen Syracusis instituto, cum ingens metus impenderet, nemo de bello referre aut consulere quidpiam ausus est. Haesitantibus ergo cunctis, Dionysius, Hermocratis filius, accusare duces institit, quod res Carthaginiensibus prodidissent, & populum ad supplicium

summum imperium & Syracusanorum tyrannidem consequitur.

παρακαλῶν μὴ περιμεῖναι τὸν κατὰ τοὺς νόμους κλῆρον, ἀλλ᾽ ἐκ χειρὸς εὐθέως ἐπιθεῖναι τὴν δίκην. τῶν δ᾽ ἀρχόντων ζημιούντων τὸν Διονύσιον κατὰ τοὺς νόμους, ὡς θορυβοῦντα, Φίλιστος, ὁ τὰς ἱστορίας ὕστερον συγγράψας, οὐσίαν ἔχων μεγάλην, ἐξέτισε τὰ πρόστιμα, καὶ τῷ Διονυσίῳ παρεκελεύετο λέγειν ὅσα προῃρεῖτο· καὶ προσέτι εἰπόντος, ὅτι καθ᾽ ὅλην τὴν ἡμέραν ἂν ζημιοῦν ἐθέλωσιν, ἐκτίσειν τἀργύριον ὑπὲρ αὐτοῦ, τὸ λοιπὸν θαῤῥήσας [1] ἀνέσειε τὰ πλήθη, καὶ τὴν ἐκκλησίαν συνταράττων, διέβαλλε τοὺς στρατηγοὺς, ὅτι χρήμασι πεισθέντες ἐγκατέλιπον τὴν τῶν Ἀκραγαντίνων σωτηρίαν. συγκατηγόρησε δὲ καὶ τῶν ἄλλων τῶν ἐπισημοτάτων πολιτῶν, συνιστὰς αὐτοὺς οἰκείους ὄντας [2] ὀλιγαρχίας. διόπερ συνεβούλευεν αἱρεῖσθαι στρατηγοὺς τοὺς μὴ δυνατωτάτους, ἀλλὰ τοὺς εὐνουστάτους καὶ δημοτικοὺς μᾶλλον. ἐκείνους μὲν γὰρ δεσποτικῶς

1 Ἀνέπεισε Coisl. 2 Ὀλιγαρχίας Co. & Vat. Edd. ὀλιγαρχίαις.

de illis sumendum instigans, ne praestitutum a lege tempus exspectarent, sed continuo poenas infligerent, exhortatus est. Cum vero magistratus Dionysium, ut pacis turbatorem, secundum leges multarent, Philistus, qui historiam postea conscripsit, vir opibus maxime pollens, multam pro illo exsolvit, quaeque animo conceperat, edisserere iussit, se, licet per totam illi diem multam irrogarent, argentum pro ipso expensurum esse, spondens. Hinc resumta Dionysius fiducia, plebem concitat, magnoque concionem tumultu replens, duces criminatur, quod pecuniis inescati, defensionem Agrigentinorum destituissent. Insectatur etiam alios nobilissimorum civium, traducens illos, quod paucorum dominatum amplectantur. Eligendos igitur duces censet, qui non potentia excellant, sed benevolentia studioque in populum sint probati. Illos enim, dominatum sibi in cives usurpantes,

ἄρχοντας τῶν πολιτῶν, καταφρονεῖν τῶν πολλῶν, καὶ τὰς τῆς πατρίδος συμφορὰς ἰδίας ἡγεῖσθαι προσόδους· τοὺς δὲ ταπεινοτέρους οὐδὲν [1] πράξειν τῶν τοιούτων, δεδιότας τὴν περὶ αὐτοὺς ἀσθένειαν.

ϟβʹ. Πάντα δὲ πρὸς τὴν τῶν ἀκουόντων προαίρεσιν καὶ τὴν ἰδίαν ἐπιβολὴν δημηγορήσας, οὐ μετρίως ἐξῆρε τὸν τῶν ἐκκλησιαζόντων θυμόν. ὁ γὰρ δῆμος καὶ πάλαι μισῶν τοὺς στρατηγοὺς, διὰ τὸ δοκεῖν προΐστασθαι τοῦ πολέμου, τότε διὰ τῶν λόγων παροξυνθεὶς, παραυτίκα τοὺς μὲν ἔλυσε τῆς ἀρχῆς, ἑτέρους δ' εἵλετο στρατηγοὺς, ἐν οἷς καὶ τὸν Διονύσιον· ὃς ἐν ταῖς πρὸς Καρχηδονίους μάχαις ἀνδρίᾳ δόξας διενηνοχέναι περίβλεπτος ἦν παρὰ τοῖς Συρακουσίοις. διὸ καὶ μετεωρισθεὶς ταῖς ἐλπίσι, πᾶν ἐμηχανήσατο πρὸς τὸ γενέσθαι τῆς πατρίδος τύραννος. μετὰ [2] γὰρ τὴν παράληψιν τῆς ἀρχῆς, οὔτε [3] συνήδρευσεν ἅμα τοῖς στρατη-

1 Πράξειν τοιοῦτον Reg. 2.
2 Deſit Clar.
3 Συνήδρευεν Venet.

deſpectui plebem habere, & e patriae detrimentis quaeſtum ſibi parare. Humilioris autem fortunae homines, imbecillitatis ſuae conſcientia, horum nihil patraturos.

XCII. Haec cuncta ubi ad vulgi libidinem, ſuumque ipſius inſtitutum, accommodate diſſeruiſſet, haud parum concionis animos erexit. Populus enim, odio ducum iam pridem flagrans, quod bello non fideliter praeeſſe exiſtimarentur, tunc Dionyſii ſermone magis irritatus, ſtatim illos magiſtratu abire iubet, & alios ſibi Praetores deſumſit. Inter quos etiam Dionyſius erat, propter virtutem, in pugnis adverſus Carthaginienſes probatam, magnae apud Syracuſios auctoritatis. In praeclaram itaque ſpem erectus, omnes ad dominationem patriae occupandam machinas intendit. Poſt initum namque magiſtratum, neque in conſeſſum praefectorum venit, nec un-

γοῖς, οὐδ' ὅλως συνῄει. ταῦτα δὲ πράττων, διεδίδου λόγον ὡς διαπεμπομένων αὐτῶν πρὸς τοὺς πολεμίους. οὕτω γὰρ μάλιστα ἤλπιζεν ἐκείνων μὲν περιαιρεθήσεσθαι τὴν ἐξουσίαν, ἑαυτῷ δὲ μόνῳ περιστήσειν τὴν στρατηγίαν. ταῦτα δ' αὐτοῦ πράττοντος, οἱ μὲν χαριέστατοι τῶν πολιτῶν ὑπώπτευον [1] τὸ γενόμενον, καὶ κατὰ πάσας τὰς συνόδους ἐβλασφήμουν αὐτόν· ὁ δὲ δημοτικὸς ὄχλος, ἀγνοῶν τὴν ἐπιβολὴν, ἐπῄνει, καὶ μόλις ἔφασκε τὴν πόλιν προστάτην εὑρηκέναι βέβαιον. οὐ μὴν ἀλλὰ πολλάκις ἐκκλησίας συναγομένης περὶ τῆς εἰς τὸν πόλεμον παρασκευῆς, θεωρήσας τοὺς Συρακουσίους καταπεπληγμένους τὸν ἀπὸ τῶν πολεμίων φόβον, συνεβούλευε κατάγειν τοὺς φυγάδας. ἄτοπον γὰρ ὑπάρχειν, ἐκ μὲν Ἰταλίας καὶ Πελοποννήσου μεταπέμπεσθαι [2] βοήθειαν παρὰ τῶν ἀλλοτρίων· τοὺς δὲ πολίτας μὴ βούλεσθαι πρὸς τοὺς ἰδίους συμπαραλαμβάνειν· οὓς, τῶν πολεμίων μεγάλας δωρεὰς ὑπισχνου-

1 Τὸ γεννησόμενον Reg. 1. 2 Βοηθεῖν Coisl.

quam congreſſibus illorum ſeſe admiſcuit. Interim rumores diſſeminavit, quod internuntiis miſſitandis illi cum hoſtibus colluderent. Ita enim futurum ſibi pollicebatur, ut, abrogata illis poteſtate, ſummum exercitus imperium ſibi traderetur. Dum haec ab eo fiunt, civium prudentiſſimi in ſuſpicionem illud vocant, perque omnes conventus maledictis eum inceſſunt: vulgus contra, fraudis inſcium, rem totam laudat, &, conſtantem urbi propugnatorem inventum eſſe tandem, dictitat. Concionibus vero de belli apparatu ſaepius iteratis, Syracuſios hoſtium metu perculſos videns, conſilium de revocandis exſulibus promulgat. Nam abſurdum eſſe, ab Italia & Peloponneſo auxilia peregrinorum contrahere, cives vero ſuos ad commune periculum adſciſcere non velle: qui magnis ab hoſte munerum pollicitationibus, ſi una

μένων, ἂν [1] συστρατεύσωσι, προαιρεῖσθαι [2] μᾶλλον ἐπὶ ξένης ἀλωμένους ἀποθανεῖν, ἤπερ ἀλλότριόν τι κατὰ τῆς πατρίδος βουλεύσασθαι. καὶ γὰρ εἰ διὰ τὰς γεγενημένας ἐν τῇ πόλει στάσεις [3] φυγόντας, νῦν γε τυχόντας ταύτης τῆς εὐεργεσίας, προθύμως ἀγωνιεῖσθαι, τοῖς εὖ ποιήσασιν ἀποδιδόντας χάριτας. πρὸς δὲ τὴν ὑπόθεσιν ταύτην πολλὰ διαλεχθεὶς οἰκεῖα τοῖς πράγμασι, συμψήφους ἔλαβε τοὺς Συρακουσίους. οὐδὲ γὰρ τῶν συναρχόντων οὐδεὶς ἐτόλμα περὶ τούτων ἀντειπεῖν διά τε τὴν τοῦ πλήθους ὁρμὴν, καὶ διὰ τὸ θεωρεῖν ἑαυτῷ μὲν περιεσομένην τὴν ἀπέχθειαν, ἐκείνῳ δὲ τὴν παρὰ τῶν εὐεργετηθέντων χάριν. τοῦτο δ' ἔπραξεν ὁ Διονύσιος, ἐλπίζων ἰδίους ἕξειν τοὺς φυγάδας, ἀνθρώπους μεταβολῆς ἐπιθυμοῦντας, καὶ πρὸς τὴν ἐπίθεσιν τῆς τυραννίδος [4] εὐθέτως διακειμένους. ἤμελλον γὰρ ἡδέως ὄψεσθαι τῶν ἐχθρῶν φόνους, δημεύσεις τῶν

1 Συστρατεύωσι Coislin. Reg. 1.
2 Μᾶλλον ἤπερ ἐπὶ Clar. Reg. 2. qui posterior praeterea ἀλωμένης.
3 Φυγῶν Coisl.
4 Εὐθέως idem.

militare velint, sollicitati, inter exteros tamen huc illuc vagantes mortem obire malint, quam alieni quidpiam a pietate in patriam suscipere. Etenim, si propter seditiones patria expulsi hoc nunc beneficio devinciantur, fore, ut gratiae referendae studio, quam propensissime pro patria decertent. Cum igitur multa ad institutum hoc idonea disseruisset, Syracusani tandem populi suffragia consecutus est. Nam collegarum nemo quidpiam contra proferre audebat, quod & multitudinis impetum reformidarent, & ad se praeter inimicitias nihil, ad illum vero pro meritis gratiae plurimum, inde rediturum prospicerent. Hoc propterea a Dionysio factum est, quod exsules sibi obnoxios fore speraret, homines utique mutationis cupidos, & ad parandam sibi dominationem aptos: qui inimicos suos trucidari, bona ipsorum pu-

ουσιῶν, ἑαυτοῖς ἀποκαθεσταμένα τὰ χρήματα. καὶ τέλος κυρωθείσης τῆς περὶ τῶν φυγάδων γνώμης, οὗτοι μὲν εὐθὺς εἰς τὴν πατρίδα κατῆλθον.

ϛγ΄. Ἐκ δὲ τῆς Γέλας ἐνεχθέντων γραμμάτων, ὅπως ἀποσταλῶσι στρατιῶται πλείους, ἔλαβεν ὁ Διονύσιος οἰκείαν ἔφοδον τῆς ἰδίας προαιρέσεως. ἀποσταλεὶς γὰρ μετὰ στρατιωτῶν πεζῶν μὲν δισχιλίων, ἱππέων δὲ τετρακοσίων, ἦλθε συντόμως εἰς τὴν πόλιν τῶν Γελώων, ἣν τότε παρεφύλαττε Δέξιππος ὁ Λακεδαιμόνιος, κατασταθεὶς ὑπὸ Συρακουσίων. ὁ δ᾽ οὖν Διονύσιος καταλαβὼν τοὺς εὐπορωτάτους στασιάζοντας πρὸς τὸν δῆμον, καὶ κατηγορήσας αὐτῶν ἐν ἐκκλησίᾳ καὶ κατακρίνας, αὐτοὺς μὲν ἀπέκτεινε, τὰς δ᾽ οὐσίας αὐτῶν ἐδήμευσεν. ἐκ δὲ τῶν χρημάτων τούτων τοῖς μὲν φρουροῦσι τὴν πόλιν, ὧν ἡγεῖτο Δέξιππος, ἀπέδωκε τοὺς ὀφειλομένους μισθούς· τοῖς δὲ μετ᾽ αὐτοῦ παρα-

blicari, ſibique facultates reſtitui, mirifica cum voluptate ſpectaturi eſſent. Sententia igitur de reducendis exſulibus tandem perrogata, ſine mora in patriam revocantur.

XCIII. Tum literis ex Gela de maiore illuc ſubſidio expediendo allatis, idoneam perſequendi conſilii occaſionem Dionyſius accipit. Bis mille enim peditum manu, & CCCC equitum turmis inſtructus, properato itinere Geloorum urbem petit, cuius defenſioni tunc Dexippus Lacedaemonius cum praeſidiariorum manu praefectus erat. Cumque gravi civitatem ſeditione locupletum adverſus plebem commotam Dionyſius offendiſſet, in publico accuſatos conventu damnat, ipſiſque necatis, facultates in aerarium redigit. Et ex his pecuniis debita iam pridem ſtipendia praeſidio urbis, quod ſub Dexippo militabat, exſolvit. Ceteris, quos Syracuſis adduxe-

γεγονόσιν ἐκ Συρακουσῶν, ἐπηγγείλατο διπλοῦς ποιήσειν τοὺς μισθοὺς, ὧν ἡ πόλις ἔταξε. διὰ δὲ τούτου τοῦ τρόπου [1] τούς τε ἐν Γέλᾳ στρατιώτας καὶ τοὺς μεθ' ἑαυτοῦ ταῖς εὐνοίαις ἰδίους κατέστησεν. ἐπῃνεῖτο δὲ καὶ ὑπὸ τοῦ δήμου τῶν Γελώων, ὡς αἴτιος αὐτοῖς γεγενημένος τῆς ἐλευθερίας· τοῖς γὰρ δυνατωτάτοις φθονοῦντες, τὴν ἐκείνων ὑπεροχὴν, δεσποτείαν [2] ἑαυτῶν ἀπεκάλουν. διόπερ [3] ἐξέπεμψαν πρέσβεις τοὺς ἐπαινοῦντας ἐν Συρακούσαις, καὶ τὰ ψηφίσματα [4] φέροντας, ἐν αἷς αὐτὸν μεγάλαις δωρεαῖς ἐτίμησαν. ὁ δὲ Διονύσιος ἐπεβάλετο μὲν τὸν Δέξιππον πείθειν κοινωνῆσαι τῆς ἐπιβολῆς· ἐπεὶ δ' οὐ συγκατετίθετο, μετὰ τῶν ἰδίων στρατιωτῶν ἕτοιμος ἦν ἀνακάμπτειν εἰς Συρακούσας. οἱ δὲ Γελῷοι, πυνθανόμενοι τοὺς Καρχηδονίους μέλλειν μετὰ πάσης τῆς δυνάμεως ἐπὶ πρώτην στρατεύειν τὴν Γέλαν, ἐδέοντο τοῦ Διονυσίου μεῖναι, καὶ μὴ περιϊδεῖν

1 Τούς τ' ἐν Co. & mox μετ' αὐτοῦ. Tum ἰδίους ταῖς εὐν. Reg. 1.

2 Αὐτῶν ἐπεκάλουν Reg. 1.

3 Ἔπεμψαν & ἐπαινέσοντας non male Venet.

4 Φέροντες Clar.

rat, ſtipendium, a civitate condictum, ſe duplicaturum recepit. Hoc modo tum qui Gelae erant, tum qui ductum eius ſequebantur, militum favorem ſibi adſtrinxit. Geloi praeterea virum laudibus extollunt, quippe qui libertatis aſſertor ipſis fuerit. Cum enim invidia potentiorum flagrarent, eminentiam illorum dominatum in ſe nuncupabant. Legatos igitur Syracuſas mittunt, qui & viri laudes ad populum referrent, & pſephiſmata, quibus magnos illi honores decreverant, exhiberent. Dionyſius interim Dexippum in ſententiam ſuam pertrahere conatur: verum illo refragante, cum ſua manu Syracuſas reverti conſtituit. Geloi autem, cum rumor increbuiſſet, Carthaginienſes totius exercitus viribus urbem ſuam omnium primam invadere conſtituiſſe, preces Dionyſio adhibent, ne abs ſe diſcedat, neve urbem in eam

αὐτοὺς τὰ αὐτὰ τοῖς Ἀκραγαντίνοις παθόντας. [1] οἷς ἐπαγγειλάμενος ὁ Διονύσιος [2] συντόμως ἥξειν μετὰ πλείονος δυνάμεως, ἐξώρμησεν ἐκ τῆς Γέλας μετὰ τῶν ἰδίων στρατιωτῶν.

ϛδʹ. Θέας δ' οὔσης ἐν ταῖς Συρακούσαις, τὴν ὥραν τῆς ἀπαλλαγῆς τῶν ἐκ τοῦ θεάτρου παρῆν εἰς τὴν πόλιν. συνδραμόντων δὲ τῶν ὄχλων ἐπ' αὐτὸν, καὶ πυνθανομένων περὶ τῶν Καρχηδονίων, ἀγνοεῖν αὐτοὺς ἔφη, διότι τῶν ἔξωθεν πολεμιωτέρους ἔχουσι τοὺς ἔνδον τῶν κοινῶν προεστῶτας, οἷς οἱ μὲν πολῖται πιστεύοντες ἑορτάζουσιν, αὐτοὶ δὲ [3] διαφοροῦντες τὰ δημόσια, τοὺς στρατιώτας ἀμίσθους πεποιήκασι· καὶ τῶν πολεμίων ἀνυπερβλήτους ποιουμένων τὰς εἰς τὸν πόλεμον παρασκευὰς, καὶ μελλόντων ἐπὶ Συρακούσας τὴν δύναμιν ἄγειν, τούτων δ' οὐδ' ἡντινοῦν ποιούμενοι φροντίδα. δι' ἣν αἰτίαν ταῦτα πράττουσιν, εἰδέναι μὲν καὶ

1 Οἷς ἐπηγγειλάμενος Coislin.
2 Ταχέως ex ſcholio Reg. 1.
3 Διαῤῥοφοῦντες ora Steph. Cl. Venet.

demergi calamitatem patiatur, quam Agrigentini ſubierant. Quibus ſe brevi cum maioribus adfuturum copiis pollicitus Dionyſius, Gela cum agmine ſuo diſcedit.

XCIV. Ludi tum agitabantur Syracuſis, eaque commodum hora, qua populus e theatro domum ſe recipiebat, Dionyſius in urbem redit. Concurſu igitur multitudinis ad eum facto, cum de Carthaginienſibus ſciſcitarentur, ſe quidquam ſcire negat, propterea quod reipublicae praefectos hoſtibus ipſis habeant infeſtiores: quorum blanditiis inducti cives iam feſtos agant dies, cum ipſi rempublicam interim depeculantes, ſtipendiis milites defraudent. Iam hoſtes incredibiles in bellum apparatus facere, & cum infeſto agmine finibus Syracuſanis imminere: hoc vero ſuſque deque ab illis haberi. Id quo conſilio faciant, iam pridem mediocriter ſibi intellectum,

πρότερον, νῦν δὲ σαφέστερον ἀνεγνωκέναι. Ἰμίλκωνα γὰρ πρὸς αὐτὸν ἀπεσταλκέναι κήρυκα, πρόφασιν μὲν ὑπὲρ τῶν αἰχμαλώτων, παρακαλεῖν δὲ, [1] πλείω τῶν συναρχόντων περιποιησάμενον, μηδὲν τῶν πραττομένων πολυπραγμονεῖν, μηδ' ἀντιπράττειν, ἐπειδὴ συνεργεῖν οὐ προαιρεῖται· μηκέτ' οὖν βούλεσθαι στρατηγεῖν, ἀλλὰ [2] καὶ παρεῖναι τὴν ἀρχὴν ἀποθησόμενος. οὐ γὰρ [3] ἀνεκτὸν εἶναι, τῶν ἄλλων πωλούντων τὴν πατρίδα, μόνον κινδυνεύειν μετὰ τῶν πολιτῶν· ἀλλὰ καὶ δόξειν μετεσχηκέναι τῆς προδοσίας. παροξυνθέντων δὲ ἐπὶ τοῖς ῥηθεῖσι, καὶ τοῦ λόγου [4] διὰ πάσης τῆς δυνάμεως ῥυέντος, τότε μὲν εἷς ἕκαστος ἀγωνιῶν εἰς οἶκον ἐχωρίσθη· τῇ δ' ὑστεραίᾳ συναχθείσης ἐκκλησίας, ἐν ᾗ τῶν ἀρχόντων πολλὰ κατηγορήσας, οὐ μετρίως εὐδοκίμησε,

1 Πλῆθος & ad marginem γρ. πλείω in Reg. 2. & Clar. πολλοὺς Venet.
2 Stigmate defectus insignivit Stephanus, nec est in Reg. 2.
3 Ἀνεκτὸν Coisl. Venet. Vulgo ἀνεκτέον.
4 Μετὰ πάσης Reg. 1.

nunc vero penitus perspectum esse. Nam ab Imilcone caduceatorem ad se missum, qui captivos quidem se redemturum simularit, clanculum tamen exhortatus sit, ne, qui prae ceteris ducibus plus auctoritatis sibi comparasset, in ea, quae gererentur, curiosius inquireret, aut obsisteret, siquidem cum ipsis facere non constituisset. Se igitur imperatoris munere non amplius fungi velle, sed ad deponendum magistratum iam paratum esse. Nequaquam enim tolerandum, aliis patriam vendentibus, se solum cum civibus periculum sustinere. Immo proditionis etiam una cum illis insimulatum se iri, caussatur. Accensa his dictis plebe, ac sermone per totum exercitum divulgato, tunc quidem suam quisque domum, non absque metu ac perturbatione, se recipit. Postridie autem indicto populi conventu, multis duces criminibus onerans, populumque in eos concitans, favorem

τὸν δὲ δῆμον κατὰ τῶν στρατηγῶν παρώξυνε. τέλος δὲ τῶν καθημένων τινὲς ἀνεβόησαν στρατηγὸν αὐτὸν αὐτοκράτορα καθιστάναι, καὶ μὴ περιμένειν ἄχρις ἂν οἱ πολέμιοι τοῖς τείχεσιν ἐπισείωσι. χρείαν γὰρ ἔχειν τὸ μέγεθος τοῦ πολέμου τοιούτου στρατηγοῦ, δι' οὗ δυνατὸν εἶναι εὐπορεῖν τοῖς πράγμασι. [1] τὰ δὲ περὶ τῶν προδοτῶν ἐν ἐκκλησίᾳ βουλεύεσθαι· τῶν γὰρ ἐνεστώτων καιρῶν ἀλλότριον εἶναι. καὶ πρότερον δὲ Καρχηδονίων τὰς τριάκοντα μυριάδας περὶ τὴν Ἱμέραν νενικῆσθαι, στρατηγοῦντος Γέλωνος αὐτοκράτορος. ταχὺ δὲ τῶν πολλῶν, ὥσπερ εἰώθασιν, ἐπὶ τὸ χεῖρον ῥεπόντων, ὁ Διονύσιος ἀπεδείχθη στρατηγὸς αὐτοκράτωρ.

ϛε΄. Ἐπειδ' οὖν αὐτῷ τὰ πράγματα κατὰ νοῦν ἠκολούθει, ψήφισμα ἔγραψε, τοὺς μισθοὺς διπλασίους εἶναι. πάντας γὰρ, ἔφησε, τούτου γενομένου, προθυμοτέρους ἔσεσθαι πρὸς τὸν ἀγῶνα, καὶ περὶ τῶν

1 Desunt in eodem usque τῶν γάρ.

non exiguum sibi conciliavit. Tandem in consessu nonnulli exclamare coeperunt, Dictatorem illum creandum, nec exspectandum, dum hostium armis moenia quatiantur. Magnitudinem belli eiusmodi imperatorem deposcere, qui magnis rempublicam commodis locupletare queat. De proditoribus in alia deinceps concione disquirendum, cum id a praesenti tractatione alienum videatur. Olim quoque CCC millia Carthaginiensium ad Himeram, cum summum Gelo imperium teneret, devicta esse. Ad hanc vocem multitudine subito, ut ipsius mos est, in deterius inclinata, Dionysius imperator cum summa potestate creatur.

XCV. Cui posteaquam ex sententia res successit, psephisma scripsit, uti duplum militibus stipendium numeretur. Hoc enim modo illos ad certamen tanto promtio-

χρημάτων παρεκάλει μηθὲν ἀγωνιᾷν· ἔσεσθαι γὰρ αὐτῶν τὸν [1] πόρον ῥᾴδιον. διαλυθείσης δὲ τῆς ἐκκλησίας, οὐκ ὀλίγοι τῶν Συρακουσίων κατηγόρουν τῶν πραχθέντων, ὥσπερ οὐκ [2] αὐτοὶ ταῦτα κεκυρωκότες· τοῖς γὰρ λογισμοῖς εἰς ἑαυτοὺς ἐρχόμενοι, τὴν ἐσομένην δυναστείαν ἀνεθεώρουν. οὗτοι μὲν οὖν βεβαιῶσαι βουλόμενοι τὴν ἐλευθερίαν, ἔλαθον ἑαυτοὺς δεσπότην τῆς πατρίδος καθεστακότες. ὁ δὲ Διονύσιος τὴν μετάνοιαν τῶν ὄχλων [3] φθάσαι βουλόμενος, ἐπεζήτει δι' οὗ τρόπου δύναιτο φύλακας αἰτήσασθαι τοῦ σώματος· τούτου γὰρ συγχωρηθέντος, ῥᾳδίως ἤμελλε κυριεύσειν τῆς τυραννίδος. εὐθὺς οὖν παρήγγειλε τοὺς ἐν ἡλικίᾳ πάντας, ἕως [4] ἐτῶν τεσσαράκοντα, λαβόντας ἐπισιτισμὸν ἡμερῶν τριάκοντα, καταντᾷν μετὰ τῶν ὅπλων εἰς Λεοντί-

1 Πόνον Clar.
2 Αὐτοὶ ταῦτα κεκυρωκότες ora Steph. Reg. 1. Coisl. Vat. αὐτοὶ κυρώσαντες ταῦτα Ven. Edd. αὐτοὶ τὰ κεκυρωμένα πεποιηκότες ταῦτα.
3 Φθᾶναι Clar.
4 Τῶν Coisl. Tum τοὺς ἐν ἡλικ. παρήγγειλεν, ἕως Reg. 1.

res futuros. De pecuniis vero neutiquam ſollicitos eſſe iubet. Proventum enim horum non difficilem ipſis fore. Concione tamen dimiſſa, non pauci Syracuſanorum erant, qui factum hoc culparent, ac ſi non ipſi rata illa eſſe iuſſiſſent. Nam poſtquam ad maturiorem haec conſiderationem revocarent, principatum hinc ſecuturum proſpiciebant. Quare, dum libertatem ſibi confirmare cupiunt, imprudentes dominum patriae imponunt. Dionyſius igitur, ut poenitentiam vulgi anteverteret, meditari ſecum coepit, qua ratione corporis ſui cuſtodes ſibi dari peteret. Hoc enim impetrato, facile tyrannidem occupaturus erat. Omnibus igitur repente, qui per aetatem armis ferendis idonei erant, quadrageſimum aetatis annum nondum ſupergreſſi, ut XXX dierum commeatu inſtructi cum armis in Leontinorum urbem properent,

νους. αὕτη δ' ἡ πόλις τότε φρούριον ἦν [1] τοῖς Συρακουσίοις, πλῆρες ὑπάρχον φυγάδων καὶ ξένων ἀνθρώπων· ἤλπιζε γὰρ τούτους συναγωνιστὰς ἕξειν, ἐπιθυμοῦντας μεταβολῆς· τῶν δὲ Συρακουσίων τοὺς πλείστους οὐδ' ἥξειν εἰς Λεοντίνους. οὐ μὴν ἀλλὰ νυκτὸς ἐπὶ τῆς χώρας στρατοπεδεύων, καὶ προσποιηθεὶς ἐπιβουλεύεσθαι, κραυγὴν ἐποίησε καὶ θόρυβον διὰ τῶν ἰδίων οἰκετῶν· τοῦτο δὲ πράξας συνέφυγεν εἰς τὴν ἀκρόπολιν, καὶ διενυκτέρευσε πυρὰ καίων, καὶ τοὺς γνωριμωτάτους τῶν στρατιωτῶν μεταπεμπόμενος. ἅμα δ' ἡμέρᾳ τοῦ πλήθους ἀθροισθέντος εἰς Λεοντίνους, πολλὰ πρὸς τὴν τῆς ἐπιβουλῆς ὑπόθεσιν πιθανολογήσας, ἔπεισε τοὺς ὄχλους δοῦναι φύλακας αὐτῷ τῶν στρατιωτῶν ἑξακοσίους, οὓς ἂν [2] προαιρῆται. λέγεται δὲ τοῦτο πρᾶξαι τὸν Διονύσιον, ὑπομιμούμενον Πεισίστρατον τὸν Ἀθηναῖον. καὶ γὰρ ἐκεῖνόν φασιν ἑαυτὸν κατατραυματίσαντα προελ-

1 Τῶν Συρακουσίων Co. Reg. 1. 2 Προαιρεῖται Clar. Reg. 2.

edicit. Haec enim praesidiariae tunc arcis loco Syracusanis erat, exsulibus & peregrinorum hominum colluvie referta: quos commodam sibi operam navaturos sperabat, novarum quippe rerum studiosos; cum maximam Syracusanorum partem in Leontinos minime venturam praevideret. Per noctem igitur in agro stativa habens, insidias parari sibi fingit, tumultuque a familia sua magnis clamoribus excitato, in arcem confugit, ubi crebris accensis ignibus, & militum fortissimis ad se arcessitis, noctem illam transigit. Simul vero ac dies illuxit, multitudine in urbem Leontinorum congregata, multa, quae ad propositum argumentum facerent, probabiliter disserens, eo turbam adduxit, ut DC custodes, quos ipse vellet, eligendi potestatem ei facerent. Pisistrati Atheniensis exemplo hoc factitasse Dionysius memoratur. Is enim vulneribus sponte inflictis, veluti insidiis appeti-

θεῖν εἰς τὴν ἐκκλησίαν ὡς [1] ἐπιβεβουλευμένον, καὶ διὰ τοῦτο φυλακὴν λαβεῖν παρὰ τῶν πολιτῶν, ᾗ χρησάμενον τὴν τυραννίδα [2] περιπεποιῆσθαι. καὶ τότε Διονύσιος τῇ παραπλησίᾳ μηχανῇ τὸ πλῆθος ἐξαπατήσας, ἐνήργει τὰ τῆς τυραννίδος.

ϛϛʹ. [3] Εὐθὺς γὰρ τοὺς χρημάτων μὲν ἐνδεεῖς, τῇ δὲ ψυχῇ θρασεῖς ἐπιλέξας ὑπὲρ τοὺς χιλίους, ὅπλοις τε πολυτελέσι καθώπλισε, καὶ ταῖς μεγίσταις ἐπαγγελίαις ἐμετεώρισε· τοὺς δὲ μισθοφόρους ἀνακαλούμενος καὶ φιλανθρώποις λόγοις χρώμενος, ἰδίους κατεσκεύαζε. μετετίθει δὲ καὶ τὰς τάξεις, τοῖς πιστοτάτοις τὰς ἡγεμονίας παραδιδούς. καὶ Δέξιππον τὸν Λακεδαιμόνιον ἀπέλυσεν εἰς τὴν Ἑλλάδα. ὑφεωρᾶτο γὰρ τὸν ἄνδρα τοῦτον, μὴ καιροῦ λαβόμενος ἀνακτήσηται τοῖς Συρακουσίοις τὴν ἐλευθερίαν. μετεπέμψατο δὲ καὶ τοὺς ἐν Γέλᾳ μισθοφόρους, καὶ πανταχόθεν [4] συνῆγε

1 Ἐπιβουλευόμενον Steph. ora.
2 Πεποιῆσθαι Coisl.
3 Εὐθὺ idem.
4 Συνήθροιζε Venet. ex ſcholio.

tus eſſet, concioni ſeſe oſtentaſſe, atque idcirco ſtipatores a civibus accepiſſe fertur: quorum ope violentum in civitatem imperium arripuerit. Simili tunc fallaciae commento Dionyſius plebem ineſcans, tyranni partibus fungi coepit.

XCVI. Nam e veſtigio ab opibus male inſtructos, animorumque robore praeſtantes, ſupra CIↃ deligit, armis inſignibus munit, & pollicitis magnificis attollit. Tum mercenarios etiam advocatos perhumanis allocutus verbis, ad omne ſibi obſequium addictos facit. Ordinum quoque rationem immutat, fidiſſimo cuique praefecturae munus commendans. Tum Dexippum Lacedaemonium in Graeciam dimittit. Suſpectus enim hic vir ipſi erat, ne per occaſionem Syracuſani hoc duce libertatem recuperarent. Mercenarium etiam Gela militem arceſſit,

τοὺς φυγάδας καὶ ἀσεβεῖς, ἐλπίζων διὰ τούτων βεβαιοτάτην τηρηθήσεσθαι τὴν τυραννίδα. οὐ μὴν ἀλλὰ παραγενόμενος εἰς Συρακούσας, κατεσκήνωσεν ἐν τῷ ναυστάθμῳ, φανερῶς [1] ἑαυτὸν ἀναδείξας τύραννον. οἱ δὲ Συρακούσιοι βαρέως φέροντες ἠναγκάζοντο τὴν ἡσυχίαν [2] ἔχειν· οὐδὲν γὰρ ἔτι περαίνειν ἠδύναντο· ἥτε γὰρ πόλις ἔγεμεν ὅπλων ξενικῶν, τούς τε Καρχηδονίους ἐδεδοίκεισαν τηλικαύτας ἔχοντας δυνάμεις. ὁ δ᾽ οὖν Διονύσιος εὐθέως ἔγημε τὴν Ἑρμοκράτους θυγατέρα τοῦ καταπολεμήσαντος Ἀθηναίους, καὶ τὴν ἀδελφὴν ἔδωκε Πολυξένῳ τῆς Ἑρμοκράτους γυναικὸς ἀδελφῷ. τοῦτο δ᾽ ἔπραξε βουλόμενος οἰκίαν ἐπίσημον εἰς οἰκειότητα προσλαβέσθαι πρὸς τὸ τὴν τυραννίδα ποιῆσαι βεβαίαν. μετὰ δὲ ταῦτα, συναγαγὼν ἐκκλησίαν, τοὺς ἀντιπράξαντας αὐτῷ τῶν δυνατωτάτων ὄντας Δαφναῖον

1 Αὑτὸν Coisl. 2 Ἄγειν idem.

& undecunque exſules & religionis violatae damnatos contrahit, ſpe haud dubia, horum ope regnum ſe quam firmiſſime ſtabiliturum. Poſteaquam vero Syracuſas fuit regreſſus, fixis in navali tentoriis, apertum ſe tyrannum civitati demonſtravit. Graviſſime hoc quidem Syracuſani tulerunt. At quid facerent? niſi ut quiete ſe continerent, cum nihil amplius confieri iam ab ipſis poſſet. Namque urbs tota peregrinorum armis obſeſſa tenebatur, & pavor a Carthaginienſibus incumbebat, qui tantas in procinctu copias haberent. Dionyſius ergo ſtatim Hermocratis, qui res Athenienſium in Sicilia extreme afflixit, filiam matrimonio ſibi iunxit, germanamque ſuam Polyxeno, qui Hermocratis uxoris frater erat, collocavit. Hoc eo conſilio fecit, ut nobilem affinitate domum ſibi adſtringeret, ad regnum ſtabilius confirmandum. Hinc populo ad conventum accito, molitionibus ſuis adverſantium potentiſſimos Daphnaeum & Demar-

καὶ Δήμαρχον ἀνεῖλε. Διονύσιος μὲν οὖν ἐκ γραμματέως, καὶ τοῦ τυχόντος ἰδιώτου, τῆς μεγίστης πόλεως τῶν Ἑλληνίδων ἐγενήθη τύραννος· διετήρησε δὲ τὴν [1] δυναστείαν ἄχρι τῆς τελευτῆς, τυραννήσας ἔτη δύο λείποντα τῶν τεσσαράκοντα. τὰς δὲ κατὰ μέρος αὐτοῦ πράξεις καὶ τὴν αὔξησιν τῆς ἀρχῆς ἐν τοῖς οἰκείοις χρόνοις διέξιμεν. δοκεῖ γὰρ οὗτος μεγίστην τῶν ἱστορουμένων τυραννίδα περιπεποιῆσθαι δι᾽ ἑαυτοῦ καὶ πολυχρονιωτάτην. οἱ δὲ Καρχηδόνιοι μετὰ τὴν ἅλωσιν τῆς πόλεως τὰ μὲν ἀναθήματα καὶ τοὺς ἀνδριάντας καὶ τἄλλα τὰ πολυτελέστατα μετήνεγκαν εἰς Καρχηδόνα· τὰ δ᾽ ἱερὰ κατακαύσαντες [2] καὶ τὴν πόλιν διαρπάσαντες, αὐτοῦ παρεχείμασαν· ἐπὶ δὲ τὴν ἐαρινὴν ὥραν [3] παρεσκευάζοντο μηχανήματα καὶ βέλη παντοδαπὰ, διανοούμενοι πρώτην πολιορκῆσαι τὴν τῶν Γελώων πόλιν.

1 Τυραννίδα Reg. 1. quae glossa videtur.

2 Quatuor, quae succedunt, a Clarom. absunt.

3 Παρεσκεύαζον Venet.

chum e medio tollendos curavit. Ita Dionysius, e scriba & infimae conditionis homine, urbis inter Graecas civitates maximae dominatum consecutus est, imperiumque ad vitae suae finem per annos duo de quadraginta conservavit. Quas vero res suo deinceps tempore gesserit, & quomodo regnum amplificarit, conveniente nobis loco differetur. Hic etenim amplissimam tyrannidem, & prolixissimo tempore continuatam, sibi comparasse videtur. Carthaginienses autem post captam urbem donaria in templis reposita, & statuas, & res ibi pretiosissimas Carthaginem transportarunt, fanisque in cinerem redactis, & urbe direpta, illic hibernarunt. Interim machinas & tela omnis generis sibi comparabant. Ad proximum enim ver Geloorum urbem omnium primam obsidere constituerant.

Athenienses, receptis in civitatem peregrinis, augent militum numerum, & instaurant novam classem.

ϛζ'. Ἀθηναῖοι δὲ κατὰ τὸ συνεχὲς ἐλαττώμασι περιπίπτοντες, ἐποιήσαντο πολίτας τοὺς μετοίκους, καὶ τῶν ἄλλων ξένων τοὺς βουλομένους συναγωνίσασθαι. ταχὺ δὲ πολλοῦ πλήθους πολιτογραφηθέντος, οἱ στρατηγοὶ κατέγραφον τοὺς εὐθέτους εἰς τὴν στρατείαν. παρεσκευάσαντο δὲ ναῦς ἑξήκοντα, καὶ ταύτας πολυτελῶς καταρτίσαντες ἐξέπλευσαν εἰς Σάμον, ἐν ᾗ κατέλαβον τοὺς ἄλλους στρατηγοὺς ἀπὸ τῶν ἄλλων νήσων ὀγδοήκοντα τριήρεις ἠθροικότας. δεηθέντες δὲ καὶ τῶν Σαμίων προσπληρῶσαι δέκα τριήρεις, ἀνήχθησαν ἁπάσαις ταῖς ναυσὶν, οὔσαις ἑκατὸν πεντήκοντα, καὶ κατέπλευσαν εἰς τὰς Ἀργινούσας νήσους, σπεύδοντες λῦσαι τὴν Μιτυλήνης πολιορκίαν. ὁ δὲ τῶν Λακεδαιμονίων ναύαρχος Καλλικρατίδας, πυθόμενος τὸν κατάπλουν τῶν νεῶν, ἐπὶ μὲν τῆς πολιορκίας κατέλιπεν Ἐτεόνικον [1] μετὰ πολλῆς δυνάμεως· αὐτὸς δὲ πληρώ-

1 Μετὰ τῆς πολλ. solus Reg. 2.

XCVII. Ceterum Athenienses, continuis adversae fortunae cladibus debilitati, inquilinos aliosque peregrinos, qui commune secum belli discrimen subire vellent, civitate donant. Cumque brevi ingens multitudo in civium numerum cooptata esset, Praetores, quicunque ad bellum idonei viderentur, conscribunt. LX praeterea naves adornant, quibus magnifice instructis, in Samum traiiciunt, ubi duces ceteros inveniunt, qui ex aliis iam insulis XXC triremes collegerant. Rogatisque Samiis, ut & ipsi X triremes complerent, cum universa classe C & L navium inde solvunt, & Arginusas insulas versus contendunt, ut Mitylenen obsidione quamprimum liberarent. Callicratidas autem Lacedaemoniorum navarchus, de classis hosticae adventu certior factus, Eteonicum magnis cum copiis ad persequendam obsidionem relinquit:

σας ναῦς ἑκατὸν τεσσαράκοντα, κατὰ σπουδὴν ἀνήχθη, καὶ [1] τῶν Ἀργινουσῶν περὶ θάτερα μέρη· αἱ νῆσοι τότ᾽ ἦσαν οἰκούμεναι, καὶ πολισμάτιον Αἰολικὸν ἔχουσαι, κείμεναι μεταξὺ Μιτυλήνης καὶ Κύμης, ἀπέχουσαι τῆς ἠπείρου βραχὺ παντελῶς, καὶ τῆς ἄκρας τῆς Κατάνιδος. οἱ δ᾽ Ἀθηναῖοι τὸν μὲν κατάπλουν τῶν πολεμίων εὐθέως ἔγνωσαν, οὐ μακρὰν ὁρμοῦντες· διὰ [2] δὲ τὸ μέγεθος τῶν πνευμάτων τὸ μὲν ναυμαχεῖν ἀπέγνωσαν, εἰς δὲ τὴν ἐχομένην ἡμέραν ἡτοιμάζοντο [3] τὰ πρὸς τὴν ναυμαχίαν, τὸ αὐτὸ ποιούντων καὶ τῶν Λακεδαιμονίων, καὶ παρ᾽ ἀμφοτέροις ἀπαγορευόντων τῶν μάντεων. τοῖς μὲν γὰρ Λακεδαιμονίοις ἡ τοῦ θύματος κεφαλὴ κειμένη παρὰ τὸν αἰγιαλὸν ἀφανὴς ἐγεγόνει, [4] προσκλύζοντος τοῦ κύματος. διόπερ ὁ μάντις προὔλεγε, διότι τελευτήσει ναυμαχῶν ὁ ναύαρχος. οὗ ῥηθέντος, φασὶ τὸν Καλλικρατίδαν εἰπεῖν, ὅτι τελευ-

Huic ad inf. Arginusas obviam facti Lacedaemonii.

De ineunda pugna deliberant, quam vates utrinque dissuadent.

1 Περὶ θάτερα μ. τῶν Ἀργ. Ven.

2 Non est in Coisl. qui distinctione neglecta haec praecedentibus nectit artifsime.

3 Τὰ πρὸς τὴν percommode Regius 1. Ceteris deest τά. Vid. supra cap. 45.

4 Tria haec omittit Reg. 1.

ipseque, C & XL navibus completis, raptim in alteram Arginusarum partem classe sua provehitur. Colebantur tunc hae insulae, oppidulumque habebant Aeolicum. Iacent autem inter Mitylenen & Cumam, exiguo plane intervallo a continente, & Catanide promontorio. Athenienses, quia non procul inde stationem habebant, adnavigationem hostium mature cognoscunt. Sed quod flatus tunc esset vehementior, pugna tum quidem supersedendum censent, ad ineundum vero postridie certamen sese comparant. Idem & Lacedaemonii faciunt. Utrinque autem vates proelium dissuadent. Nam Lacedaemoniis victimae caput in litore repositum subito disparuit, impetu fluctus alluentis haustum. Occubiturum ergo Praetorem classis haruspex praedixit. Ad quod respondisse

τήσας κατὰ τὴν μάχην, οὐδὲν ἀδοξότερον ποιήσει τὴν Σπάρτην. τῶν δ' Ἀθηναίων ὁ στρατηγὸς Θρασύβουλος, ὃς ἦν ἐπὶ τῆς ἡγεμονίας ἐκείνην τὴν ἡμέραν, εἶδε κατὰ τὴν νύκτα τοιαύτην ὄψιν· ἔδοξεν Ἀθήνησι τοῦ θεάτρου πλήθοντος, αὐτός τε καὶ τῶν ἄλλων στρατηγῶν ἓξ ὑποκρίνεσθαι τραγῳδίαν Εὐριπίδου Φοινίσσας· τῶν δ' ἀντιπάλων [1] ὑποκρινομένων τὰς Ἱκέτιδας, δόξαι τὴν [2] Καδμείαν νίκην αὐτοῖς προσγενέσθαι, καὶ πάντας ἀποθανεῖν, μιμουμένους τὰ πράγματα τῶν ἐπὶ Θήβας στρατευσάντων. ἀκούσας δ' ὁ μάντις ταῦτα, διεσάφει τοὺς ἑπτὰ τῶν στρατηγῶν ἀναιρηθήσεσθαι. τῶν δ' ἱερείων φερόντων νίκην, οἱ στρατηγοὶ περὶ μὲν τῆς ἑαυτῶν ἀπωλείας ἐκέλευον ἑτέροις ἀπαγγέλλειν, περὶ δὲ τῆς ἐν τοῖς ἱεροῖς νίκης [3] ἀνήγγειλαν καθ' ὅλην τὴν δύναμιν.

Nihilominus, hortante Callicratida,

ϟη'. Καλλικρατίδας δ' ὁ ναύαρχος συναγαγὼν

1 Ἀποκρινομένων Coisl.
2 Καδμίαν Reg. 2.
3 Οἱ στρατηγοὶ ἀνήγγειλαν &c. Clar.

Callicratidam ferunt, ſe Spartae gloriam oppetendo non obſcuriorem effecturum. Athenienſium vero Praetori, penes quem illo die ſumma poteſtas erat, Thraſybulo, nocte praecedente huiuſmodi ſomnium occurrit. Videbatur ſibi cum ceteris VI ducibus in frequenti Athenis theatro Euripidis Tragoediam (quam Phoeniſſas inſcripſit) agere; adverſariis contra fabulam, cui Supplicum nomen, repraeſentantibus; & Cadmeam tandem victoriam ſibi obtingere, cunctoſque exemplo illorum, qui Thebas oppugnarunt, interire. Quod ubi hariolus audivit, VII duces eo proelio caſuros interpretatus eſt. Cum exta tamen victoriam portenderent, de interitu ſuo amicis tantum renuntiari iubent, at victoriam fauſtis ſacrorum indiciis promiſſam per totum exercitum divulgant.

XCVIII. Tum Callicratidas concione militum advo-

τὰ πλήθη, καὶ παραθρασύνας τοῖς οἰκείοις λόγοις, τὸ τελευταῖον εἶπεν· εἰς τὸν ὑπὲρ τῆς πατρίδος κίνδυνον οὕτως ἐστὶ πρόθυμος αὐτὸς, ὥστε τοῦ μάντεως λέγοντος διὰ τῶν ἱερείων ὑμῖν μὲν προσημαίνεσθαι νίκην, ἐμοὶ δὲ θάνατον, ὅμως ἕτοιμός εἰμι τελευτᾷν. εἰδὼς οὖν μετὰ τὸν τῶν ἡγεμόνων [1] θάνατον ἐν θορύβῳ τὰ στρατόπεδα γινόμενα, νῦν ἀναδεικνύω ναύαρχον, ἄν ἐγώ τι πάθω, τὸν διαδεξόμενον Κλέαρχον, ἄνδρα πεῖραν δεδωκότα τῶν κατὰ πόλεμον ἔργων. ὁ μὲν οὖν Καλλικρατίδας ταῦτ' εἰπὼν, οὐκ ὀλίγους ἐποίησε ζηλῶσαι τὴν ἀρετὴν [2] αὐτοῦ, καὶ προθυμοτέρους γενέσθαι πρὸς τὴν μάχην. καὶ Λακεδαιμόνιοι μὲν παρακαλοῦντες ἀλλήλους, ἀνέβαινον εἰς τὰς ναῦς· οἱ δ' Ἀθηναῖοι παρακληθέντες ὑπὸ τῶν στρατηγῶν εἰς τὸν ἀγῶνα, κατὰ σπουδὴν ἐπλήρουν τὰς τριήρεις, καὶ πάντες εἰς τάξιν

res ad proelium venit.

Pugna navalis, apud Arginusas commissa.

1 Θάνατον ἐν θορύβῳ Ven. Cett. καὶ ἐν θορύβῳ.

2 Αὐτοῦ Reg. uterque, non magno discrimine.

cata, opportunis eos verbis exhortatur, & ad postremum addit: Ad discrimen pro patria subeundum tam promtus sum & alacris, ut, tametsi vates ex hostiae prodigiis mihi interitum praenuntiet, cum vobis tamen victoriam simul praedicet, nullam in me moram esse patiar, quin statim mortem oppetam. Cumque me non fugiat, imperatorum morte acies perturbari, iam alium vobis navarchum renuntio, quippe Clearchum, qui, si quid humanitus mihi contigerit, in locum meum succedat, virum certe praeclaris belli experimentis spectatum. His verbis non paucos Callicratidas accendit, ut virtutem illam imitari properarent, & ad conflictum multo promtiores essent. Lacedaemonii, mutuo sese cohortantes, navigia conscendunt. Sic etiam Athenienses, a ducibus ad strenue decertandum excitati, triremes occupant, & suum quisque ordinem capessit. Dextrum vero

καθίσταντο. τοῦ μὲν οὖν δεξιοῦ κέρατος [1] Θράσυλλος ἡγεῖτο καὶ Περικλῆς ὁ Περικλέους τοῦ προσαγορευθέντος κατὰ τὴν δύναμιν Ὀλυμπίου. συμπαρέλαβε δὲ καὶ Θηραμένην εἰς τὸ δεξιὸν κέρας, ἐφ' ἡγεμονίας τάξας· ὃς ἰδιώτης μὲν συνεστρατεύετο πρότερον, τότε δὲ πολλάκις ἦν ἀφηγούμενος δυνάμεων. τοὺς δ' ἄλλους στρατηγοὺς παρ' ὅλην τὴν φάλαγγα διέταξε, καὶ τὰς καλουμένας Ἀργινούσας νήσους συμπεριέλαβε τῇ τάξει, σπεύδων ὅτι πλεῖστον παρεκτεῖναι τὰς ναῦς. ὁ δὲ Καλλικρατίδας ἀνήχθη, τὸ μὲν δεξιὸν [2] μέρος αὐτὸς ἔχων, τὸ δ' εὐώνυμον παρέδωκε Βοιωτοῖς, ὧν Θρασώνδας ὁ Θηβαῖος τὴν ἡγεμονίαν ἔσχεν. οὐ δυνάμενος δὲ τάξιν ἐξισῶσαι τοῖς πολεμίοις, διὰ τὸ τὰς νήσους [3] πολὺν ἐπέχειν τόπον, διείλετο τὴν δύναμιν, καὶ δύο ποιήσας στόλους, πρὸς ἑκάτερον μέρος δίχα διηγωνίζετο. διὸ καὶ παρείχετο μεγάλην κατάπληξιν πολλαχῇ τοῖς

1 Θράσυλλος ora Steph. Vatic. Clar. Coisl. & Reg. ambo. Edd. Θρασύβουλος.

2 Κέρας Reg. 1. non male.

3 Πόλιν Coisl.

cornu Thrafyllus, cum Pericle, Periclis illius, cui fingularis dicendi vis Olympii cognomen tum peperit, filio tenebat. Partem tamen in illo cornu gubernandam tradidit Therameni, qui inter gregarios initio milites ftipendia fecerat, fed tum non femel dux copiarum fuerat. Ceteros autem praefectos per totam diftribuit phalangem, & Arginufas (ut vocantur) fimul infulas acie fua complexus, quam longiffimo claffem fpatio extendere maturavit. Callicratidas autem in altum evectus, dexterum cornu regebat: finiftrum Boeotis commiferat, quorum Thrafondas Thebanus ductor erat. Cum vero non poffet aciem hoftium aequare, quod amplum nimis fpatium obtinerent infulae, copias divifit, & bipartita claffe duobus utrinque locis pugnam cum hofte conferuit. Magnum ea res ftuporem ubique intuentibus obiecit, ve-

θεωμένοις, ὡς ἂν τεττάρων μὲν στόλων ναυμαχούντων, τῶν δὲ νεῶν συνηθροισμένων εἰς ἕνα τόπον οὐ πολλαῖς ἐλάττω τῶν τριακοσίων. μεγίστη γὰρ αὕτη μνημονεύεται ναυμαχία [1] γεγενημένη τοῖς Ἕλλησι πρὸς Ἕλληνας.

maxima omnium, quibus unquam Graeci cum Graecis conflixerant.

ϞΘʹ. Ἅμα δ' οἵ τε ναύαρχοι τοῖς σαλπιγκταῖς παρεκελεύοντο σημαίνειν, καὶ τὸ παρ' ἑκατέροις πλῆθος ἐναλλὰξ ἐπαλαλάζον ἐξαίσιον ἐποίει βοήν. πάντες δὲ μετὰ σπουδῆς ἐλαύνοντες τὸ ῥόθιον, ἐφιλοτιμοῦντο πρὸς ἀλλήλους, ἑκάστου σπεύδοντος πρώτου κατάρξασθαι τῆς μάχης. ἔμπειροί τε γὰρ ἦσαν τῶν κινδύνων οἱ πλεῖστοι, διὰ τὸ μῆκος τοῦ πολέμου, καὶ σπουδὴν ἀνυπέρβλητον ἐπεφέροντο, διὰ τοὺς [2] κρατίστους εἰς τὸν ὑπὲρ τῶν ὅλων ἀγῶνα συνηθροῖσθαι. πάντες γὰρ ὑπελάμβανον τοὺς ταύτῃ τῇ μάχῃ νικήσαντας, πέρας ἐπιθήσειν τῷ πολέμῳ. οὐ μὴν ἀλλ' ὁ Καλλικρατίδας

Eius descriptio.

1 Γεγονέναι Ven. 2 Κρατίστους εἰς τὸν solus Ven. Deerat praepositio.

luti IV classes, navibus haud minus CCC in unum locum coactis, inter se concurrissent. Haec enim pugna omnium maxima fuisse memoratur, quas Graeci cum Graecis unquam conseruerint.

XCIX. Tum uno momento a navarchis classicum insonare tubicines iubentur, & exsultans utrinque multitudo immensum clamorem alternatim tollit, verberatisque haud segniter remorum impulsu fluctibus, magno studio inter sese certant, dum quisque primus inceptare conflictum properat. Plerique enim ob belli diuturnitatem bellicorum discriminum haud imperiti erant; & pertinacissima tum res contentione geritur, quod ad disceptationem de summa rerum lectissimorum hominum robur convenisset. Nemini enim dubium erat, quin, utricunque hoc proelio victores abirent, ii bello finem imposituri essent. Ceterum Callicratidas, necem sibi immi-

ἀκηκοὼς τοῦ μάντεως τὴν περὶ αὐτὸν ἐσομένην τελευτὴν, ἔσπευδεν ἐπιφανέστατον ἑαυτῷ περιποιήσασθαι θάνατον. διόπερ πρῶτος ἐπὶ τὴν Ναυσίου τοῦ στρατηγοῦ ναῦν ἐπιπλεύσας, καὶ σὺν ταῖς [1] ἅμα πλεούσαις τριήρεσιν ἐξ ἐφόδου τρώσας κατέδυσε. τῶν δ' ἄλλων τὰς μὲν τοῖς ἐμβόλοις τύπτων [2] ἄπλους ἐποίει, τῶν δὲ τοὺς ταρσοὺς ἀχρήστους ἀπετέλει πρὸς τὴν [3] μάχην· τὸ δὲ τελευταῖον, δοὺς ἔμβολον τῇ τοῦ Περικλέους τριήρει βιαιότερον, τῆς μὲν τριήρους [4] ἐπὶ πολὺν ἀνέρρηξε τόπον, τοῦ δὲ στόματος ἐναρμοσθέντος εἰς τὴν ἀκίδα, καὶ μὴ δυναμένων αὐτῶν ἀνακρούσασθαι, Περικλῆς μὲν ἐπέβαλε τῇ τοῦ Καλλικρατίδα νηὶ σιδηρᾶν χεῖρα· προσαχθείσης δ' αὐτῆς, οἱ μὲν Ἀθηναῖοι περιστάντες τὴν ναῦν εἰσήλλοντο, καὶ περιχυθέντες τοὺς ἐν αὐτῇ πάντας ἀπέσφαξαν. τότε δή φασι τὸν Καλλικρατίδαν, λαμπρῶς ἀγωνισάμενον, καὶ πολὺν ἀντισχόντα χρόνον, τὸ τελευταῖον ὑπὸ τοῦ πλήθους πανταχόθεν τι-

Caeſo Callicratida, ipſorum imperatore,

1 Ἄλλαις Reg. 1.
2 Ἄπλως Coisl.
3 Ναυμαχίαν idem.
4 Omittit duo haec Coisl.

nere ex vatis indicio compertum habens, quam glorioſiſſimam ſibi mortem conciliare properat. Ideo primus in Nauſiae Praetoris triremem incurrens, eam cum prope adiunctis primo ſtatim impetu perfringens, demergit. Ceteras partim roſtris feriens, inhabiles ad navigandum reddit, partim deterſis remis inutiles ad pugnam facit. Ad extremum Periclis navem violento roſtri incurſu adortus, bonam eius partem lacerat. Sed quia frons adverſariae navis mucroni tam firmiter infixa erat, ut retro agi triremis nequiret, Pericles ferream navi Callicratidae manum iniicit. Quam vi adductam circumglomerati Athenienſes undique inſiliunt, & turbam illic circumventam iugulant. Hîc Callicratidam perhibent, cum egregie dimicans diu reſtitiſſet, vulneribus tandem plu-

τρωσκόμενον, καταπονηθῆναι· ὡς δὲ τὸ περὶ τὸν ναύαρχον ἐλάττωμα συμφανὲς ἐγένετο, συνέβη τοὺς Πελοποννησίους δείσαντας ἐκκλῖναι. τοῦ δὲ δεξιοῦ μέρους τῶν Πελοποννησίων φυγόντων, οἱ τὸ λαιὸν ἔχοντες Βοιωτοὶ χρόνον μέν τινα διεκαρτέρουν εὐρώστως ἀγωνιζόμενοι· (εὐλαβοῦντο γὰρ αὐτοὺς οἱ συγκινδυνεύοντες Εὐβοεῖς, καὶ πάντες οἱ τῶν Ἀθηναίων ἀφεστηκότες, μή ποτε Ἀθηναῖοι τὴν ἀρχὴν ἀνακτησάμενοι, τιμωρίαν παρ' αὐτῶν λάβωσιν ὑπὲρ τῆς ἀποστάσεως) ἐπειδὴ δὲ τὰς πλείστας ναῦς ἑώρων τετρωμένας, καὶ τὸ πλῆθος τῶν νικώντων ἐπ' αὐτοὺς ἐπιστραφὲν, ἠναγκάσθησαν φυγεῖν. τῶν μὲν οὖν Πελοποννησίων οἱ μὲν εἰς Χίον, οἱ δ' εἰς Κύμην διεσώθησαν.

Lacedaemonii tandem fusi.

ρ'. Οἱ δ' Ἀθηναῖοι διώξαντες ἐφ' ἱκανὸν τοὺς ἡττημένους, πάντα τὸν σύνεγγυς τόπον τῆς θαλάττης ἐπλήρωσαν νεκρῶν καὶ ναυαγίων. μετὰ δὲ ταῦτα τῶν

Ingens caedes ab utraque parte.

rimis undique confoſſum, procidiſſe. Hoc navarchi caſu divulgato, Peloponneſiorum acies timore percuſſa, repente inclinari coepit. Quamvis ergo dextrum Peloponneſiorum cornu in fugam actum eſſet, in ſiniſtro tamen Boeoti ad tempus aliquod fortiter dimicantes reſiſtebant: Euboënſes enim, in communi periculo verſantes, reverentia horum tenebantur. Et alioqui metus angebat rebelles Athenienſium, ne imperio rurſus Athenienſes potiti, defectionis poenas ab illis exigerent. At cum maximam navium partem transfoſſam, victorumque multitudinem in ſe converſam cernerent, fugae ſe dare coguntur. Peloponneſiorum itaque alii in Chium, alii Cumam evaſerunt.

C. Athenienſes vero, victos fugatoſque ad longum intervallum perſecuti, totam in propinquo maris regionem cadaveribus & navium fragmentis repleverunt. Poſt

στρατηγῶν οἱ μὲν ᾤοντο δεῖν τοὺς τετελευτηκότας ἀναιρεῖσθαι, διὰ τὸ χαλεπῶς διατίθεσθαι τοὺς Ἀθηναίους ἐπὶ τοῖς [1] ἀτάφους περιορῶσι τοὺς τετελευτηκότας· οἱ δ' ἔφασαν δεῖν ἐπὶ τὴν Μιτυλήνην πλεῖν, καὶ τὴν ταχίστην λῦσαι τὴν πολιορκίαν· ἐπεγειήθη δὲ καὶ χειμὼν μέγας, ὥστε σαλεύεσθαι τὰς τριήρεις, καὶ τοὺς στρατιώτας, διά τε τὴν ἐκ τῆς μάχης κακοπάθειαν, καὶ διὰ τὸ μέγεθος τῶν κυμάτων, ἀντιλέγειν πρὸς τὴν ἀναίρεσιν τῶν νεκρῶν. τέλος δὲ τοῦ χειμῶνος ἐπιτείνοντος, οὔτε ἐπὶ τὴν Μιτυλήνην ἔπλευσαν, οὔτε τοὺς τετελευτηκότας ἀνείλοντο· βιασθέντες δὲ ὑπὸ τῶν πνευμάτων, εἰς Ἀργινούσας κατέπλευσαν. ἀπώλοντο δὲ ἐν τῇ ναυμαχίᾳ τῶν μὲν Ἀθηναίων ναῦς εἰκοσιπέντε, καὶ τῶν ἐν αὐταῖς οἱ πλεῖστοι· τῶν δὲ Πελοποννησίων ἑπτὰ πρὸς ταῖς ἑβδομήκοντα. διόπερ τοσούτων νεῶν καὶ τῶν ἐν αὐταῖς γεγενημένων ἀνδρῶν ἀπολωλότων, ἐπλήσθη

1 Ἀτάφοις idem.

haec ducum alii caeſorum cadavera tollenda eſſe cenſebant, propterea quod graviter Athenienſes in eos, qui defunctorum ſepulturam negligunt, vindicare ſoleant: aliis potius videbatur, Mitylenen confeſtim renavigandum, eamque obſidione quam primum liberandam eſſe. Tum ingens repente tempeſtas oritur, qua & triremes concuſſae, & militum animos ex recentis pugnae moleſtia & tempeſtatis magnitudine tantum invaſit taedium, ut corpora defunctorum colligendi operam detrectarent. Tandem uſque adeo tempeſtas invaluit, ut neque Mitylenen petere, neque mortuos tollere e mari poſſent, ſed procellis ventorum retroacti, Arginuſis claſſem adverterent. Interierunt hac pugna naves Athenienſium XXV & e claſſiariis plerique. Peloponneſii vero ad VII & LXX amiſerunt. Tanto igitur navium hominumque numero peſſumdato, tota Cumaeorum & Phocaeenſium

τῆς Κυμαίων καὶ [1] Φωκαέων ἡ παραθαλάττιος χώρα νεκρῶν καὶ ναυαγίων. ὁ δὲ τὴν Μιτυλήνην πολιορκῶν [2] Ἐτεόνικος, πυθόμενός τινος τὴν τῶν Πελοποννησίων ἧτταν, τὰς μὲν ναῦς εἰς Χίον ἔπεμψε, τὴν δὲ πεζὴν δύναμιν αὐτὸς ἔχων εἰς τὴν Τυῤῥαίων πόλιν ἀπεχώρησεν, οὖσαν σύμμαχον. ἐδεδοίκει γὰρ μή ποτε τῷ στόλῳ [3] πλευσάντων τῶν Ἀθηναίων ἐπ' αὐτούς, καὶ τῶν ἐκ τῆς πόλεως ἐπεξελθόντων, κινδυνεύσῃ τὴν δύναμιν ἀποβαλεῖν ἅπασαν. οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ πλεύσαντες εἰς Μιτυλήνην, καὶ τὸν Κόνωνα μετὰ τῶν τεσσαράκοντα νεῶν παραλαβόντες, εἰς Σάμον κατέπλευσαν· κἀκεῖθεν ὁρμώμενοι τὴν τῶν πολεμίων χώραν ἐπόρθουν. μετὰ δὲ ταῦτα οἱ περὶ τὴν Αἰολίδα καὶ τὴν Ἰωνίαν καὶ τὰς νήσους τὰς συμμαχούσας Λακεδαιμόνιοι συνῆλθον εἰς Ἔφεσον, καὶ βουλευομένοις αὐτοῖς ἔδοξεν ἀποστέλλειν εἰς Σπάρτην, καὶ Λύσανδρον αἰ-

1 Φωκαίων Reg. 1. Vulgo Φωκέων.
2 Ἐτεονίσκος ora Steph. Venet. Reg. 1. Clar. prave.
3 Πλεύσαντες Clar. Mox τοὺς omittit Coisl.

regio litoralis cadaveribus & laceratarum navium truncamentis offerta videbatur. Tum Eteonicus, Mitylenen obſidens, de Peloponneſiorum clade a quodam certior factus, naves in Chium dimittit; ipſe vero cum terreſtri exercitu in ſociam Tyrraeorum urbem concedit, cum metu urgeretur, ne, claſſe Athenienſium appropeerante, & oppidanis erumpentibus, in extremum occidionis periculum exercitus veniret. Dein Athenienſes Mitylenen profecti, Conone cum XL navibus aſſumto, in Samum traiiciunt, & inde hoſtium agros populationibus vexant. Poſt haec Lacedaemonii in Aeolide, & Ionia, inſuliſque hic illic diſperſi, Epheſi conventum agunt, & ſententiis ultro citroque dictis, tandem ſtatuunt, miſſa Spartam legatione Lyſandrum ad praeturam claſſis de-

τεῖσθαι ναύαρχον. οὗτος γὰρ ἔν τε τῷ τῆς ναυαρχίας χρόνῳ κατωρθωκὼς ἦν πολλὰ, καὶ ἐδόκει διαφέρειν στρατηγίᾳ τῶν ἄλλων. οἱ δὲ Λακεδαιμόνιοι νόμον ἔχοντες δὶς τὸν αὐτὸν μὴ [1] πέμπειν, καὶ τὸ πάτριον ἔθος μὴ θέλοντες καταλύειν, Ἄρατον μὲν εἵλοντο ναύαρχον, τὸν δὲ Λύσανδρον ἰδιώτην αὐτῷ συνεξέπεμψαν, προστάξαντες ἀκούειν ἅπαντα τούτου. οὗτοι μὲν ἐκπεμφθέντες ἐπὶ τὴν ἡγεμονίαν, ἔκ τε τῆς Πελοποννήσου καὶ παρὰ τῶν συμμάχων τριήρεις ἤθροιζον ὅσας ἠδύναντο πλείστας.

Ob cadavera caesorum haud sepulta duces Athen. in iudicium vocati,

ρα'. Ἀθηναῖοι δὲ, πυθόμενοι τὴν ἐν ταῖς Ἀργινούσαις εὐημερίαν, ἐπὶ μὲν τῇ νίκῃ τοὺς στρατηγοὺς ἐπῄνουν, ἐπὶ δὲ τῷ περιϊδεῖν ἀτάφους [2] τοὺς ὑπὲρ τῆς ἡγεμονίας τετελευτηκότας, χαλεπῶς διετέθησαν. Θηραμένους δὲ καὶ Θρασυβούλου προαπεληλυθότων εἰς Ἀθήνας, ὑπολαβόντες οἱ στρατηγοὶ τούτους εἶναι τοὺς [3] διαβαλόν-

1 Πέμπειν ἐπὶ ναυαρχίᾳ Venet.

2 Deſit in Coisl. & Reg. 1. qui & τετελευτηκότας praetereunt.

3 Διαβαλόντας αὐτοὺς Ven. quod ſequor. Pronomen deerat edd.

poſcendum eſſe. Hic enim magiſtratus ſui tempore res multas praeclare geſſerat, & imperatoria prae ceteris arte excellere videbatur. Atqui lege prohibebantur Lacedaemonii, ne bis uni claſſis imperium committerent. Cum patrium itaque morem abolere nollent, Arato claſſis imperium tradunt, Lyſandrumque privatum illi adiungunt, cum his mandatis, ne dux a conſiliis eius unquam diſcedat. Ad commune ergo imperium dimiſſi, tum e Peloponneſo, tum a belli ſociis, triremes quam plurimas poſſunt, hinc inde colligunt.

CI. Athenienſes vero, accepto rei tam feliciter geſtae apud Arginuſas nuntio, duces ob victoriam laudare; ſed quod inſepultos reliquiſſent eos, qui pro defenſione imperii occubuerant, graviſſime ferre. Cum itaque Theramenes & Thraſybulus ante illos reditum Athenas maturaſſent, reliqui duces, ab his ſe de neglectu

τας αὐτοὺς πρὸς τὰ πλήθη τῶν τελευτησάντων, ἀπέστειλαν κατ᾽ αὐτῶν ἐπιστολὰς πρὸς τὸν δῆμον, διασαφοῦντες ὅτι [1] τούτοις ἐπέταξαν ἀνελέσθαι τοὺς τελευτήσαντας. ὅπερ μάλιστα αὐτοῖς αἴτιον ἐγενήθη τῶν κακῶν. δυνάμενοι γὰρ ἔχειν συναγωνιστὰς εἰς τὴν κρίσιν τοὺς περὶ Θηραμένην, ἄνδρας καὶ λόγῳ δυνατοὺς, καὶ φίλους πολλοὺς ἔχοντας, καὶ τὸ μέγιστον, συμπαραγεγονότας τοῖς εἰς τὴν ναυμαχίαν πράγμασιν, ἐκ τῶν ἐναντίων ἔσχον ἀντιδίκους καὶ πικροὺς κατηγόρους. ἀναγνωσθεισῶν γὰρ ἐν τῷ δήμῳ τῶν ἐπιστολῶν, εὐθὺς μὲν τοῖς περὶ Θηραμένην ὠργίζετο τὰ πλήθη· τούτων δὲ ἀπολογησαμένων, συνέβη τὴν ὀργὴν πάλιν μεταπεσεῖν εἰς τοὺς στρατηγούς. διόπερ ὁ δῆμος προέθηκεν αὐτοῖς κρίσιν, καὶ Κόνωνα μὲν ἀπολύσας τῆς αἰτίας, προσέταξε τούτῳ τὰς δυνάμεις παραδίδοσθαι, τοὺς δ᾽ ἄλλους ἐψηφίσατο τὴν ταχίστην ἥκειν· ὧν

1 Τούτους Reg. 1. Tum ἔταξαν Coisl.

mortuorum ad plebem traductum iri ſuſpicantes, literas contra eos ad populum mittunt, quibus ſignificatur, his funerandi mortuos curam fuiſſe demandatam: quae praecipua malorum cauſa ipſis exſtitit. Cum enim facile ipſis fuiſſet Theramenem, & reliquos ab eius partibus ſtantes, in iudicio iſto defenſores & patronos habere, viros utique eloquentia & amicorum multitudine praeſtantes, &, quod maximum, qui cunctis eo proelio geſtis interfuerunt, contrarium evenit, quippe, ut adverſarios illos & oppugnatores acerrimos haberent. Recitatis namque literis ad populum, confeſtim multitudo ira in Theramenem & ſocios exarſit. Sed ubi illi ſe purgarunt, ira omnis rurſus in duces eſt converſa. Diem ergo populus eis dixit, copiiſque Cononi tradi iuſſis, quem ab hac actione exemerant, ceteros abſque omni cunctatione redire plebiſcito quodam iubent. E quibus Ariſtoge-

Ἀριστογένης μὲν καὶ Πρωτόμαχος, φοβηθέντες τὴν ὀργὴν τοῦ πλήθους, ἔφυγον· Θράσυλλος δὲ καὶ Καλλιάδης, ἔτι δὲ Λυσίας καὶ Περικλῆς καὶ Ἀριστοκράτης μετὰ τῶν πλείστων νεῶν κατέπλευσαν εἰς τὰς Ἀθήνας, ἐλπίζοντες τοὺς ἐν ταῖς ναυσὶ πολλοὺς ὄντας βοηθοὺς [1] ἕξειν ἐν τῇ κρίσει. ὡς δ' εἰς τὴν ἐκκλησίαν τὰ πλήθη συνῆλθον, τῆς μὲν κατηγορίας καὶ τῶν πρὸς χάριν δημηγορούντων ἤκουον, τοὺς δ' ἀπολογουμένους συνθορυβοῦντες οὐκ ἠνείχοντο τῶν λόγων. οὐκ ἐλάχιστα δ' αὐτοὺς ἔβλαψαν οἱ συγγενεῖς τῶν τετελευτηκότων, παρελθόντες μὲν εἰς τὴν ἐκκλησίαν ἐν πενθίμοις, δεόμενοι δὲ τοῦ δήμου τιμωρήσασθαι τοὺς [2] περιεωρακότας ἀτάφους τοὺς ὑπὲρ τῆς πατρίδος [3] προθύμως τετελευτηκότας. τέλος δ' οἵ τε τούτων φίλοι καὶ οἱ τοῖς περὶ Θηραμένην συναγωνιζόμενοι, [4] πολλοὶ καθεστῶτες, ἐνί-

1 Ἐξάγειν Coisl.
2 Περιεωραχότες Clar.
3 Ἑτοίμως Coisl. Mox ἀποθανόντας ex scholio Reg. 1.
4 Πολλὰ Clar.

nes & Protomachus, populi furorem extimescentes, fuga sibi consulunt. Thrasylius vero, Calliades, Lysias, Pericles, & Aristocrates, cum plerisque navibus, Athenas revertuntur, hac maxime spe adducti, fore, ut intercessione illorum, quos magno numero advexerant, in iudicio subleventur. Posteaquam igitur multitudo in concionem venit, faciles criminationi aures praebuit, sermonesque hominum ad gratiam loquentium, gratos & ratos habuit; ad reorum contra defensionem tumultuans, ne audire quidem voluit. Nec minimum eis obfuere cognati defunctorum. Qui lugubri in concionem habitu progressi, & magna populum obtestatione rogabant, ut supplicium de ducibus sumeretur, quod sepulturam illorum posthabuissent, qui vitam suam patriae fortiter impendissent. Tandem igitur amici caesorum, & Theramenis adstipulatores, quorum ingens illic numerus

σχυσαν· καὶ συνέβη καταδικασθῆναι τοὺς στρατηγοὺς θανάτῳ, καὶ δημεύσει τῶν οὐσιῶν.

ϱβʹ. Τούτων δὲ κυρωθέντων, καὶ μελλόντων αὐτῶν ὑπὸ τῶν [1] δημοσίων ἐπὶ τὸν θάνατον ἄγεσθαι, Διομέδων εἷς τῶν στραρηγῶν παρῆλθεν εἰς τὸ μέσον, ἀνὴρ καὶ τὰ περὶ τὸν πόλεμον ἔμπρακτος, καὶ δικαιοσύνῃ τε καὶ ταῖς ἄλλαις ἀρεταῖς δοκῶν διαφέρειν. σιωπησάντων δὲ πάντων, εἶπεν, „Ἄνδρες Ἀθηναῖοι, τὰ μὲν „περὶ ἡμῶν [2] κυρωθέντα συνενέγκαι τῇ πόλει· τὰς δὲ „ὑπὲρ τῆς νίκης εὐχὰς ἐπειδήπερ ἡ τύχη κεκώλυκεν „ἡμᾶς ἀποδοῦναι, καλῶς ἔχον ὑμᾶς φρονῆσαι, καὶ „τῷ Διὶ τῷ σωτῆρι καὶ Ἀπόλλωνι καὶ ταῖς σεμναῖς „θεαῖς ἀπόδοτε. [3] τούτοις γὰρ εὐξάμενοι, τοὺς πολε„μίους κατεναυμαχήσαμεν.„ ὁ μὲν οὖν Διομέδων ταῦτα διαλεχθεὶς, ἐπὶ τὸν κυρωθέντα θάνατον ἀπήγετο μετὰ τῶν ἄλλων στρατηγῶν, τοῖς ἀγαθοῖς τῶν πολι-

& cum summa crudelitate ad supplicium dati.

1 Δημίων Venet. In sequentibus alii articulum omisissent. Vid. lib. XVIII, 67.
2 Deest Reg. 1.
3 Τούτους Clar.

adstabat, praevaluere. Duces ergo capite condemnati sunt, & facultates eorum publicatae.

CII. His ita decretis, cum illi iam a lictoribus ad necem ducerentur; Diomedon, Praetorum unus, vir bellicis in rebus exercitatus, & iustitia ceterisque virtutibus praecellere existimatus, in medium processit. Silentio igitur per totam concionem facto, hunc ad modum infit: *Viri Athenienses, quod in capita nostra iam decretum est, id faustum ac felix civitati huic eveniat. At vota pro victoria Diis nuncupata, quia fortuna reddere nos prohibuit, vos accurare pium & honestum est. Iovi igitur servatori, & Apollini, & venerandis Deabus illa persolvitote. Horum enim numine invocato hostes profligavimus.* Haec profatus Diomedon, una cum ceteris ducibus ad supplicium destinatum rapitur, magnam erga se commiserationem in optimorum civium

τῶν πολὺν οἶκτον [1] παραστήσας καὶ δάκρυα. τὸν γὰρ ἀδίκως τελευτᾶν μέλλοντα, τοῦ μὲν καθ' αὑτὸν πάθους μηδ' ἡντινοῦν ποιεῖσθαι μνείαν, ὑπὲρ δὲ τῆς ἀδικούσης πόλεως ἀξιοῦν τὰς εὐχὰς ἀποδιδόναι τοῖς θεοῖς, ἐφαίνετ' ἀνδρὸς εὐσεβοῦς ἔργον καὶ μεγαλοψύχου, καὶ τῆς περὶ αὐτὸν τύχης ἀναξίου. τούτους μὲν οὖν οἱ ταχθέντες ὑπὸ τῶν νόμων ἕνδεκα ἄρχοντες ἀπέκτειναν, οὐχ οἷον ἠδικηκότας τι τὴν πόλιν, ἀλλὰ ναυμαχίαν μεγίστην τῶν Ἕλλησι πρὸς Ἕλληνας γεγενημένων νενικηκότας, καὶ ἐν ἄλλαις μάχαις λαμπρῶς ἠγωνισμένους, καὶ διὰ τὰς ἰδίας ἀρετὰς τρόπαια κατὰ τῶν πολεμίων ἑστακότας. οὕτω δ' ὁ δῆμος τότε παρεφρόνησε, καὶ παροξυνθεὶς ἀδίκως [2] ὑπὸ τῶν δημαγωγῶν, τὴν ὀργὴν ἀπέσκηψεν εἰς ἄνδρας οὐ τιμωρίας [3] ἀλλὰ πολλῶν ἐπαίνων καὶ στεφάνων ἀξίους.

ργ'. Ταχὺ δὲ καὶ τοῖς πείσασι καὶ τοῖς [4] πεισθεῖ-

1 Παραστείσας Venet.
2 Ὑπὸ optime Ven. ὑπὲρ vulgo.
3 Ἀλλὰ καὶ Reg. 2. Clar.
4 Πειθεῖσι Coisl. Mox ἐξαπατηθέντες τῶν πολιτῶν Venet.

animis non ſine lacrimis excitans. Nam eum, qui ſupplicium iam adiret, nullam prorſus mentionem ſui caſus facere, ſed patriae cauſa, nefarie tum agentis, vota Diis reddi, monere, pii & magnanimi viri, illoque infortunio prorſus indigni, opus videbatur. Duces ergo XI viri capitales lege creati necandos curaverunt, qui ne minima quidem iniuria civitatem laeſerant, ſed ex pugna navali omnium maxima, quibus unquam Graeci cum Graecis dimicaſſent, victoriam retulerant, & quorum virtus aliis etiam proeliis magnifice probata, praeclara de fuſis hoſtibus tropaea ſtatuerat. Tam perdite tunc populus inſanivit, ut ab oratoribus praeter ius & fas exacerbatus, iram ſuam in viros, non modo nulla poena, ſed magnis inſuper laudibus & coronis dignos, exonerarit.

CIII. Atqui ſtatim utroſque, tum qui populum con-

σι μετεμέλησεν, οἱονεὶ νεμεσήσαντος τοῦ δαιμονίου. οἱ μὲν γὰρ ἐξαπατηθέντες ἐπίχειρα τῆς ἀγνοίας ἔλαβον μετ' οὐ πολὺν χρόνον καταπολεμηθέντες οὐχ ὑφ' ἑνὸς δεσπότου μόνον, ἀλλὰ τριάκοντα· ὁ δ' ἐξαπατήσας καὶ τὴν γνώμην εἰπὼν Καλλίξενος, [1] εὐθὺς τοῦ πλήθους μεταμεληθέντος, εἰς αἰτίαν ἦλθεν ὡς τὸν δῆμον ἐξηπατηκώς· οὐκ ἀξιωθεὶς δ' ἀπολογίας, ἐδέθη, καὶ [2] κατακλεισθεὶς εἰς τὴν δημοσίαν φυλακὴν, ἔλαθε μετά τινων διορύξας τὸ δεσμωτήριον, καὶ διαδρὰς πρὸς τοὺς πολεμίους εἰς Δεκέλειαν· ὅπως διαφυγὼν τὸν θάνατον, μὴ μόνον Ἀθήνησιν, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησι δακτυλοδεικτουμένην [3] ἔχῃ τὴν πονηρίαν παρ' ὅλον τὸν βίον. τὰ μὲν οὖν κατὰ τοῦτον τὸν ἐνιαυτὸν πραχθέντα σχεδὸν ταῦτ' ἐστί. τῶν δὲ συγγραφέων Φίλιστος τὴν πρώτην σύνταξιν τῶν Σικελικῶν εἰς τοῦ- Adiicitur notitia de Philisto, scriptore rerum Sicularum,

1 Εὐθὺ Reg. 1. Alterutrum scholion est.
2 Καταβληθεὶς Coisl. & Reg. 1.
3 Ἔχει Coisl. Clar.

citarant, tum qui calumniis fidem adhibuerant, poenitudo facti incessit, ac si numen ipsum scelus hoc detestaretur. Nam qui malignis his suasionibus decipiendos se praebuerant, digna stultitiae praemia non diu post accepere, cum non ab uno, sed XXX dominis, hostilem ad modum premerentur. Tum qui capitalem in reos sententiam pertulerat Callixenus, mox a multitudine, poenitentia rei ducta, in crimen decepti per fraudem populi vocatus, negataque defensionis copia, in vincula coniectus est. Publico dein carceri inclusus, nonnullorum ope parietibus eius clam perfossis, ad hostes Deceliam profugit: scilicet ut devitata nece, non Athenis modo, sed inter alios quoque Graecos flagitiosa hominis improbitas digito per omnem deinceps vitam monstraretur. Haec fere sunt, quae per annum illum gesta memorantur. Porro inter scriptores Philistus primam rerum Sicu-

τὸν ἐνιαυτὸν κατέστρεφεν, εἰς τὴν Ἀκράγαντος ἅλωσιν, ἐν βίβλοις ἑπτὰ διελθὼν χρόνον [1] ἐτῶν πλείω τῶν ὀκτακοσίων. τῆς δὲ δευτέρας συντάξεως τὴν μὲν ἀρχὴν ἀπὸ τῆς προτέρας τελευτῆς πεποίηται, γέγραφε δὲ βίβλους τέσσαρας. περὶ δὲ τὸν αὐτὸν χρόνον ἐτελεύτησε Σοφοκλῆς Θεοφίλου, ποιητὴς τραγῳδιῶν, ἔτη βιώσας ἐννενήκοντα, νίκας δ' ἔχων ὀκτωκαίδεκα. φασὶ δὲ τὸν ἄνδρα τοῦτον τὴν ἐσχάτην τραγῳδίαν εἰσαγαγόντα καὶ νικήσαντα, χαρᾷ περιπεσεῖν ἀνυπερβλήτῳ, δι' ἣν καὶ τελευτῆσαι. Ἀπολλόδωρος δέ, [2] ὁ τὴν χρονικὴν σύνταξιν πραγματευσάμενος, φησὶ καὶ τὸν Εὐριπίδην κατὰ τὸν αὐτὸν ἐνιαυτὸν τελευτῆσαι· τινὲς δὲ λέγουσι, παρ' Ἀρχελάῳ τῷ βασιλεῖ Μακεδόνων κατὰ τὴν χώραν ἐξελθόντα, κυσὶ περιπεσεῖν καὶ διασπασθῆναι, μικρῷ πρόσθεν τούτων τῶν χρόνων.

& de Sophocle atque Euripide, circa hoc tempus mortuis.

Olymp. XCIII, 4.

ρδ'. Τοῦ δ' ἔτους τούτου διελθόντος, Ἀθήνησι μὲν

1 Omittit Cl. 2 Ὁ τὴν folus Reg. 2. Vulgo deerat articulus prior.

larum partem cum hoc anno, captoque Agrigento, concludit, feptem voluminibus plus quam IↃCCC annorum tempora complexus. Alterum vero hiftoriae fuae contextum a fine prioris exorditur, & per libros IV deducit. Circiter hoc tempus Sophocles, Theophili filius, poëta Tragicus, mortem obiit, natus annos XC, duodeviginti victoriis ornatus. De hoc viro proditum eft, quod ultimam exhibens fabulam, & palmam adeptus, in laetitiam tam immodicam fe effuderit, ut ftatim exfpiraret. Apollodorus, annalium fcriptor, hoc anno Euripidem quoque defunctum effe tradit. Alii vero memorant, cum apud regem Macedoniae Archelaum vitam ageret, in agrum forte egreffum in canes incidiffe, a quibus dilaceratus mifere interierit, fed paullo ante hoc tempus.

CIV. Exeunte illo anno, Athenis magiftratum capef-

ἦρχεν [1] Ἀλεξίας, ἐν δὲ τῇ Ῥώμῃ ἀντὶ τῶν ὑπάτων τρεῖς χιλίαρχοι κατεστάθησαν, Γάϊος Ἰούλιος, Πούπλιος Κορνήλιος, καὶ Γάϊος Σερουΐλιος. τούτων δὲ τὴν ἀρχὴν παραλαβόντων, Ἀθηναῖοι, μετὰ τὴν ἀναίρεσιν τῶν στρατηγῶν, ἐπὶ τὴν ἡγεμονίαν ἔταξαν Φιλοκλέα, καὶ τὸ ναυτικὸν αὐτῷ παραδόντες, ἐξέπεμψαν πρὸς Κόνωνα, προστάξαντες κοινῶς ἀφηγεῖσθαι τῶν δυνάμεων. ὃς ἐπεὶ κατέπλευσε πρὸς Κόνωνα εἰς Σάμον, τὰς ναῦς ἁπάσας ἐπλήρωσε, τρεῖς πρὸς ταῖς ἑκατὸν ἑβδομήκοντα. τούτων εἴκοσι μὲν ἔδοξεν αὐτοῦ καταλιπεῖν, ταῖς δ' ἄλλαις ἁπάσαις ἀνήχθησαν εἰς Ἑλλήσποντον, ἡγουμένου Κόνωνος καὶ Φιλοκλέους. Λύσανδρος δ' ὁ τῶν Λακεδαιμονίων ναύαρχος ἐκ Πελοποννήσου παρὰ τῶν ἐγγὺς συμμάχων τριάκοντα καὶ πέντε ναῦς ἀθροίσας, κατέπλευσεν εἰς Ἔφεσον· μεταπεμψάμενος δὲ καὶ τὸν ἐκ Χίου στόλον [2] ἐξήρτυεν· ἀνέβη δὲ καὶ πρὸς Κῦρον τὸν Δαρείου τοῦ βασιλέως υἱὸν, καὶ χρήματα πολλὰ

Philocles & Conon, Athen. duces, relicto in inf. Samo praesidio, in Hellespontum navigant.

Lacedaemonii, duce Lysandro, novam instruunt classem.

1 Λεξίας Clar.
2 Καὶ ἐξηρτ. Ven. At μεταπεμψάμενος Clar. In edd. μετεπέμψατο erat.

sit Alexias, Romae Consulum loco iterum Tribuni militares III, C. Iulius, P. Cornelius, & C. Servilius creantur. Horum durante magistratu, Athenienses post ducum suorum caedem, Philoclem exercitui praeficiunt, traditaque classe, ad Cononem se conferre illum iubent, ut communicato inter se imperio bellum administrent. Qui, postquam ad Cononem transmisit in Samum, naves universas numero CLXXIII milite complevit. De his XX illic relinqui placuit: cum reliquis omnibus uterque Conon & Philocles in Hellespontum contendunt. Lysander interea, Lacedaemoniorum classis summus praefectus, e Peloponneso sociisque finitimis XXXV navibus collectis, Ephesum transmittit, & accitam e Chio classem instaurat. Mox ad Cyrum quoque Darii regis filium

Is, accepta a Persis pecunia, Ephesum petit,

παρέλαβε πρὸς τὰς τῶν στρατιωτῶν διατροφάς. ὁ δὲ Κῦρος, μεταπεμπομένου τοῦ πατρὸς αὐτὸν εἰς Πέρσας, τῷ Λυσάνδρῳ τῶν ὑφ' αὐτὸν πόλεων τὴν ἐπίστασιν παρέδωκε, καὶ τοὺς φόρους [1] τούτῳ τελεῖν συνέταξεν. ὁ δὲ Λύσανδρος, πάντων τῶν εἰς πόλεμον εὐπορήσας, εἰς Ἔφεσον ἀνέστρεψε. καθ' ὃν δὴ χρόνον ἐν τῇ Μιλήτῳ τινὲς ὀλιγαρχίας ὀρεγόμενοι, κατέλυσαν τὸν δῆμον, συμπραξάντων αὐτοῖς Λακεδαιμονίων· καὶ τὸ μὲν πρῶτον, Διονυσίων ὄντων, ἐν ταῖς οἰκίαις τοὺς μάλιστα ἀντιπράττοντας συνήρπασαν, καὶ περὶ τεσσαράκοντα ὄντας ἀπέσφαξαν. μετὰ δὲ, τῆς ἀγορᾶς πληθούσης, τριακοσίους ἐπιλέξαντες τοὺς εὐπορωτάτους ἀνεῖλον. οἱ δὲ χαριέστατοι τῶν τὰ τοῦ δήμου φρονούντων, ὄντες οὐκ ἐλάττους [2] χιλίων, φοβηθέντες τὴν περίστασιν, ἔφυγον πρὸς Φαρνάβαζον τὸν σατράπην. οὗτος δὲ φιλοφρόνως αὐτοὺς προσδεξάμενος, καὶ στατῆρα χρυσοῦν ἑκάστῳ [3] δω-

1 Αὐτῷ Reg. 1. 2 Τῶν χιλίων Reg. 1. 3 Δωρισάμενος Coisl.

proficiscitur, & magnam pecuniae vim in stipendia militum accipit. Tum Cyrus, a patre in Persiam revocatus, suae praefecturae urbes fidei Lysandri commendat, & tributa ipsi persolvi iubet. Lysander itaque, omnibus ad bellum necessariis amplissime instructus, Ephesum repetit. Quo tempore quidam Mileti, paucorum dominatus studiosi, populare imperium, Lacedaemoniorum auxilio, sustulerant. Ac initio cum Dionysia celebrarentur, factioni suae maxime adversantes in aedibus suis comprehensos, ad XL trucidarunt. Post observato tempore, quo forum hominibus refertum erat, delectos e populo CCC omnium locupletissimos capite multant. Interim cives aliquot ornatissimi, qui populi causae favebant, supra CIↃ circiter, metu circumstantis periculi, ad Pharnabazum satrapam confugiunt. Is perquam humaniter illos excepit, aureoque statere singulis donato, Clau-

ρησάμενος, κατῴκισεν εἰς Κλαῦδα, Φρούριόν τι τῆς Κλαυδίας. Λύσανδρος δὲ μετὰ τῶν πλείστων νεῶν ἐπὶ Θάσον τῆς Καρίας πλεύσας, κατὰ κράτος αὐτὴν εἷλεν, Ἀθηναίοις συμμαχοῦσαν· καὶ τοὺς μὲν ἡβῶντας ὀκτακοσίους ὄντας ἀπέσφαξε, παῖδας δὲ καὶ γυναῖκας λαφυροπωλήσας, κατέσκαψε τὴν πόλιν. μετὰ δὲ ταῦτ' ἐπὶ τὴν Ἀττικὴν καὶ πολλοὺς πλεύσας τόπους, μέγα μὲν οὐδὲν, οὐδ' ἄξιον μνήμης ἔπραξε, (διὸ καὶ ταῦτα μὲν οὐκ ἀναγράφειν ἐσπουδάσαμεν) τὸ δὲ τελευταῖον, Λάμψακον ἑλὼν, τὴν μὲν Ἀθηναίων Φρουρὰν ἀφῆκεν ὑπόσπονδον, τὰς δὲ κτήσεις ἁρπάσας, τοῖς Λαμψακηνοῖς ἀπέδωκε τὴν πόλιν.

& inde excursiones facit in socios Atheniensium, ipsamque Atticam infestat.

Laced. classis Lampsacum expugnat;

ρε'. Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ πυθόμενοι τοὺς Λακεδαιμονίους πάσῃ τῇ δυνάμει πολιορκεῖν Λάμψακον, συνήγαγόν τε πανταχόθεν τριήρεις, καὶ κατὰ σπουδὴν ἀνήχθησαν ἐπ' αὐτοὺς ναυσὶν ἑκατὸν ὀγδοήκοντα. εὑρόντες δὲ τὴν πόλιν ἡλωκυῖαν, τότε μὲν ἐν Αἰγὸς

Attica classis e regione ad Aegos fl. subsistit.

da, quod Claudiae castellum est, inhabitanda profugis concessit. Lysander autem, cum magno triremium numero Thasum Cariae urbem, Atheniensibus societatis iure obnoxiam, adortus, vi expugnat, pubemque omnem ad IↃCCC iugulat, puerisque ac mulieribus sub hasta venditis, urbem solo aequat. Post haec Atticam & multa praeterea loca navibus adita tentat, sed nihil memoratu dignum efficit. Studii ergo nostri haud est, ut aliquid de hisce referatur. Summum inter hoc fuit, quod Lampsacum capiens, Atticum in ea praesidium fide data incolume dimisit, & direptam Lampsacenis urbem restituit.

CV. Sub haec Atheniensium praefecti, certiores facti, Lacedaemonios omnibus Lampsacum viribus oppugnare, triremes undecunque cogunt, & rapto illuc cursu cum CLXXX navibus traiiciunt. Ast ubi captam urbem

ποταμοῖς καθώρμισαν τὰς ναῦς. μετὰ δὲ ταῦτ' ἐπιπλέοντες τοῖς πολεμίοις, καθ' ἡμέραν εἰς ναυμαχίαν [1] προεκαλοῦντο. οὐκ ἀνταναγομένων δὲ τῶν Πελοποννησίων, οἱ μὲν 'Αθηναῖοι διηπόρουν ὅ, τι [2] χρήσονται τοῖς πράγμασιν, οὐ δυνάμενοι τὸν πλείω χρόνον ἐκεῖ διατρίβειν τὰς δυνάμεις. 'Αλκιβιάδου δὲ πρὸς αὐτοὺς ἐλθόντος, καὶ λέγοντος ὅτι Μήδοκος καὶ Σεύθης, οἱ τῶν Θρᾳκῶν βασιλεῖς, εἰσὶν αὐτῷ φίλοι, καὶ δύναμιν πολλὴν ὡμολόγησαν δώσειν, ἐὰν βούληται διαπολεμεῖν τοῖς Λακεδαιμονίοις. διόπερ αὐτοὺς ἠξίου μεταδοῦναι τῆς ἡγεμονίας, [3] ἐπαγγελλόμενος αὐτοῖς, δυοῖν θάτερον, ἢ ναυμαχεῖν τοὺς πολεμίους ἀναγκάσειν, ἢ πεζῇ μετὰ Θρᾳκῶν πρὸς αὐτοὺς διαγωνιεῖσθαι. ταῦτα δὲ ὁ 'Αλκιβιάδης ἔπραττεν, ἐπιθυμῶν δι' ἑαυτοῦ τῇ πατρίδι μέγα [4] τι κατεργάσασθαι, καὶ διὰ τῶν εὐεργε-

Tum Alcibiades consilia coi ferre conatur, & imperii partem affectat;

1 Προὔκαλ. satis eleganter Ven.
2 Χρήσωνται Reg. 1.
3 'Επαγγελόμενος & δυεῖν Reg. 1.
4 Omittit Reg. 1.

accepere, tum quidem circa Aegos potamos ancoris naves fiftunt. Poftea vero in hoftes evecti, in dies ad certamen eos provocant. Sed cum Peloponnefii non occurrerent, dubitari ab Athenienfibus coeptum eft, quidnam facto opus foret, fiquidem diutius ibi moras cum exercitu trahendi facultas non daretur. Tum Alcibiades ad ipfos excurrens pro certo affirmat, Medocum & Seuthen, Thracum reges, amicitia fibi iunctos, magnas ad fubfidium copias offerre, fi ipfe bellum cum Lacedaemoniis pertexere velit. Imperii ergo militaris partem fibi concedi poftulat, e duobus hifce alterum haud dubie promittens, fe vel ad conflictum navalem hoftes adacturum, aut terreftri Thracum exercitu cum illis decertaturum. Hoc Alcibiadi negotium eo directum erat, ut, quae honeftiffima eius cupido erat, praeclarum patriae facinus ederet, & beneficiorum magnitudine pri-

σιῶν τὸν δῆμον ἀποκαταστῆσαι εἰς τὴν ἀρχαίαν εὔνοιαν. οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ, νομίσαντες τῶν μὲν ἐλαττωμάτων ἑαυτοῖς τὴν μέμψιν ἀκολουθήσειν, τὰ δ' ἐπιτεύγματα προσάψειν ἅπαντα Ἀλκιβιάδῃ, ταχέως αὐτὸν ἐκέλευσαν ἀπιέναι, καὶ μηκέτι προσεγγίζειν τῷ στρατοπέδῳ. sed repulsam fert.

ρστ'. Ἐπεὶ δ' οἱ μὲν πολέμιοι ναυμαχεῖν οὐκ ἤθελον, τό, τε στρατόπεδον σιτοδεία κατεῖχε, Φιλοκλῆς ἐκείνην τὴν ἡμέραν ἀφηγούμενος, τοῖς μὲν ἄλλοις τριηράρχοις προσέταξε [1] πληρώσαντας τὰς τριήρεις ἀκολουθεῖν, αὐτὸς δ' ἑτοίμας ἔχων ναῦς τριάκοντα, τάχιον ἐξέπλευσεν. ὁ δὲ Λύσανδρος παρά τινων αὐτομόλων ταῦτ' ἀκούσας, μετὰ πασῶν τῶν νεῶν ἀναχθεὶς, καὶ τὸν Φιλοκλέα τρεψάμενος, πρὸς τὰς ἄλλας ναῦς κατεδίωξεν. οὔπω δὲ τῶν τριήρων τοῖς Ἀθηναίοις πεπλη- Attica classis subito impetu oppressa & ad internecionem caesa.

1 Πληρώσασι Venet. non dissimili sententia.

stinam populi benevolentiam sibi reconciliaret. At duces Atheniensium hac opinione tenebantur, si res male gereretur, omnem culpam in se recasuram: sin prospere succederet, totum victoriae decus Alcibiadem sibi vindicaturum. Quapropter ut continuo se inde amoliatur, nec unquam deinde propius ad exercitum accedat, serio edicunt.

CVI. Cum igitur hostes certamen detrectarent, & commeatus inopia exercitus laboraret, Philocles, eius diei imperium tenens, reliquis triremium praefectis mandat, ut milite navibus imposito, se illico sequantur: ipse vero tum XXX naves in procinctu habens, e portu confestim solvit. De hoc per transfugas quosdam certior factus Lysander, cum tota classe in altum provectus, Philoclem statim in fugam compulsum, ad reliquas inde naves persequitur. Cum vero restantes adhuc triremes Atheniensium nondum armis & milite satis instructae es-

ρωμένων, θόρυβος κατεῖχεν ἅπαντας, διὰ τὴν ἀπροσδόκητον ἐπιφάνειαν τῶν πολεμίων. ὁ δὲ Λύσανδρος, συνιδὼν τὴν τῶν ἐναντίων ταραχὴν, Ἐτεόνικον μὲν μετὰ τῶν εἰωθότων πεζῇ μάχεσθαι ταχέως ἀπεβίβασεν· ὁ δὲ ὀξέως τῇ τοῦ καιροῦ ῥοπῇ χρησάμενος, μέρος κατελάβετο τῆς παρεμβολῆς· αὐτὸς δ' ὁ Λύσανδρος ἁπάσαις ταῖς τριήρεσιν ἐξηρτυμέναις ἐπιπλεύσας, καὶ σιδηρᾶς ἐπιβαλὼν χεῖρας, ἀπέσπα τὰς [1] ὁρμούσας ἐπὶ τὴν γῆν ναῦς. Ἀθηναῖοι δὲ τὸ παράδοξον ἐκπεπληγμένοι, καὶ μήτ' ἀναχθῆναι ταῖς ναυσὶν ἀναστροφὴν ἔχοντες, μήτε [2] πεζῇ διαγωνίζεσθαι δυνάμενοι, βραχὺν ἀντισχόντες χρόνον, ἐτράπησαν. [3] εὐθὺς δ' οἱ μὲν τὰς ναῦς, οἱ δὲ τὴν παρεμβολὴν ἐκλιπόντες, ἔφυγον ὅπου ποθ' ἕκαστος ἤλπιζε σωθήσεσθαι. τῶν μὲν οὖν τριήρων δέκα μόνον διεξέπεσον, ὧν μίαν ἔχων Κόνων ὁ στρατηγὸς, τὴν μὲν εἰς Ἀθήνας ἐπάνοδον ἀπέγνω, φοβηθεὶς τὴν

1 Ὁρμώσας Reg. 1. 2 Πεζῇ idem. Πεζοὶ editi. 3 Εὐθὺ Reg. 1.

ſent, tumultus & pavor ſubito totis caſtris tam improviſo hoſtium adventu excitatur. Lyſander itaque, adverſae claſſis perturbatione ſtatim intellecta, Eteonicum cum terreſtri pugnae aſſuetis deſcendere iubet. Is momenta occaſionum haud negligenda ratus, partem caſtrorum occupat. Ipſe vero Lyſander, cunctis triremibus probe inſtructis adnavigans, quotquot in ſtatione Athenienſes naves adhuc invenit, ferrearum inflictu manuum ad litus pertraxit. Athenienſes igitur, repentina trepidatione attoniti, quod nec educendi naves ſpatium haberent, nec terreſtrem inſtruere aciem poſſent, cum ad breve temporis ſpatium reſtitiſſent, terga hoſti vertunt. Tum ſubito alii de navibus, alii e caſtris, quocunque ſalutis ſpes abriperet, curſu praecipiti diffugere. De triremium ergo praefectis tantum decem evaſerunt, quorum unus Conon, deſperato Athenas reditu, cum populi furorem

